θ'. Οὗτος δὴ οὖν ὁ ἱεροφάντης χορὸς Μακεδόνιόν τινα, τὸν Κωνσταντινουπόλεως θρόνον ἅρπαγμα πάλαι ποιησάμενον, ὅτι τὸ πανάγιον καὶ ζωαρχικὸν ἐβλασφήμει Πνεῦμα εὐθύνας ἐδικαίου δοῦναι. Ὡς γὰρ Ἄρειος κατὰ τοῦ Υἱοῦ, οὕτω καὶ αὐτὸς κατὰ τοῦ παναγίου παρατατττόμενος Πνεύματος, εἰς δούλους καὶ ὑπηρέτας τὴν Δεσποτικὴν καὶ ὑπερκειμένην αὐτοῦ συνέταττε κυριότητα. Καίτοι ῥᾷον ἦν, εἴπερ ἐβούλετο, τῷ ἀθλίῳ συνορᾶν, ὅτι καθάπερ οἱ τὸν Υἱὸν εἰς κτίσμα τάττοντες, τὴν ὕβριν οὐδὲν ἧττον προσάπτουσι τῷ Πατρί, οὕτω καὶ οἱ τὸ πανάγιον αὐτοῦ Πνεῦμα τοῖς ποιήμασιν ἐναριθμοῦντες, τὴν ἴσην καὶ ὁμοίαν βλασφημίαν ἀτιᾶσι κατ' αὐτοῦ. Εἰ γὰρ τὸ Πνεῦμα κτίσμα, κἀκεῖνος, οὗ τὸ Πνεῦμα, μετὰ τῶν κτισμάτων. Εἰ δὲ καὶ ἀκοαῖς ἀφόρητον ἡ τῆς ἀθεότητος ταύτης ὑπερβολή, πῶς οὐ συνῆκεν ὁ ταλαίπωρος ἐκεῖνο φεύγειν, δι' οὗ πρὸς τούτους ἀνάγκη πεσεῖν τοὺς θεομάχους λογισμούς; Ἀθετεῖς τὸ Πνεῦμα εἶναι Θεόν; Πῶς ἐρευνᾷ τὰ βάθη τοῦ Θεοῦ, καὶ οὐδὲν κρύφιον ἀπ' αὐτοῦ; Πῶς ἐστιν ἄλλος παράκλητος; Πῶς συνάττεται Πατρὶ καὶ Υἱῷ; Πορευθέντες γάρ, αὐτός φησιν ὁ Υἱός μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ ἁγίου Πνεύματος. Εἰ ἕν τι τῶν τριῶν κτίσμα, ἐν οἷς φωτιζόμεθα, οὐδὲ τὰ λοιπὰ καθαρεύσει τῆς ὕβρεως. Ἀλλ' εἰ κτίσμα, πῶς κτίζει; πῶς ἁγιάζει; πῶς ζωοποιεῖ; πῶς διαιρεῖ χαρίσματα; πῶς δὲ Θεός; Ἀλλὰ τούτων οὐδὲν ἐκεῖνος ὁ φρενοβλαβὴς ἐπὶ νοῦν βαλόμενος, τῆς μοναρχικῆς αὐτὸ καὶ μιᾶς ἀδιαιρέτου θεότητος διασπᾶν [τὸ Πνεῦμα] ἐτόλμα καὶ ἀπεθρασύνετο. Δι' ὃ καὶ τῆς ἀσεβείας ἐπάξια εἴληφε τὰ ἐπιχείρια, αὐτός τε ἀφαιρέσει τῆς ἱερωσύνης ζημιωθείς, καὶ πάντες ὅσοι τῆς αὐτοῦ θεομαχίς τὸ ἀνίατον παρεζήλωσαν. Καὶ ὡς ἐκεῖνος τὸ πανάγιον Πνεῦμα τῆς Τριαδικῆς μιᾶς θεότητός τε καὶ κυριότητος ἀλλοτριοῦν ἐφυάττετο οὕτω αὐτὸν ἡ ἁγία καὶ οἰκουμενικὴ Σύνοδος καὶ τῆς ἱερωσύνης καὶ τῆς τῶν πιστῶν μερίδος καὶ συναυλίας οἷα δεύτερον ἠλλοτρίωσεν Ἄρειον· τὸ δὲ πανάγιον καὶ ζωαρχικὸν Πνεῦμα, ἅτε δὴ ὁμοφυὲς καὶ ὁμοούσιον ἰσοθενές τε καὶ παντοδύναμον, τῷ Πατρὶ καὶ τῷ Υἱῷ συμπροσκυ-

9. Този свещен опоявен лик намерил за справедливо някой си Македоний[1], който заграбил цариградския престол, да даде отчет за това, че хулил пресветия и живоначален дух. Защото, както Арий бил против сина, така и той, като се опълчвал срещу пресветия дух, поставял владетелското му и превисше господство в положението на роб и слуга. А този окаяник могъл, ако искал, лесно да съзре, че както онези, които поставят сина в реда на създанията, нанасят еднаква обида и на отца, така и ония, които причисляват и пресветия му дух към тварите, наравно и еднакво богохулствуват против него — отца. Защото, ако [светият] дух е създание, в реда на създанията спада и оня, чийто дух е той. Но ако това крайно безбожие дори и слухът не може да понесе, как не е разбрал окаяният, че трябва да избягва от онова, чрез което по необходимост ще изпадне в тия богоборчески мисли? Отричаш ли, че светият дух е бог? Как тогава той издирва глъбините на бога и няма нищо скрито за него? Как той е друг утешител? Как е поставен на същия ред с отца и сина? „Идете — казва самият син, — учете всички народи, като ги кръщавате в името на отца и сина и светия дух." Ако едно от трите, в които се кръщаваме, е създание, то и останалите няма да останат чисти от хулите. Но ако то е създание, как създава? Как освещава? Как оживотворява? Как раздава дарования? Как е бог? Но онзи умоповреден, без да размисли поне върху някое от тези неща, дръзко се осмелил да отцепва светия дух от едното неразделно и единоначално божество. Затова и получил заслуженото за нечестието си наказание, като бил лишен от свещенство самият и всички, които поддържали неизцеримото му богоборство. И както той се одързостявал да отчужди пресветия дух от едното троично божество и господство, така и светият и вселенски събор го отлъчил от свещенството, от числото на верните и от общението с тях като втори Арий и съгласно с учението на отците и на богословите прогласил, че пресветият и живоначален дух трябва да бъде почитан и прославян с отца и сина като

[1] Цариградският патриарх Македоний (342—360) изпаднал в ерес, подобна на арианството. Според македонианците св. дух се отличавал по същност от останалите две лица на св. Троица — той бил творение, а не бог.

νεῖσθαι, κατὰ τὰς Πατρικάς τε καὶ Θεολογικὰς φωνάς, ἀνεκήρυξαν, ἐκθερίσαντες τέλεον καὶ εἴτι τῆς Ἀρειανῆς σπορᾶς ζιζάνιον ὑπεφύετο. Τηνικαῦτα δὲ τὰς τῆς βασιλείας ἡνίας ὁ μέγας ὡς ἀληθῶς καὶ μεγάλης εὐφημίας ἄξιος περιεζώννυτο Θεοδόσιος, πρόμαχος καὶ αὐτὸς τῆς εὐσεβείας γνωριζόμενος. Ἀλλ᾽ ἐν τούτοις μὲν καὶ αὕτη ἡ ἁγία Σύνοδος.

ι΄. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τρίτη Σύνοδος ἐν μὲν τῇ κατὰ τὴν Ἀσίαν Ἐφέσῳ συνεκροτήθη, εἰς διακοσίους δὲ ἐπληθύνετο. Ἐν οἷς ἡγεμόνες ἐγνωρίζοντο Κύριλλός τε ὁ ἐν Πατράσι περιώνυμος, ὃς δι᾽ ἀρετὴν καὶ σοφίας πλοῦτον τῆς Ἀλεξάνδρου μεγαλοπόλεως ἰθύνων τὸν θρόνον, καὶ τοῦ Ῥώμης Κελεστίνου τὴν καθέδραν ἀνεπλήρου καὶ τὸ πρόσωπον· μεθ᾽ ὧν καὶ Μέμνων, ὁ τῆς Ἐφεσίων ἐκκλησίας ἐμπεπιστευμένος τοὺς οἴακας καὶ δὴ καὶ ὁ τῶν Ἱεροσολύμων Ἰουβενάλιος· οἵτινες σὺν παντὶ τῷ τῆς Συνόδου πληρώματι τὸν δυσσεβῆ Νεστόριον, ὧν ἠσέβει δίκας εἰσεπράττοντο. Ὃς ἐκ τῆς Ἀντιόχου, τῆς πρὸς τῷ Ὀρόντι, ὁρμώμενος, τὸν Κωνσταντινουπόλεως θρόνον οὐκ εὐαγῶς ἐγκεχείριστο· ἀλλ᾽ ὅ γε ταλαίπωρος οὗτος ἐκ τῶν Διοδώρου καὶ Θεοδώρου θολερῶν τῆς ἀσεβείας ἐκροφήσας ναμάτων, καὶ εἰς φρενῶν μέθην ἐμπεσών, ἀπηχεῖς καὶ ἐκτόπους φωνὰς ἐπὶ λύμῃ τοῦ ποιμνίου πολλῶν ἀκοαῖς ἐναπηρεύξατο. Χριστὸν γὰρ τὸν ἕνα Θεοῦ Υἱόν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, ὃς δι᾽ ἡμᾶς καὶ διὰ τὴν ἡμετέραν σωτηρίαν σαρκὸς ἡμῖν παραπλησίως κοινωνήσας καὶ αἵματος, καὶ εἰς ἑαυτὸν τὸ ἡμέτερον ὑποστησάμενος φύραμα, εἷς ἐκ δύο ἐχρημάτισε τῶν ἐναντίων, Θεὸς ὁ αὐτὸς ὑπάρχων καὶ ἄνθρωπος· εἷς Χριστός, εἷς Υἱός, ὁ αὐτὸς ἄνω ἐκ Πατρὸς ἀμήτωρ, καὶ κάτω ἐκ μητρὸς ἀπάτωρ· ὁ αὐτὸς καὶ οὐκ ἄλλος· ἓν πρόσωπον, μία ὑπόστασις· τοῦτον δὴ τὸν ἕνα Κύριον ἡμῶν Χριστὸν εἰς δύο τέμνειν καὶ διαιρεῖν ὑποστάσεις ὁ τρι-

единоестествен и единосъщен, равномощен и всемогъщ. В същото време съборът изцяло ожънал и всички плевели, израснали от арианското семе. Тогава юздите на царството държал действително великият и достоен за велика слава Теодосий[1], който също така е известен като поборник на благочестието. В това се състои и този свети събор.

10. А светият и вселенски трети събор бил свикан в Ефес,[2] в Азия, и се състоял от двеста души. От тях като ръководители били признати: прочутият между отците Кирил[3], който поради своята добродетел и голяма мъдрост управлявал престола на великия Александров град[4] и представлявал лично Целестин Римски и неговата катедра; Мемнон, комуто било поверено кормилото на Ефеската църква, а също и Ювеналий Ерусалимски. Те заедно с цялия състав на събора съдили нечестивия Несторий за нечестието му[5]. Несторий, родом от Антиохия при Оронт[6], заел по неблагочестив начин цариградския престол. Но той, окаяният, насмукал от мътните струи на проповядваното от Диодор и Теодор[7] нечестие и упоен до обезумяване, изказал пред мнозина думи, неуместни за слушане, във вреда на паството си. Защото Христос—единствения син божи и истински наш бог, който, като приел подобно на нас кръв и плът, заради нас и за наше спасение възприел нашето устройство, е бил един от две противоположности, бидейки едновременно бог и човек, един Христос, един син, същият горе от отца без майка, а долу от майка без баща, същият и не друг, едно лице, един ипостас, — тогова казвам, единствения наш господ, Исуса Христа, преокаяният [Несторий], без да се ужаси, разсякъл и разделил на

[1] Император Теодосий I (379—395). [2] Третият вселенски събор бил свикан в гр. Ефес през 431 г. [3] Александрийският патриарх Кирил (412—444) бил противник на Несторий и несторианството. Като се борел срещу цариградския патриарх, той искал да утвърди първенството на александрийския патриарх над православния Изток. [4] Т. е. гр. Александрия в Египет. [5] Цариградският патриарх Несторий (428—431) бил основател на ерес, която носела неговото име — несторианство. Под влиянието на Аристотелевата философия, в стремежа си да въведе известен рационализъм в християнската религия той стигнал до извода, че у Христос не може да има две природи — божествена и човешка, — както приемал никейският Символ на вярата. Според него Христос се е родил като обикновен човек и поради това Мария трябвало да се нарича не Богородица, а Христородица. Той учел, че божествеността на Христос е дошла след неговата смърт. Несторианството се превърнало в религия на сирийските търговско-промишлени слоеве, врагове и съперници на цариградските търговци. Срв. *Д. Ангелов,* История на Византия, I, София, 1959, стр. 92—94. [6] Река в Сирия. [7] Диодор (епископ на Тарс) и Теодор (епископ на гр. Мопсуестия в Киликия) живели през IV и първата четвърт на V в. и се смятали за основатели на ерес, която по-късно била възприета и доразвита от цариградския патриарх Несторий и наречена несторианство.

σάθλιος ἐκεῖνος οὐ πετρικῶς, τὸν μὲν ψιλὸν ἄνθρωπον, καὶ χωρὶς τοῦ προσλαβόντος λόγου, κατ' ἰδίαν ὑπόστασιν ἔπλαττε, τὸν δὲ θεὸν ἀνὰ μέρος, καὶ γυμνὸν τοῦ προσλήμματος· ὥσπερ δεδοικὼς ὁ ἀνόητος, μή τι θεὸς πάθοι, τὸ οἰκεῖον πλάσμα δι' ἄφατον φιλανθρωπίαν εἰς θεραπείαν καὶ ἀνάπλασιν ὑποδυόμενος· οὐδὲ τοῦτο συνιδών, ὡς οἷς τὴν ἀνθρωπίνην φύσιν τῆς τοῦ Λόγου ἐδίχαζεν ὑποστάσεως ἀνίατον αὐτὴν καὶ ἀθεράπευτον ἀνεκήρυττε, καὶ τῆς ἰδίας ἔξαρνος σωτηρίας ἐγίγνετο. Ἀλλὰ γὰρ τοὺς λογισμοὺς ὅλως ἐκ τούτων διαστραφείς, οὐδὲ τὴν αὐτοῦ κατὰ σάρκα μητέρα, τὴν παναγίαν Παρθένον, τὴν κυρίως καὶ ἀληθῶς τὸν Θεὸν Λόγον σεσαρκωμένον τεκοῦσαν, οὐδὲ ταύτην καλεῖν θεοτόκον ἠνέσχετο, ἀλλ' ὥσπερ τὸν Υἱὸν ἀπεστέρει τῆς θεότητος, οὕτως ἠλλοτρίου καὶ τὴν γεννησαμένην τῆς Θεοτόκου κλήσεως.

два ипостаса,[1] така образувал отделен ипостас от простия човек без словото, което е възприело [плът], а бога отделно без възприетата [плът]. Като че ли безумният се страхувал да не би бог някак да пострада, като възприема от неизказано човеколюбие своето създание, за да го излекува и възсъздаде. Той не се досетил нито за това, че като отделя човешкото естество от ипостасиса на словото, признава човешкото естество за неизцеримо и неизлечимо и сам се отрича от спасението си. От това той така се развратил в мислите си, че Христовата по плът майка, пресветата дева, която действително и истински родила въплътения бог слово, дори и нея не приемал да нарича Богородица. Но както лишавал сина от божество, така той отнемал и на майка му името Богородица.[2]

ια'. Δι' ὃ τοῦτον τῆς τηλικαύτης ἀπονοίας καὶ τῆς βλασφήμου γλώσσης τῶν μακαρίων Πατέρων ὁ σύλλογος πάσης τε ἱερωσύνης ἐγύμνωσε, καὶ σὺν τῷ οἰκείῳ καὶ βδελυρωτάτῳ φρονήματι τῷ αἰωνίῳ παρέπεμψαν ἀναθέματι. Τὸν δὲ Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν ἐν μιᾷ καὶ τῇ αὐτῇ ὑποστάσει πατροπαραδότως καὶ ὁσιοπρεπῶς προσκυνεῖσθαι καὶ κηρύττεσθαι δογματίσαντες, ἀκολούθως καὶ τὴν πανάχραντον αὐτοῦ καὶ ἀειπάρθενον μητέρα κυρίως καὶ ἀληθῶς καλεῖσθαι καὶ ἀνευφημεῖσθαι Θεοτόκον παραδεδώκασιν· οἷς γὰρ τὸν Θεὸν Λόγον σαρκὶ γεννηθῆναι καταδεξάμενον τέτοκε, Θεοτόκος ἐνδίκως δοξολογεῖσθαι καὶ ὀνομάζεσθαι ἐξωσίωται. Ἀλλ' ἐπὶ τούτοις μὲν καὶ αὕτη τὸ τέλος ἔσχηκεν, ἡνίκα τὸν νέον Θεοδόσιον ἡ Ῥωμαϊκὴ πολιτεία γαληνοῖς ἑώρα ὀφθαλμοῖς τὴν πατρῴαν καὶ βασίλειον Ἀρχὴν ἐκ τριγονίας διανύοντα.

11. За това негово толкова голямо безумие и хулен език съборът на блажените отци заслужено го лишил от всяко свещенство и заедно с прегнъсното му учение го предал на вечна анатема. И след като определил за догма, че господ наш Исус Христос трябва да да бъде почитан и проповядван в един и същ ипостас според преданието на отците и както подобава на благочестието, предал също всенепорочната му и приснодева майка точно и истински да се именува и прославя Богородица. Защото, като е родила бога-слово, който е възприел да се роди по плът, справедливо е тя да се прославя и да се именува Богородица. Така е свършил и този [събор], когато Теодосий Млади[3], трети в рода си, спокойно държал останалата от баща му царска власт и управлявал Римската държава.

ιβ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ τετάρτη Σύνοδος τὸν ἐν βασιλεῦσιν εὐσεβέστατον Μαρκιανὸν συμπαρόντα καὶ συμπνέοντα ἔχουσα, τῶν ἀληθινῶν μὲν δογμάτων ἀκροατήριον ἀνιέρου τὴν Χαλκηδόνα, πόλιν Βιθυνίας οὖσαν ἐπίσημον· ἐν τριάκοντα δὲ καὶ ἑξακοσίοις τὸν ἀριθμὸν ἐξετείνετο. Ἧς λογάδες ἐχρημάτιζον Ἀνατόλιός τε ὁ τῆς βασιλίδος πόλεως τοὺς ἱεραρχι-

12. А светият и вселенски четвърти събор, на който присъствувал и съдействувал благочестивейшият император Маркиан,[4] избрал Халкедон[5], бележит град във Витиния, за място, където да се разгласят истинските догми. Броят на светите отци възлизал на шестстотин и тридесет. От тях по-видни били Анатолий[6], комуто била поверена йерархическата власт в столицата; епископите

[1] Т. е. на две същности или природи — човешка и божествена. [2] Срв. тук стр. 65, бел. 5. [3] Византийският император Теодосий II Млади (408—450). [4] Византийският император Маркиан (450—457). [5] Четвъртият вселенски събор бил свикан в гр. Халкедон през 451 г. [6] Цариградският патриарх Анатолий (449—458).

κοὺς θεσμοὺς ἐγκεχειρισμένος· καὶ δὴ Πασχασῖνός τε καὶ Λουκίνσιος, ἐπισκοπῷ διαπρέποντες ἀξιώματι, σὺν Βονιφατίῳ πρεσβυτέρῳ, τὸν τόπον ἐπέχοντες Λέοντος τοῦ ἁγιωτάτου Πάπα Ῥώμης, οὗ κλέος μέγα, καὶ πολὺς ὁ ὑπὲρ τῆς εὐσεβείας ζῆλος· μεθ' ὧν Μάξιμός τε ὁ Ἀντιοχείας καὶ ὁ Ἱεροσολύμων Ἰουβενάλιος. Οἵτινες Εὐτυχῆ τε τὸν δυστυχῆ, καὶ τὸν προασπιστὴν αὐτοῦ τὸν ἀλαζόνα Διόσκορον δυσσεβημάτων εἰσπράξεις ἀπῄτησαν. Καὶ γὰρ καὶ οὗτοι τὴν ἐκ διαμέτρου Νεστορίῳ πλάνην οἰκειωσάμενοι, εἰς τὴν ὁμοίαν ἐκείνῳ ἐξέπεσαν ἀθλιότητα. Τὸν γὰρ ἕνα Κύριον ἡμῶν Ἰησοῦν Χριστόν, ἐκ θεότητος καὶ ἀνθρωπότητος γνωριζόμενον, καὶ ἐν ταύταις ταῖς δυσὶ προσκυνούμενον φύσεσιν, εἰς μίαν φύσιν τολμηρῶς καὶ ἀφρόνως ἀνεκίρνων καὶ συνέχεον ἐξ ὧν τῆς τε πατρικῆς οὐσίας ἑτερόφυλον, καὶ τοῖς ἀνθρώποις ἑτεροφυᾶ, οὐ συνίεσαν οἱ δείλαιοι συμπεραίνοντες. Εἰ γὰρ μία ἡ τοῦ Χριστοῦ φύσις, ἢ θεία πάντως, ἢ ἀνθρωπίνη ἔσται. Ἀλλ' εἰ μὲν μόνη θεία, ποῦ τὸ ἀνθρώπινον; εἰ δὲ ἀνθρωπίνη, πῶς οὐκ ἔξαρνοι τῆς θεότητος; εἰ δ' ἕτερόν τι παρὰ ταῦτα (τοῦτο γὰρ ὑπολείπεται, καὶ πρὸς τοῦτο μᾶλλον αὐτῶν νεύει τὸ φρόνημα), πῶς οὐχ ἑτεροφυὴς αὐτοῖς ὁ Χριστὸς καὶ τοῦ Πατρὸς καὶ ἡμῶν ἀναπλασθήσεται; οὗ τί ἂν δυσσεβέστερον ἢ ἀφρονέστερον; ἄνθρωπον γενέσθαι φάσκειν τὸν τοῦ Θεοῦ Λόγον καὶ Θεόν, ἐπί τε φθορᾷ τῆς ἰδίας θεότητος, καὶ ἐπὶ ἀναιρέσει τῆς προσληφθείσης ἀνθρωπότητος; τοῦτο γὰρ ἕπεται πάντως τοῖς μηδετέρας φύσεως, ἀλλ' ἑτέρας παρὰ ταύτας, τὸν Χριστὸν εἰπεῖν ἐκτολμήσασιν.

Пасхасин и Лукинсий с презвитер Бонифаций, заместници на светейшия римски папа Лъв[1], мъж с велика слава и с голяма ревност за благочестието, заедно с тях били Максим Антиохийски и Ювеналий Ерусалимски. Те [обвинили] злочестия Евтихий[2] и неговия защитник, надменния Диоскор[3], за техните нечестиви мисли. Защото и те, като усвоили заблуда, противна на проповядваната от Несторий, изпаднали в същото окаяно положение подобно на него. Те дръзко и безумно смесвали и сливали в едно естество единствения наш господ Исус Христос, когото признаваме за бог и човек и му се кланяме в тези две естества. Те, окаяните, не разбирали, че с това достигат до заключение, че Исус Христос има същност, различна от същността на отца, и природа, различна от човешката, защото, ако Христовото естество е едно, то ще бъде или изцяло божеско, или човешко. Но ако е само божеско, де е човешкото? Ако пък е само човешко, как няма да отричаме божественото? Но ако е нещо друго извън това (защото това ни остава и към това клони повече мнението им), как няма да образуват Христа с естество, различно от онова на отца и от нас самите? Има ли нещо по-злочесто или по-безумно от това да се казва, че словото божие и бог е станал човек, за да унищожи собствената си божественост и да премахне възприетото човешко естество? Защото това следва да кажат ония, които биха дръзнали да твърдят, че Христос съвсем няма нито едното, нито другото естество, [а има] друго, различно от тези [две естества].

ιγ'. Δι' ὃ καὶ τῆς τοσαύτης δυσσεβείας οἱ τῶν χριστομάχων τούτων δογμάτων εἰσηγηταὶ ἀξίαν τὴν δίκην δεδωκότες, ἀφῃρέθησαν τε τῆς ἱερωσύνης, καὶ ἀπὸ πάσης τῆς ἐκκλησίας γεγόνασιν ἀνάθεμα, συναπελαθείσης αὐτοῖς καὶ τῆς χριστομάχου αἱρέσεως τὸ δὲ ὀρθὸν καὶ ἀπαράτρωτον τῆς Ὀρθοδοξίας φρόνημα ἔτι μᾶλλον

13. Затова внушителите на тия христоборчески учения били заслужено наказани за това голямо нечестие. Те били лишени от свещенство и отлъчени от цялата църква, като била изхвърлена заедно с тях и христоборческата им ерес, а правилното и непокварено православно учение е било още повече провъзгласено и блеснало чрез свидетелства от свещеното писание и от отците. За-

[1] Папа Лъв I (440—461). [2] Цариградският архимандрит Евтихий създал през първата половина на V в. еретическо учение, според което Исус Христос имал само божествена природа, а не божествена и човешка, както учела официалната църква. Неговото учение се наричало евтихианство или монофизитизъм (от *Μόνη φύσις* — една природа). Монофизитизмът получил голямо разпространение в Египет, Сирия, Месопотамия и Палестина поради тежкото положение, в което се намирало населението там. Това учение отговаряло на създадените там антивизантийски настроения и на стремежа за откъсване от властта на Цариград. Монофизитизмът намерил почва както у бедните, така и у богатите слоеве на Изток. [3] Александрийският патриарх Диоскор (444—451) бил горещ привърженик на евтихианството или на монофизитизма.

ταῖς Γραφικαῖς τε καὶ Πατρικαῖς μαρτυρίαις ἀνεκηρύχθη καὶ διέλαμψεν ἕνα τὸν Χριστόν, ἤτοι μίαν αὐτοῦ τὴν ὑπόστασιν καὶ δύο τὰς φύσεις, θεότητα καὶ ἀνθρωπότητα, ἀσυγχύτως καὶ ἀδιαιρέτως ἐνθεωρουμένας, τῶν τρισμακαρίστων Ἀρχιερέων περιφανῶς θεολογησάντων, καὶ παραδεδωκότων ἀδιατάκτως ὁμολογεῖν καὶ κηρύσσειν εἰς πάντα τῆς οἰκουμένης τὰ πέρατα. Δῆλον δὲ ἐντεῦθεν, ὡς δι' ὧν μὲν χωλοῖς αἱ βάσεις ὠρθοῦντο, καὶ τυφλοῖς τὸ πάθος εἰς ὀμμάτων βλάστην ὑπεφύετο, νεκροί τε τῶν πυλῶν ἀνεσπῶντο τοῦ ᾅδου, καὶ πρὸς τὸ ζῆν μετετάττοντο, αἵ τε ἄλλαι θεοσημεῖαι, ἃς οὐ ῥᾴδιον ἀριθμεῖν, ἐπετελοῦντο καὶ ἐπεδείκνυντο τῆς θείας φύσεως ἐναργῶς παρεδηλοῦτο τὸ ἀξίωμα· δι' ὧν δὲ κόπους καὶ πόνους, καὶ δίψαν καὶ πεῖναν, καὶ τὰ τούτοις ὑφίστατο συγγενῆ καὶ παραπλήσια, τῆς ἀνθρωπίνης οὐσίας ἐτρανοῦτο τὸ ἰδίωμα. Ὧν τὰ μὲν θεοπρεπῶς, τὰ δὲ ἀνθρωποπρεπῶς, ὁ αὐτὸς Χριστός ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ἐπιτελέσας καὶ διαπραξάμενος, μίαν μὲν αὐτοῦ καὶ ἑνιαίαν τὴν ὑπόστασιν. δύο δὲ καὶ διαφερούσας τὰς φύσεις, ἐν ἀσυγχύτῳ ἑνώσει, σαφῶς τε καὶ ἀναντιῤῥήτῳ λόγῳ παρέστησε καὶ ἐπιστώσατο. Ἀλλ' ἐν τούτοις καὶ τὰ τῆς τετάρτης Συνόδου.

ιδ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ πέμπτη Σύνοδος, τέμενος μὲν ἱερὸν αὐτῇ ἡ Κωνσταντίνου μεγαλόπολις ἀφιέρωτο. πέντε δὲ καὶ ἑξήκοντα καὶ ἑκατὸν θεοφόρων Πατέρων παρουσίᾳ καὶ συνδρομῇ ἐκρατύνετο· ὧν ἡγοῦντο καὶ προέλαμπον Μηνᾶς τὴν ἀρχήν, εἶτα δὲ καὶ Εὐτύχιος, τῆς αὐτῆς βασιλίδος ἐκ διαδοχῆς τοὺς Ἀρχιερατικοὺς πηδαλιουχήσαντες οἴακας· καὶ Βιγίλιος ὁ τῆς Ῥώμης τὴν ἱερὰν λαχὼν ἐφορίαν, παρὼν μὲν τῇ πόλει, οὐ παρὼν δὲ τῇ Συνόδῳ· ὅς, εἰ καὶ μὴ πρόθυμος εἰς τὴν συνδρομὴν τῆς ἱερᾶς ὁμηγύρεως κατέστη, ἀλλ' οὐδὲν ἔλαττον ὅμως τὴν κοινὴν τῶν Πατέρων πίστιν ἐπεκύρου λιβέλλῳ. Σὺν οἷς Ἀπολινάριός τε ὁ Ἀλεξανδρείας, καὶ Δόμνος ὁ Ἀντιοχείας, τῷ Ἀρχιερατικῷ ἀξιώματι κεκοσμημένοι καὶ δὴ καὶ Διδυμος καὶ Εὐάγριος, Εὐστοχίου τοῦ Ἱεροσολύμων Ἀρχιερέως τον τόπον ἀναπληροῦντες. Τηνικαῦτα δὲ καὶ Ἰουστινιανὸς ὁ κράτιστος ἐν βασιλεῦσι τῆς Ῥωμαϊκῆς Ἀρχῆς τὰς φροντίδας ἐχείριζε, καὶ τῷ ἐκκλησιαστικῷ συνεφώνει φρονήματι. Αὕτη τοιγαροῦν ἡ ἁγία

щото триблажените архиереи блестящо богословствували и ни предали без колебание да изповядваме и възвестяваме във всички краища на вселената, че Христос е един, сиреч ипостасът му е един, а естествата две, божеско и човешко, неслято и неразделно съзерцавани. Че това е така, става явно и от следното: че нозете на хроми се изправяли, на слепци страданието в очите се премахвало, мъртви от адовите врата се извличали и в живота се възвръщали, а при това се извършвали и показвали и други божески знамения, които мъчно се изброяват. Това проявявало достойнството на божеското естество. С това пък, гдето той търпял трудове и мъки, жажда и глад и тям сродни и подобни страдания, изтъквал свойството на човешката същност. От друга страна, като извършил дела, от които едни подобават на бог, а други на човек, същият Христос, истинският наш бог, ясно и неопровержимо представил и удостоверил своя един и единен ипостас, а естествата, две и различни, неслято съединени. Това са деянията на четвъртия събор.

14. Светият и вселенски пети събор, за който великият град на Константин[1] бил отреден за свещено седалище, се състоял със съдействие и в присъствие на сто шестдесет и пет богоносни отци. Между тях се отличавали и блестяли първом Мина[2], а сетне Евтихий[3], един след друг държали свещеноначалническото кормило на самата столица, и Вигилий[4], комуто се беше паднал свещеният надзор върху Рим. Той присъствувал в града, но не и на събора. При все че не бил се показал усърден помощник на свещения събор, той все пак писмено потвърдил общата вяра на отците. Заедно с горните били Аполинарий Александрийски, Домн Антиохийски, украсени със свещеноначалническо достойнство, а също и Дидим и Евагрий, заместници на ерусалимския свещеноначалник Евстохий. Грижите пък на ромейската власт били възложени тогава на най-мощния между царете — Юстиниан[5], — който бил съгласен с учението на църквата. И тъй този свети и вселенски събор напълно изпожънал отново поникналите

[1] Петият вселенски събор бил свикан в Цариград през 553 г. [2] Цариградският патриарх Мина (536–552). [3] Цариградският патриарх Евтихий (552–565; 577–582). [4] Папа Вигилий (537–555). [5] Византийският император Юстиниан I (527–565).

καὶ οἰκουμενικὴ Σύνοδος Νεστορίου πάλιν τὰ μιαρὰ παραφυόμενα δόγματα εἰς τὸ παντελὲς ἐξεθέρισεν, ἅμα αὐτῷ ἐκείνῳ τῷ σπορεῖ τῶν ζιζανίων. Μεθ'ὃν Θεόδωρον καὶ Διόδωρον· ὧν ὁ μὲν Ταρσοῦ πόλεως, ὁ δὲ Μοψουεστίας ἐπεσκόπησεν. Οἵ Νεστορίου πρότερον τὴν τοιαύτην ὠδίνοντες αἵρεσιν καὶ ἔγγραφον ἀπολελοίπασι, τῆς νόθου διανοίας τὰ νόθα καὶ ἔκφυλα κυήματα. Ἔτι δὲ κατεδίκασε καὶ ἀνεθεμάτισεν Ὠριγένην, Δίδυμον, Εὐάγριον, παλαιὰ τῶν πιστῶν ἀῤῥωστήματα, ἄνδρας τὴν Ἑλληνικὴν μυθολογίαν ἐν τῇ τοῦ Θεοῦ Ἐκκλησίᾳ παρεισενεγκεῖν φιλονεικήσαντας. Προϋπάρχειν τε γὰρ οὗτοι τὰς ψυχὰς τῶν σωμάτων ἐληρῴδουν, καὶ πολλὰ σώματα τὴν αὐτὴν μετενδύεσθαι· δόγμα μιαρὸν καὶ κατάπτυστον, καὶ μόνων ὡς ἀληθῶς ἐκείνων τῶν ψυχῶν ἄξιον. Καὶ τέλος δὲ τῆς ἀτελευτήτου κολάσεως ἐψηφίζοντο· ἄλλη τοῦτο παράκλησις πρὸς ἁμαρτίαν πᾶσαν καὶ ἀπώλειαν. Καὶ τοῖς πονηροῖς δαίμοσι τὸ ἀρχαῖον ἀξίωμα ἐχαρίζοντο, ἐπαναδραμεῖν αὐτοὺς εἰς τὴν ἄνωθεν δόξαν, ἐξ ἧς ἀναπλάττοντες. Ἔτι δὲ οὐδὲ τὰ σώματα ταῖς ψυχαῖς ἐβούλοντο συνανίστασθαι· γυμνὰς δὲ αὐτὰς σωμάτων ἀνιστῶσιν· οὐκ οἶδ'ὅτι καὶ καλοῦντες ἀνάστασιν, εἴπερ τοῦ πεπτωκότος καὶ θανόντος ἡ ἀνάστασις, οὐχὶ δὲ τοῦ ἀεὶ ἑστῶτος καὶ ἐν ἀφθαρσίᾳ διαμένοντος, οἷόν πέρ ἐστιν ἡ ψυχή· οὐδὲ τοῦτο δυσωπηθέντες οἱ ἄθλιοι, ἡλίκον οἷον ἀδίκημα, δι'ὧν ληροῦσι, τοῦ δικαίου κριτοῦ κατηγοροῦσιν. Πῶς γὰρ οὐκ ἐσχάτην ἀδικίαν αὐτοῦ καταμαρτυροῦσι. τὰ μὲν συναθλήσαντα σώματα ταῖς ψυχαῖς ἐν τοῖς κατ'ἀρετὴν πόνοις τῶν κοινῶν ἐπάθλων ἀποστερεῖν αὐτὸν βλασφημοῦντες, τὰ δ'αὖ πάλιν συνεξαμαρτόντα τῆς κοινῆς αἰτίας καὶ πράξεως ἀνεπιτίμητα καταλιμπάνειν, μόνας δὲ τὰς ψυχάς, χωρὶς τῶν συνδιαπραξαμένων σωμάτων, ἢ διπλῆν εἰσπράττειν τιμωρίαν, ἢ διπλῆς ἀξιοῦν μισθαποδοσίας.

скверни издънки на Несториевото учение заедно със самия сеяч на плевелите, а с него заедно и Теодор и Диодор, от които вторият бил епископ на град Тарс[1], а първият — на град Мопсуестия[2]. Защото те преди Несторий се замъчили, родили и оставили писмено подобна ерес, незаконородена и странна рожба на изопачен разум. Съборът осъдил и анатемосал още и старите недъзи на верните — Ориген[3], Дидим[4] и Евагрий[5], — които се постарали да вмъкнат в божията църква елинското баснословие.[6] Защото те бледословели, че душите съществували преди телата и че една и съща душа обличала много тела — учение скверно, заслужаващо да бъде оплюто и достойно наистина само за техните души. Те учели още, че безконечният пъкъл има край, а това е друга подбуда към всякакъв грях и гибел. На лукавите демони подарявали предишното им достойнство, като измисляли, че щяла да им се върне предишната слава, от която отпаднали. Те приемали също, че телата не щели да възкръснат заедно с душите, а душите щели да възкръснат без тела. Но аз не разбирам какво наричали те възкресение, ако думата възкресение се употребява за паднал и умрял, а не за това, което всякога стои право и пребъдва нетленно, каквато е душата. Не се убояли окаяните нито от това, че със своите празнословия обвинявали праведния съдия в такава голяма несправедливост. Защото, как може да се каже, че те не го обвиняват в крайна несправедливост, като го хулят, че, от една страна, лишава от общата награда телата, които се подвизавали заедно с душите в усилията към добродетел, а, от друга страна, оставя телата ненаказани за общата виновност и за съдействието им при извършването на греха и че той или налага двойно наказание, или удостоява с двойна награда само душите без телата, които са действували заедно с тях?

ιε'. Οὐ μόνον δὲ τὰς τοιαύτας τῶν δυσφημιῶν ὁ ἱερὸς οὗτος τῶν Πατέρων χορὸς ἀπεκήρυξεν. ἀλλὰ καὶ πρὸς τούτοις, οὐ πολλῷ

15. Този свещен лик на отците не само отхвърлил такива хули, но освен това не много време преди това низверг-

[1] Днешният град Тарс в Турция (в Мала Азия). [2] Град в Киликия, дн. Мисис (Misis) в Мала Азия. [3] Ориген — известен александрийски богослов и философ. Той се стремял да съчетае християнските догми с гръцката философия. Написал е редица съчинения с богословски характер. Неговите схващания оказали голямо влияние върху други църковни дейци. [4] Дидим—александрийски богослов и един от най-изтъкнатите учени за времето си (308—395). Той бил ревностен последовател на Ориген. [5] Евагрий—църковен историк от VI в. (537—594). Вж. ГИБИ, т. II, стр. 59 сл. [6] Т. е. да внесат в християнството елементи от гръцката философия.

ἔμπροσθεν χρόνῳ, καθεῖλε καὶ ἀνεθεμάτισεν Ἄνθιμόν τε τὸν Τραπεζούντιον το Εὐτυχοῦς ὑποθάλποντα φρόνημα καὶ Σεβῆρον, Πετρον τε τον Ἀπαμείας καὶ Ζωόραν, καὶ πᾶσαν τὴν πονηρὰν ἐκείνην καὶ πολυκέφαλον διασπορὰν καὶ συμμορίαν Ἀγαπητοῦ μὲν μάλιστα τοῦ Ῥώμης τῆς εὐαγοῦς προκατάρξαντος πράξεως, συμψήφων δὲ καὶ συνεργῶν ἀναφανεντων τῶν περιωνύμων Ἀρχιερέων· ὧν ὁ μὲν Εὐφραίμιος ὁ κλεινος (τῆς Ἀντιοχου δὲ οὗτος), τῶν Ἱεροσσολύμων δὲ Πέτρος ὁ ἱερὸς ἐπετρόπεσεν. Τούτους οὖν ἅπαντας τὸ θεῖον τῶν Ἀρχιερέων συνάθροισμα ἐκκηρύξαντες τε καὶ ἀποβαλόμενοι τὰ ἀπλανῆ καὶ θεῖα τῆς Καθολικῆς καὶ Ἀποστολικῆς Ἐκκλησίας ἐκράτυνάν τε καὶ ἐπεκύρωσαν δόγματα. Καὶ τὰ μὲν τῆς οἰκουμενικῆς πέμπτης Συνόδου ἐν τούτοις.

ις'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἕκτη Σύνοδος ἐν τῇ βασιλίδι μὲν τῶν πόλεων καὶ αὐτὴ τῶν μιστικῶν τῆς ἀληθείας θεαμάτων τὸ ἱερὸν ἐπήγνυτο θέατρον, ἑβδομήκοντα δὲ καὶ ἑκατὸν θεοφόροις ἀνδράσι τὸν ἀγῶνα ὑποδυομένοις λαμπρῶς νικῶσαν ἀπεδείκνυ τὴν εὐσέβειαν. Ταύτης ἀρχηγοὶ καὶ τῶν ἄλλων προνομεύειν ἐκρίνοντο ἄξιοι, Γεώργιός τε, ᾧ τῆς βασιλίδος πόλεως ὁ Ἀρχιερατικὸς θεσμὸς ὑπῆρχεν ἐγκεχειρισμένος, καὶ Θεόδωρος, καὶ Γεώργιος, ἐν πρεσβυτέρων ἀξιώματι κατειλεγμένοι, ἅμα Διακόνῳ Ἰωάννῃ, οἱ ἀντὶ Ἀγάθωνος τοῦ ἁγιωτάτου Πάπα Ῥώμης εἰς τὴν τῶν ἐξάρχων τάξιν ἠριθμοῦντο· καὶ τοῦ τῆς Ἀλεξάνδρου δὲ μεγαλοπόλεως θρόνου Πέτρος Μοναχὸς τὸν τόπον ἀνεπλήρου· μεθ' ὧν καὶ Γεώργιος Μοναχὸς καὶ Πρεσβύτερος εἰς τὸν βαθμὸν τῆς Ἀρχιερατικῆς τῶν Ἱερουσολύμων παρήγγελε καθέδρας. Οὗτοι δὲ σὺν τοῖς ἄλλοις ἱεροῖς καὶ ἁγίοις Πατράσι, Σέργιον, Πύῤῥον, Παῦλον, Κωνσταντινουπόλεως κατάρξαντας, καὶ Ὁνώριον Ῥώμης, Κῦρόν τε Ἀλεξανδρείας, καὶ Θεόδωρον τὸν τῆς Φαρὰν, τὴν ἀλληλόπλοκον τοῦ ψεύδους σειρὰν διαῤῥήξαντες (οὐ μὴν ἀλλὰ καὶ Μακάριον Ἀντιοχείας, ἅμα Στεφάνῳ τῆς αἱρέσεως μαθητῇ, σὺν γέροντί τινι ἀθλίῳ τοὔνομα Πολυχρονίῳ, ἐπιπλακέντας αὐτοῖς. καὶ τῆς ἐκείνων δυσσεβείας ὑπερμαχεῖν μελετήσαντας) ὑπὸ δικαίαν καταδίκην ἐποιήσαντο· ὅτι μίαν θέλησιν καὶ μίαν ἐνέργειαν ἐπὶ Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, τοῦ ἐκ δύο πεφυκότος φύσεων, δυσσεβεῖ καὶ ἀλόγῳ φρονήματι

нал и анатемосал привърженика на Евтихиевото учение[1] Антим от Трапезунд и Севир, Петър Апамейски и Зоор и всичката оная лукава, многоглава и на много места пръсната шайка. Това свещено дело подел особено римският епископ Агапит[2] със съгласието и съдействието на именити архиереи, между които били славният Ефремий, предстоятел на Антиохийската църква, а свещеният Петър — на Ерусалимската църква. Божественото събрание на архиереите, като отхърлило и осъдило всички тия лица, укрепило и потвърдило неизменните божествени догми на съборната и апостолска църква. Това извършил петият вселенски събор.

16. А светият шести и вселенски събор — и той в царския град[3] — издигнал свещения театър за тайнствените представления на истината и с подвизите на сто и седемдесет богоносни отци помогнал на благочестието да добие бляскава победа. Водители на събора и достойни да първенствуват пред другите били смятани Георги[4], комуто била връчена свещеноначалническата власт над царския град, и презвитерите Теодор и Георги, които заедно с дякон Йоан като представители на светейшия римски папа Агатон[5] се броели в реда на ръководителите. Пълномощник пък на александрийския престол бил монах Петър. Заедно с тях бил и Георги монах и презвитер, който се домогвал до ерусалимския архиерейски престол. Тези заедно с други и свещени, и свети отци скъсали преплетената верига на лъжата, съставена от началствувалите над Цариград Сергий[6], Пир[7] и Павел[8], както и от Хонорий Римски[9], Кир Александрийски и Теодор Фарански. При това те справедливо осъдили Макарий Антиохийски заедно с последователя на ереста Стефан и някой си окаян старец, на име Полихроний, които се били присъединили към споменатите по-горе и смятали да защищават нечестието им. Защото с нечестива и безумна мисъл дръзнали да кажат, че у Христа, истинския наш бог, който се състои от две естества, има една воля

[1] Сиреч привърженик на монофизитизма. [2] Папа Агапит I (535—536). [3] Шестият вселенски събор бил свикан в Цариград през 680 г. [4] Цариградският патриарх Георги I (678—684). [5] Папа Агатон (678—681). [6] Цариградският патриарх Сергий I (610—639). [7] Цариградският патриарх Пир (639—642). [8] Цариградският патриарх Павел II (642—653). [9] Папа Хонорий I (625—638).

ἐτόλμησαν ἀποφήνασθαι· μηδὲ τοῦτο λογισμοῖς ἀναλαβόντες οἱ ἀσύνετοι, ῥᾴδιον ὂν καὶ πρόχειρον εἰς κατάληψιν, ὡς οὐκ ἔστι τῆς αὐτῆς ἐνεργείας χωλὸν κατ᾿ἐξουσίαν ὀρθῶσαι, καὶ κόπους ὁδοιπορίας μετέρχεσθαι· οὐδὲ τυφλοὺς ὀμματῶσαι, καὶ γῆν σιάλῳ δακτύλων ἔργο ς φυρᾶσαι, καὶ πηλὸν ποιῆσαι, καὶ ἐπιβαλεῖν τοῖς ὄμμασιν· οὐδὲ νεκρὸν ἀναστῆσαι, καὶ δακρύειν ἐπὶ τελευτήσαντι· οὐ μὴν οὐδὲ τῆς αὐτῆς ἐστι θελήσεως παρελθεῖν αἰτεῖσθαι τὸ ποτήριον τοῦ θανάτου, καὶ δόξαν αὐτὸ καλεῖν πάλιν καὶ βούλεσθαι τὸ ἀθέλητον. Ἀλ ὰ πῶς οὐχὶ συνῄσθοντο διὰ τούτων καὶ τῶν φύσεων τὴν διαφορὰν ἐξαρνούμενοι; Πᾶσα γὰρ φύσις πηγὴ ἐνεργείας, καὶ ταῖς διαφόροις ἐνεργείαις αἱ φυσικαὶ θελήσεις συνδιασχίζονται. Καὶ εἰ, κατὰ τὴν ἐν αὐτοῖς πλάνην, ἡ ἐνέργεια καὶ ἡ θέλησις μία, καὶ ἡ φύσις πάντως. ἐξ ἧς ταῦτα, μία εἰ δὲ δύο αἱ φύσεις (οὔπω γὰρ εἰς τοῦτο μανίας ἐξώκειλαν, ἐν ὀφθαλμοῖς ἔχοντες τὴν διασπορὰν τῶν καταρξάντων καὶ ἀπώλειαν) πῶς οὐχὶ ἑκατέρα πηγάσει τὴν οἰκείαν ἐνέργειαν καὶ τὴν θέλησιν; Ἀλλ᾿οὗτοι μὲν τῆς ἰδίας αὐτῶν καὶ δυσφήμου δόξης οὐδὲν προτιμήσαντες, σὺν αὐτῇ ἐκείνῃ τῷ αἰωνίῳ κατεδικάσθησαν ἀναθέματι· δύο δε θελήσεις φυσικάς, καὶ δύο ἐνεργείας ἐπὶ τοῦ ἑνὸς Χριστοῦ Θεοῦ ἡμῶν, τῶν θεοφόρων Πατέρων ἱερολογήσας ὁ σύλλογος, ταῖς ἁπανταχοῦ Ἐκκλησίαις τὸ διπλοῦν ὁμολογεῖν καὶ κηρύσσειν, ὥσπερ τῶν φύσεων, οὕτω καὶ τῶν ἐνεργειῶν καὶ θελήσεων, ὀρθοδόξως παραδεδώκασιν. Κωνσταντῖνος δὲ τηνικαῦτα, ὁ ἀπόγονος Ἡρακλείου, τὸν προγονικὸν τῆς βασιλείας κλῆρον ἐχρημάτιζεν ἀναδεδεγμένος, τά τε ἄλλα συμπράττων τῇ Συνόδῳ, καὶ τὸ ὀρθὸν τῆς Ἐκκλησίας φρόνημα πρεσβεύων. Ἀλλ᾿ἐν τούτοις μὲν καὶ ἡ ἕκτη.

и едно действие.[1] Те, неразумните, не взели под внимание дори това, което е много ясно и лесно за разбиране, че не е признак на едно и също действие [Христос] да изправи самовластно хром човек и този да понася трудностите на пътуването; нито да отваря очите на слепи, като с пръсти смеси земя със слюнка и направи кал и я постави на очите; нито да възкреси мъртъв и да пролива сълзи за покойника. Така също не е свойствено на една и съща воля, от една страна, да моли, за да отмине чашата на смъртта, а, от друга, да нарича същата чаша слава и да иска това, което е нежелано. Но как не са се догадили, че по тоя начин те отричат и разликата между естествата? Защото всяко естество е извор на действия и чрез различните действия се проявяват волите на различните естества. И ако според тяхната заблуда действието и волята са едно, тогава без друго ще бъде едно и естеството, от което те произтичат. Но ако естествата са две (защото те, като имали пред вид разпръсването и загиването на първите [учители на тази заблуда], още не са били достигнали до такава лудост), как всяко едно от тях няма да прояви своето действие и своята собствена воля? Но понеже са предпочели своето хулно мнение пред всичко друго, затова те заедно с последното били осъдени на вечна анатема, а съборът на богоносните отци, като определил, че у единствения Христос — бог наш — има волите на двете природи и две действия, предал на всички църкви православно да изповядват и проповядват, че той има две естества, две воли и действия. В това време наследник на праотческата си царска власт бил потомъкът на Ираклий[2] — Константин[3], — който и във всичко друго съдействувал на събора и приемал правото учение на църквата. Това е извършил шестият [вселенски] събор.

ιζ'. Ἡ δὲ ἁγία καὶ οἰκουμενικὴ ἑβδόμη Σύνοδος, Νίκαιαν μέν, τῆς Βιθυνῶν μητρόπολιν, οὖσαν, καὶ τῶν ὀρθῶν δογμάτων δικα-

17. Светият пък седми и вселенски събор за място, дето да се произнесе за благочестието, избрал и той Никея,[4]

[1] Тук патриарх Фотий говори за монотелитската ерес. Според нея Исус Христос имал две природи — божествена и човешка, — но е имал една воля *μόνη θέλημα*. Монотелизмът представлявал опит да се примирят диофизити (никеанци) и монофизити. Това учение било одобрено и възприето от император Ираклий (610–641), който искал да го използува за приобщаване източните провинции, настроени благосклонно към монофизитите. Срв. *Ангелов*, История на Византия, I, стр. 154—155. [2] Византийският император Ираклий. [3] Византийският император Константин IV (668—685). [4] Седмият вселенски събор бил свикан в град Никея през 787 г.

στήριον πάλαι γεγονυῖαν, καὶ αὐτὴ τῆς εὐσεβείας κριτήριον ἔδειξεν, ἑπτὰ μὲν καὶ ἑξήκοντα καὶ τριακοσίων ἱερῶν ἀνδρῶν τῷ πλήθει πλατυνομένη, ταξιάρχους δὲ καὶ πρωτοστάτας τῆς ἱερᾶς αὐτῶν καὶ μεγάλης φάλαγγος προβαλλομένη. Ταράσιόν τε τὸν ἐν Ἀρχιερεῦσι Θεοῦ περιβόητον (θεῖος οὗτος καὶ πανάριστος ἀνήρ, καὶ τῆς βασιλίδος πόλεως τοὺς ἱεραρχικοὺς οἴακας, εἴπερ τις ἄλλος περιάγειν ἄξιος, καὶ δὴ καὶ Πέτρον τὸν εὐλαβέστατον Πρωτοπρεσβύτερον τῆς κατὰ Ῥώμην ἁγίας Ἐκκλησίας, καὶ Πέτρον ἄλλον, Πρεσβύτερον καὶ αὐτόν, καὶ τῆς ἐκεῖσε Μονῆς ἡγούμενον τοῦ ἁγίου Σάββα· οἳ τῆς Ἀποστολικῆς καθέδρας διεκληροῦντο τὸν τόπον. Ἀδριανοῦ τότε τὸ Ἀρχιερατικὸν κοσμοῦντος ἀξίωμα· ἅμα δὴ τούτοις Ἰωάννην καὶ Θωμᾶν ἄνδρας μοναδικῇ πολιτείᾳ περιωνύμους, καὶ ἱερατικῇ τιμῇ διαλάμποντας, καὶ τῆς Ἀνατολικῆς ἁπάσης διοικήσεως τῶν Ἀποστολικῶν καὶ μεγάλων θρόνων τοποτηρητάς, καὶ τὸ τῶν Ἀρχιερέων προνόμιον ἔχοντας· λέγω δὴ Ἀπολλιναρίου τε καὶ Θεοδωρήτου καὶ Ἠλία· ὧν ὁ μὲν Ἀλεξανδρείας, ὁ δὲ Ἀντιοχείας, καὶ ὁ λοιπὸς δὲ Ἱεροσσολύμων, ἱεροπρεπῶς τε καὶ πανσόφως προειστήκεισαν. Τότε Κωνσταντῖνος καὶ Εἰρήνη, Ὀρθοδοξίας στεφάνῳ κοσμούμενοι, τὴν Αὐτοκράτορα τῆς Ῥωμαίων Ἀρχῆς πορφυρίδα ἐστολίζοντο. Αὕτη τοιγαροῦν ἡ ἱερὰ καὶ μεγάλη Σύνοδος ἀρτιφυῆ τε καὶ βάρβαρον αἵρεσιν, ὑπὸ δυσσεβῶν τε καὶ ἀνιέρων ἀνδρῶν παρεισαχθεῖσαν, θεοκρίτῳ καὶ κοινῷ ψηφίσματι κατεδίκασε, καὶ τοὺς εἰσηγητὰς καὶ προμάχους αὐτῆς τῷ αὐτῷ συνυποβάλλουσα κρίματι. Οὗτοι γὰρ οἱ δείλαιοι Χριστόν, τὸν ἀληθινὸν Θεὸν ἡμῶν, βλασφημεῖν οὐχ ὁμολογοῦντες τοῖς ῥήμασι, διὰ τῶν ἔργων πᾶσαν ἐπενόουν ὕβριν καὶ βλασφημίαν καὶ ἀσέβειαν· καὶ αὐτὸν ἐκεῖνον δυσφημεῖν ἀμέσως καὶ χωρίς τινος παραπετάσματος οὐ θαῤῥήσαντες διὰ τῆς σεπτῆς εἰκόνος τὸ πᾶν αὐτῶν τῆς χριστομάχου γνώμης ἐξεπλήρουν θέλημα. Εἴδωλον γὰρ (ὢ τολμηρᾶς καὶ ἀθέου γλώσσης καὶ διανοίας ἀπήχημα!) τὴν προσκυνητὴν εἰκόνα τοῦ Χριστοῦ, δι' ἧς εἰδώλων πλάνη διώκεται,

главен град на Витиния, който и по-рано бил станал съдилище на правите догми. Участвуващите в него свещени мъже били на брой триста шестдесет и седем. За вождове и първостоятели на тоя свещен и голям полк се явили Тарасий[1], чутовен между божиите архиереи (мъж божествен и преотличен и повече от всекиго другиго достоен да управлява свещеноначалническото кормило на столицата[2]), и Петър, преблагоговейният протопрезвитер на светата Римска църква, и другият Петър, презвитер и игумен на тамошния манастир „Св. Сава", които заемали мястото на апостолското седалище в това време, когато Адриан[3] украсявал архиерейското достойнство. Заедно с тях били Йоан и Тома, мъже преименити поради монашеския си живот и сияещи със свещеническа чест, местоблюстители на апостолските и велики престоли в целия Източен диоцез и имащи пълномощия на следните архиереи: Аполинарий, Теодорит и Илия, които премъдро и свещенолепно били предстоятели — единият на Александрия, вторият на Антиохия, третият на Ерусалим. В това време императорската багреница на ромейската власт носели Константин и Ирина, украсени с венеца на православието.[4] Този прочее свещен и велик събор с боговдъхновено и общо решение осъдил една новопоявила се варварска ерес, въведена от злочестиви и скверни хора, като подвел под същата присъда и нейните внушители и поборници. Защото тези окаяници на дума не признавали, че хулят Христа, истинския наш бог, но на дело измисляли всякаква обида, хула и нечестие. Като не смеели направо и открито да хулят него самия, те, [хулейки] свещения му образ, удовлетворявали всичкото желание на христоборческия си ум.[5] Хулейки като идол (о глас на дързък и безбожен език и ум!) почитания Христов образ, чрез който е прогонена идолската заблуда, и като го под-

[1] Цариградският патриарх Тарасий (784—806). [2] Сиреч на Цариград. [3] Папа Адриан I (772—795). [4] Византийският император Константин VI управлявал заедно с майка си Ирина през периода 780—797 г. По тяхно време на събора в Никея (787) било осъдено иконоборството и възстановено православието (иконопочитанието). [5] Тук патриарх Фотий говори за иконоборството. Както е известно, иконоборството се явява като опит на централната византийска власт, подкрепяна от военната аристокрация, да ограничи забогатяването на манастирите. Срв. *K. Schwarzlose,* Der Bilderstreit. Ein Kampf der griechischen Kirche um ihre Eigenart und um ihre Freiheit, Gotha 1890.— *М. Я. Сюзюмов,* Проблемы иконоборчества в Византии, Ученые записки Свердловского гос. пед. института, 1948, вып. IV по Кафедре истории древнего мира и истории средних веков, стр. 48—110. — *Ostrogorsky*, History, pp. 122, 135, 142—149 sq.

καθυβρίζοντες, καὶ πάσαις αὐτὴν ἀτιμίαις περιβάλλοντες, ἀνὰ τὰς ἀγορὰς καὶ τὰς λεωφόρους ποσὶ κατεπάτουν, περιέσυρον, πυρὶ παρεδίδοσαν θέαμα Χριστιανοῖς ἐλεεινὸν καὶ τῆς ἑλληνικῆς χριστομαχίας μόνης ἄξιον. Τὰ αὐτὰ δὲ καὶ κατὰ τῶν ἄλλων ἱερῶν εἰκονισμάτων ποσὶ ταχεινοῖς ἐκχέαι αἷμα, χερσί τε παλαμναίαις, καὶ βεβήλοις χείλεσιν ἐνησέλγαινον, καὶ κόρον οὐδένα τῆς τηλικαύτης μανίας καὶ παραπληξίας οὐδαμῶς ἐλάμβανον οἱ ἀλάστορες ἀλλὰ τῶν ἑλληνικῶν βδελυγμάτων οὐδὲν ἔλαττον, εἰ καὶ μὴ μᾶλλον, τὰ Χριστιανῶν ἱερὰ σύμβολά τε καὶ ἐκτυπώματα διὰ μίσους ἄγοντες, ἐβδελύσσοντο· δι᾿ ὧν αὐτοῖς καὶ ὁ ἄσπονδος πόλεμος κατὰ Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων συνεκροτεῖτο καὶ ἐκρατύνετο. Δῆλον γὰρ ἅπασιν, ὡς ἡ τιμὴ τῶν εἰκονισμάτων τιμὴ γίνεται τῶν εἰκονιζομένων, ὥσπερ καὶ ἡ ἀτιμία εἰς αὐτὰ διαβαίνει τὰ εἰκονιζόμενα. Ἀλλ᾿ οὗτοι, τὰ νέα τῶν χριστομάχων Ἰουδαίων γεννήματα, δι᾿ ὧν μὲν τὴν σεπτὴν εἰκόνα Χριστοῦ καὶ τῶν αὐτοῦ ἁγίων ἐνύβριζον, τὸ προγονικὸν ἀνεπλήρουν ὑστέρημα εἰς τὰ τῶν Ἰουδαίων τολμήματα ἐκφερόμενοι, καὶ νικᾶν φιλονεικοῦντες τῇ ὑπερβολῇ τῆς προθυμίας τοὺς γεννήτορας· δι᾿ ὧν δὲ Χριστιανῶν ἐν μέσῳ οὐκ ἔσχον τολμῆσαι τὸν Χριστὸν καὶ χείλεσιν ἀπαρνήσασθαι, καὶ αὐτοῦ ἐκείνου τοῦ ἰουδαϊκοῦ καὶ πατρῴου ζήλου ἠλέγχοντο διαπίπτοντες, καὶ νόθον καὶ ταύτην αὐτῶν δεικνύντες τὴν μίμησιν, καὶ μηδαμοῦ στάσιν ἔχοντες· ἀλλ᾿ ὥσπερ τῷ κακῷ καρωθέντες τῆς αἱρέσεως, ὧδε κἀκεῖσε διεῤῥιπτοῦντο καὶ παρεφύροντο. Χριστιανοὺς μὲν γὰρ ἑαυτοὺς ὀνομάζοντες, κατὰ Χριστοῦ ἐφρυάττοντο· καὶ τὴν Ἰουδαίων κλῆσιν οὐ προσιέμενοι, τὸ χριστομάχον αὐτῶν παρεζήλουν διὰ τῆς εἰκονομαχίας, καὶ ὑπερέβαλλον· οὐ μόνον δέ, ἀλλὰ καὶ τὸ τῆς εἰδωλολατρείας ἐκκλίνοντες ὄνομα, οὐδὲν εἰδωλολατρῶν ἀνεκτότερα εἴς τε Χριστιανοὺς αὐτοὺς καὶ εἰς τὰ τῶν Χριστιανῶν θεῖα καὶ ἄχραντα μυστήρια ἐπεδείξαντο. Δι᾿ ὃ τούτους μέν, ὅσοι μὴ τῆς μοιχαλίδος ταύτης καὶ πολυσπόρου καὶ συμπεφυρμένης δόξης φυγεῖν ἠθέλησαν τὴν δυσγένειαν, ὡς νόθα γένη καὶ ἔκφυλα τῆς τῶν πιστῶν εὐγενείας, ἡ ἁγία καὶ οἰκουμενικὴ διακρίνασα Σύνοδος, δεσμοῖς ἀλύτοις τοῦ ἀναθέματος καθυπέβαλε· τὴν δὲ εἰκόνα Χριστοῦ, τοῦ ἀληθινοῦ Θεοῦ ἡμῶν, κατὰ

лагали на всякакво безчестие, те го тъпчели с нозе и влачели по тържища и стъгди и на огън го предавали — зрелище, прескръбно за християните и достойно само за езическото христоборство. Същото извършвали и против другите свещени изображения, като безчинствували с нозе, бързи да проливат кръв, с мръсни ръце, със скверни устни, и не можели злодейците никак да се наситят на този бяс и безумие. Но като мразели свещените християнски символи и изображения не по-малко, ако не и повече, отколкото езическите мерзости, гнусели се от тях и водели усилена и непримирима война против Христа и светиите му. Защото ясно е за всички, че почитта към изображенията е чест, отдавана на изобразяваните [лица], както и безчестието преминава върху самите изобразявани лица. Но те, новите изчадия на христоборците юдеи, с това безчестили свещения образ на Христа и на светиите му, довършвали това, което не бяха направили праотците им, защото изпаднали в юдейска дързост и в прекаленото си усърдие се надпреварвали да надминат предците си. С това пък, че нямали смелостта сред християните да се отрекат и устно от Христа, доказвали, че били лишени от ревността на праотците си юдеи, че не са били добри техни подражатели и че не можали да се установят на едно, а като замаяни от еретическата злоба се разправяли и мятали тук-там. Защото християни се наричали, а против Христа беснеели и да се зоват юдеи не приемали, но с иконоборческите си постъпки те им съперничели и дори надминали тяхното христоборство. Не само това, но отхвърляли името на идолопоклонството и към самите християни и към божествените пречисти християнски тайнства се отнасяли не по-добре от идолопоклонниците. Затова светият и вселенски събор осъдил и предал на вечно проклятие ония, които не искали да се откажат от това изродено, прелюбодейно, разносеменно и разбъркано учение като от рожба незаконна, чужда на благородството на верните[1]. Той утвърдил и запечатал единогласно да се покланяме и почитаме образа на Христа, истинския наш бог, в чест и уважение на изобразявания съгласно с

[1] Т. е. на християните.

τὰς ἄνωθεν Ἀποστολικάς τε καὶ Πατρικὰς παραδόσεις, καὶ τὰς τῶν ἱερῶν λογίων ἐκφαντορίας, ἐπὶ τιμῇ καὶ σεβασμιότητι τοῦ εἰκονιζομένου, προσκυνεῖσθαι καὶ τιμᾶσθαι ψήφοις ἁπάσαις ἐπεκύρωσέ τε καὶ ἐπεσφραγίσατο, τῆς προσκυνήσεως καὶ τιμῆς δηλονότι προσαγομένης, καθ᾽ ὃν τρόπον καὶ τοῖς ἄλλοις ἱεροῖς τύποις καὶ συμβόλοις τῆς καθ᾽ ἡμᾶς ἁγιωτάτης λατρείας προσερχόμεθα. Οὐ γάρ ἐν αὐτοῖς ἱστῶμεν καὶ συμπερικλείομεν τὴν τιμὴν καὶ προσκύνησιν, οὐδ᾽ εἰς ἑτερόφυλα καὶ διάφορα τέλη σχιζόμεθα· ἀλλὰ διὰ τῆς φαινομένης διαφόρου καὶ μεριστῆς αὐτῶν θεραπείας καὶ προσκυνήσεως ἱεροπρεπῶς τε καὶ ἀδιαιρέτως εἰς τὴν ἀμέριστον ἐκείνην ἑνοειδῆ τε καὶ ἑνοποιὸν θεότητα ἀναγόμεθα.

ιη΄. Οὕτω τὸν τίμιον Σταυρὸν προσκυνοῦμεν, ἐν ᾧ τὸ Δεσποτικὸν ἐξεταν΄ύσθη σῶμα, καὶ τὸ τοῦ κόσμου καθάρσιον ἀνέβλυσεν αἷμα, καὶ ἡ τοῦ ξύλου φύσις ταῖς ἐκεῖθεν ῥοαῖς ἀρδευθεῖσα, τὴν ἀγήρω ζωὴν ἐβλάστησεν ἀντὶ τοῦ θανάτου. Οὕτω τὸν τύπον τοῦ Σταυροῦ προσκυνοῦμεν, δι᾽ οὗ δαιμόνων ἐλαύνεται στίφη, καὶ πάθη θεραπεύεται ποικίλα, τῆς ἅπαξ ἐν τῷ πρωτοτύπῳ χάριτος καὶ δυνάμεως ἐνεργηθείσης καὶ μέχρις αὐτῶν τῶν τύπων μετὰ τῆς ὁμοίας ἐνεργείας συμπροϊούσης. Τούτων τοιγαροῦν ἕκαστον τήν τε Χριστοῦ εἰκόνα, φημί, καὶ αὐτὸν τὸν Σταυρόν, καὶ δὴ καὶ τοῦ Σταυροῦ τὸν τύπον, παραπλησίως τῇ σαβασμιότητι καὶ προσκυνήσει ἐξοσιοῦντες, οὐκ ἐν αὐτοῖς περιγράφομεν καὶ περιορίζομεν τὴν τιμὴν καὶ τὸ σέβας, ἀλλ᾽ εἰς τὸν δι᾽ ἡμᾶς ἐνανθρωπήσαντα πλύτῳ φιλανθρωπίας ἀφάτῳ, καὶ τὸν ὑπὲρ ἡμῶν ἐπονείδιστον θάνατον ἑκουσίως ὑπενεγκόντα, ταύτην ἀναφέρομεν καὶ ἀνιεροῦμεν. Οὕτω δὴ καὶ ναοὺς Ἁγίων, καὶ τάφους, καὶ λείψανα, πιστοῖς βρύοντα ἰάσεις, πιστῶς προσκυνοῦμεν, τὸν αὐτοὺς δοξάσαντα Χριστὸν τὸν Θεὸν ἡμῶν μεγαλύνοντες καὶ ἀνευφημοῦντες. Καὶ δὴ καὶ εἴ τι τούτοις κατὰ τὰς μυστικὰς καὶ ἁγίας ἡμῶν τελετάς ἐστι παραπλήσιον, διὰ τῆς ἐν αὐτοῖς ἐνεργουμένης δωρεᾶς τε καὶ εὐεργεσίας, τὸ ἀρχικόν τε καὶ πρωτουργὸν αἴτιον ἐπιγινώσκομέν τε καὶ δοξολογοῦμεν. Δι᾽ ὃ καὶ τῶν μακαρίων ἐκείνων καὶ ἱερῶν ἀνδρῶν ἡ θεοφόρος καὶ ἁγία πανήγυρις οὐ μόνον τὴν εἰκόνα Χριστοῦ, καθ᾽ ἅπερ ἔφημεν, ἀλλά γε δὴ καὶ τῆς παναχράντου καὶ ἀειπαρθένου Δεσποίνης ἡμῶν Θεοτόκου, καὶ πάντων τῶν Ἁγίων τὰς ἱερὰς εἰκόνας, κατ᾽ ἀναλογίαν τῆς τῶν πρωτοτύπων ὑπεροχῆς καὶ σεβασμιότητος, τιμᾶσθαι καὶ προσκυνεῖσθαι κοινῶν θεσπισμάτων ὅροις ἐπεσφράγισέ τε καὶ ἐπεκύρωσεν. Καὶ γὰρ καὶ δι᾽ αὐτῶν

древните апостолски и отчески предания и свидетелствата на свещеното писание, сиреч като отдаваме поклонение и чест по същия начин, както се отнасяме към другите свещени изображения и символи на нашето пресвето богопоклонение. Защото ние не се спираме и не ограничаваме почитта и поклонението [само върху образите], нито пък се делим на разнородни и различни обреди, но чрез привидно различно и частично служене и покаяние към тях ние свещенолепно и неразделно се въздигаме към божеството, което е неразделно, единообразно и обединително.

18. Така се покланяме на честния кръст, на който е било разпнато господнето тяло и отдето е бликнала очистителната за света кръв, та от естеството на дървото, напоено от потеклите там струи, произлязъл вместо смърт безсмъртен живот. Така ние се кланяме на изображението на кръста, чрез който се прогонват демонски пълчища и се изцеряват разни страдания с помощта на благодатта и силата, която се е проявила веднаж в първообраза и се простира със същото действие и върху самите изображения. И тъй, като отдаваме на всяко едно от тези, сиреч на Христовия образ и на самия кръст, както и на кръстното изображение, еднакво почитание и поклонение, ние не поставяме предели, нито ограничаваме почитта и уважението си със самите тях, но отнасяме и посвещаваме тази почит към оногова, който поради неизказано богатство на човеколюбие стана човек заради нас и доброволно претърпя за нас позорна смърт. Също така ние с вяра се покланяме на храмове, на гробове и мощи на светии, от които извира изцеление за верните, като величаем и славим Христа, бога наш, който ги е поставил. И ако в тайнствените и свети наши служби има нещо, подобно на горните чрез действуващата в тях дарба и благодат, ние признаваме и славим първичната и първодействуваща причина. Затова богоносното и свето събрание на онези блажени и свещени мъже с общи решения скрепило и потвърдило да се покланяме и почитаме не само иконата на Христа, както казахме, но и свещените икони на пречистата и приснодева господарка наша Богородица и на всички светии съобразно с възвишеността и светостта на първообразите. Защото ние чрез тях се възви-

εἰς ἑνοποιόν τινα καὶ συναγωγὸν ἀναγόμεθα θεωρίαν, καὶ τῆς πρὸς τὸ ἀκρότατον τῶν ὀρεκτῶν δι᾿αὐτῆς ἀξιούμεθα θείας καὶ ὑπερφυοῦς συναφείας. Ἀλλὰ ταῦτα μὲν σοφῶς τε καὶ θεαρέστως τελεσαμένη διώρισε· πᾶσαν δὲ αἱρετικὴν νόσον καὶ πᾶσαν ἀκοσμίαν τῆς λογικῆς ἀγέλης ἀπελάσασα, τὸν οἰκεῖον κόσμον καὶ τὸ κάλλος τὴν Ἐκκλησίαν ἐπαναλαβοῦσαν ἀπέδειξε· καὶ οἷα δὴ Νύμφην, οὐκ ἐν κροσσωτοῖς χρυσοῖς, ἀλλ᾿ ἐν ἱεροῖς ἐξωραϊσθεῖσαν εἰκονίσμασιν, ἐκ δεξιῶν τοῦ Νυμφίου Χριστοῦ παραστήσασα, ἱλαροῖς καὶ χαίρουσιν ὀφθαλμοῖς καθορᾶσθαι καὶ ἐναγλαΐζεσθαι παντὶ τῷ τῶν πιστῶν πληρώματι παρεσκεύασεν.

ιθ΄. Αὕτη τῆς πίστεως ἡμῶν τῶν Χριστιανῶν ἡ καθαρὰ καὶ ἀμώμητος ὁμολογία· αὕτη τῆς ἀχράντου καὶ εἰλικρινοῦς λατρείας ἡμῶν καὶ τῶν περὶ αὐτὴν σεπτῶν μυστηρίων ἡ θεόσοφος μυσταγωγία· κατὰ ταύτην μέχρι βίου δυσμῶν καὶ φρονοῦντες καὶ πιστεύοντες καὶ πολιτευόμενοι, πρὸς τὴν ἀνατολὴν τοῦ νοητοῦ ἡλίου, τῆς ἐκεῖθεν ἀνεσπέρου αὐγῆς καὶ λαμπρότητος τρανώτερόν τε καὶ τελεότερον ἀπολαύσαντες. Ταύτην προσήκει καὶ τὴν ὑμετέραν θεοφρούρητον σύνεσιν, ἤδη πρὸς τὸν ἡμέτερον κλῆρον τῆς εὐσεβείας ἀφορῶσαν, εἰλικρινεῖ διαθέσει, καὶ γνώμης εὐθύτητι, καὶ ἀδιστάκτῳ πίστει ἀποδέχεσθαι καὶ στέργειν, καὶ μήτε δεξιᾷ, μήτε ἀριστερᾷ, μήτε βραχὺ ταύτης ἀποκλίνειν· τοῦτο γὰρ τῶν Ἀποστόλων τὸ κήρυγμα· τοῦτο τῶν οἰκουμενικῶν Συνόδων τὸ φρόνημα. Δι᾿ὃ μόνον σέ αὐτὸν φρονεῖν οὕτω δεῖ καὶ δοξάζειν, ἀλλὰ καὶ τοὺς ὑπὸ σέ τεταγμένους εἰς τὸ αὐτὸ τῆς ἀληθείας φρόνημα χειραγωγεῖν, καὶ πρὸς τὴν αὐτὴν καταρτίζειν πίστιν, καὶ μηδὲν τῆς τοιαύτης σπουδῆς καὶ ἐπιμελείας ἡγεῖσθαι τιμιώτερον· Ἄρχοντος γὰρ ὡς ἀληθῶς μὴ τῆς ἰδίας μόνον σωτηρίας ποιεῖσθαι φροντίδα, ἀλλὰ καὶ τὸν ἐμπιστευθέντα λαὸν τῆς ἴσης ἀξιοῦν προνοίας, καὶ εἰς τὴν αὐτὴν τῆς θεογνωσίας χειραγωγεῖν τε καὶ προσκαλεῖσθαι τελειότητα. Μὴ τοίνυν τῶν ἐλπίδων ἡμᾶς διαψευσθῆναι ποιήσης, ἃς ἡ σὴ περὶ τὰ καλὰ ῥοπή τε καὶ εὐηκοΐα παρέσχε προβάλλεσθαι· μηδὲ τοὺς πόνους καὶ τοὺς ἀγῶνας, οὓς ὑπὲρ τῆς ὑμετέρας σωτηρίας ἀνεδεξάμεθα χαίροντες ματαίους ἐλέγξης· μηδ᾿ἄρχεσθαι μὲν προθυμίᾳ τοῦ θείου κηρύγματος ὑποδέχεσθαι τοὺς λόγους σαυτὸν ἐπιδείξης, εἰς ῥαθυμίαν δὲ τὴν προθυμίαν καταλύσης· ἀλλ᾿ὅμοιον μὲν τῇ ἀπαρχῇ τὸ τέλος, σύμφωνον δὲ τὴν πολιτείαν τῇ πίστει, κοινὸν δὲ ἀγαθὸν καὶ γένους καὶ πατρίδος τὴν σὴν διδοὺς ἐξουσίαν καθορᾶσθαι καὶ ὀνομάζεσθαι τὴν ἐμὴν ἐπὶ σοὶ χαρὰν καὶ εὐφροσύνην διατήρει ἀνεξάλειπτον.

шаваме до съзерцание, което ни обединява и събира, и чрез това се удостояваме да се съединим по начин божествен и преестествен с бога — крайното наше желание. Всичко това светият събор мъдро и богоугодно завършил и определил и като премахнал от словесното стадо всеки еретически недъг и всяка грозота, възвърнал украсата и красотата на църквата, която представил отдясно на жениха Христа като невяста, украсена не със златни ресници, а със свещени изображения, и я натъкмил така, че цялото множество на верните да я гледа с весели и радостни очи и да й се радва.

19. Това е чистото и непорочно изповедание на нашата християнска вяра. Това е богомъдрото тайнство за пречистото и искрено наше богослужение и за свещените му тайнства. Като мислим и вярваме и живеем съгласно с него до края на живота си, ние се стремим към изгрева на духовното слънце, за да се насладим по-ясно и по-пълно на незалязващото му сияние и блясък. Това трябва да приеме и обича с искрено разположение, с права мисъл и непоколебима вяра също и ваше богохранимо благоразумие, след като се обърнахте вече към нашето благочестие, и не бива да се отклонявате от него надясно, нито наляво, нито дори за малко време. Защото това е проповедта на апостолите, това е учението на вселенските събори. Затова не само ти сам трябва да мислиш и вярваш така, но и подчинените си да ръководиш към същото истинско учение, за да ги упътваш към същата вяра и да не смяташ, че има нещо по-скъпо от това усърдие и грижа. Защото наистина един владетел е длъжен да се грижи не само за своето спасение, но и поверения нему народ да удостоява със същата грижа, да го ръководи и подтиква към съвършенството на богопознанието. И тъй не оцетявай нашите надежди, които твоята склонност към доброто и послушанието ти дадоха повод да се появят. Нито пък показвай, че са били напразни трудовете и старанията, които с радост предприехме за вашето спасение. Не показвай, че си започнал с усърдие да приемаш словата на божествената проповед, а ще завършиш усърдието си с леност. Като имаш край, подобен на началото, а живот, съгласен с вярата, и като упражняваш властта си така, че тя да се вижда иименува общо благо за род и отечество, в същото време пази незаличима радостта и веселието, които имам заради тебе.

κ' Ἀλλ' ὅρα δή μοι φιλόχριστε καὶ πνευματικὲ ἡμῶν υἱέ, καὶ εἴ τι ἄλλο κλεινὸν καὶ καλὸν στοργῆς ἄξιον ὄνομα, ὅρα τοιγαροῦν ὅσας παρατάξεις ὁ πονηρὸς κατὰ τῆς εὐσεβοῦς καὶ μόνης ἀληθινῆς τῶν χριστιανῶν θρησκείας ἐπαλαμήσατο, αἱρέσεις διαφόρους καὶ στάσεις καὶ μάχας, καὶ πολέμους ἐπινοῶν. Ὅρα δὲ καὶ τοῦτο, ὅπως ἁπάσας αὕτη κατεστρέψατο, καὶ λαμπρὰ τὰ κατὰ πάντων ἀνέστησε τρόπαια· καὶ μηδὲν θαυμάσῃς τὰς κατ' αὐτῆς λογιζόμενος ἐπινοίας καὶ ἐπιβουλάς. Πρῶτον μὲν γὰρ οὐκ ἂν περιφανὴς καὶ κραταιὰ καὶ ἐπίσημος διὰ τῆς νίκης ἐγίνετο εἰ αὐτῇ πολέμιον συνεπλέκετο ἔπειτα δὲ καὶ συνορᾶν ῥᾴδιον, ὡς ἔνθαπερ ὁ πονηρὸς σφοδρότερον πολεμεῖται ἐκεῖ καὶ αὐτὸς σπουδαιότερον τὰ τῆς κακίας αὐτοῦ βέλη πέμπει καὶ τὰ μηχανήματα ἵστησιν. Ἐν γὰρ τοῖς ἄλλοις ἔθνεσιν, ἐπεὶ μεδείς ἐστιν αὐτῷ σφοδρὸς πόλεμος, διὰ τοῦτο οὐδ' αὐτός κατ' ἐκείνων ὁπλίζεται· ὁ δὲ Χριστώνομος τοῦ Θεοῦ λαός, τὸ ἅγιον, τὸ βασίλειον ἱεράτευμα, ἐπεὶ καθ' ἑκάστην κραταιούμενοι τῇ πίστει, κατὰ τῶν πονηρῶν αὐτοῦ πράξεων καὶ ἐπιτηδευμάτων ἀνδρίζονται, διὰ τοῦτο κἀκεῖνος μυρίαις ἐπιβολαῖς καὶ πάσαις μεθόδοις τινὰς ἐξ αὐτῶν ὑποσκελίζειν, καὶ ἀντιλυπεῖν τὴν Ἐκκλησίαν Χριστοῦ ἀγωνίζεται εἰ καὶ εἰς αἰσχύνην αὐτῷ οἱ ἀγῶνες καὶ τὰ πονηρεύματα καταστρέφουσιν. Ἄλλως τε δέ, τὰ μὲν ἄλλα τῶν ἐθνῶν ἀδιάκριτα καὶ συγκεχυμένα τὰ ἐν δόγμασιν ἔχει φρονήματα, καὶ οὐδὲν καθαρὸν οὐδ' εἰς ἀκρίβειαν δεδοκιμασμένον διὰ τοῦτο ἐν ἐκείνοις οὔτε τὸ διεστραμμένον φαίνεται. Ἐν δὲ τῇ καθαρωτάτῃ καὶ ἁγιωτάτῃ, καὶ πολὺ τὸ ἀκριβὲς ἐχούσῃ πίστει τῶν Χριστιανῶν, διὰ τὸ λίαν αὐτῆς εἰλικρινὲς καὶ εὐθὲς καὶ ἐξῃρημένον καὶ ἀκήρατον, ἐπειδάν τις καὶ μικρόν τι διαστροφῆς ἢ καινοτομίας παρεισένεγκειν ἐπιχειρήσῃ, αὐτίκα τὸ διεστραμμένον καὶ κίβδηλον τῇ παραθέσει τῆς ἀληθείας καὶ τοῦ ὀρθοῦ λόγου καταφαίνεταί τε καὶ διελέγχεται, καὶ οὐδ' ἐπὶ βραχὺ τὸ νόθον γέννημα οὐδ' ὑπὸ τὴν αὐτὴν ὀνομασίαν εἶναι τῶν εὐσεβῶν δογμάτων οὐδαμῶς ἀνέχεται ἡ εὐγένεια. Ὥσπερ γὰρ ἐπὶ τῶν κάλλει διαφερόντων σωμάτων καὶ μικρά τις ἐπιγενομένη κηλὶς θᾶττον συνορᾶται καὶ πεφώραται τῇ παραθέσει τῆς λοιπῆς ἐν τῷ σώματι ὡραιότητος, τοῖς αἰσχροῖς τὴν ὄψιν οὐκ ἂν ἐξελεγχθείη ῥαδίως τὰ τῆς ἀσχημοσύνης πάθη ἐπισυνιστάμενα (ὑπολανθάνει γὰρ τῆς ἀμορφίας τῷ συγγενεῖ καὶ τῇ ὁμοιότητι), οὕτω καὶ ἐπὶ τῆς τῶν Χριστιανῶν ὡραιοτάτης ὡς ἀληθῶς καὶ ὑπερλάμπρου θρησκείας καὶ πίστεως, κἂν

20. Но виж, о христолюбиви и духовни наш сине и каквото друго славно и добро и обично име мога да употребя за тебе, виж колко спънки е изнамерил лукавият против благочестивата и единствена истинска християнска религия, като е измислил разни ереси, смутове, раздори и войни. А виж и това, как тя е унищожила всичко това и е издигнала паметници за бляскави победи над всички. И никак не се учудвай, като имаш пред вид нападките и измислиците против нея. Защото преди всичко [вярата] ни нямаше да стане чрез победата тъй славна, мощна и знаменита, ако не беше се изпречило нищо враждебно против нея. Сетне лесно е да се разбере, че гдето по-силно се води борба срещу лукавия, там и той с по-голямо усърдие хвърля стрелите на злобата си и противопоставя своите козни. Понеже сред другите народи никой не води против него жесток бой, затова и той не се въоръжава против тях. Но понеже христоименитите божии люде, светият народ, царското свещенство, всекидневно укрепявани с вярата, мъжествено се борят против лукавите му дела и козни, затова и той крои безбройни нападки и употребява всякакви способи, за да измами някого от християните и да смути Христовата църква, при все че всичките му старания и лукавства се свършват за негово посрамване. Вън от това догматичните учения на другите народи са неопределени и забъркани и нищо не е нито чисто, нито точно установено, та затова у тях изопаченото не се вижда. Но в пречистата, пресвета и много точна християнска вяра поради нейната ясност, правота, възвишеност и чистота, ако някой се опита да вмъкне дори някакво малко изменение или нововедение, веднага изопаченото и преправеното става ясно и се уличава само като се постави близо до истината и здравия разум и благородството никак не търпи нито за кратко време незаконната рожба дори да носи името на благочестивите догми. Защото, както едно малко петно, лепнато на тела, отличаващи се по хубост, много скоро се забелязва и открива в сравнение с останалата красота на тялото, а грозни белези, прибавени на грозни тела, не могат лесно да се схванат (защото се укриват от окото поради своето сродство с общата грозота). Така е и с действително прекрасната и пресветла християнска религия и вяра. Ако някой направи най-малкото отклонение от

τὸ βραχύτατόν τις αὐτῆς παρατρέψῃ μεγάλην ἀσχημοσύνην ἐργάζεται καὶ παραυτίκα τὸν ἔλεγχον δέχεται· τὰ δ' ἄλλα τῶν ἐθνῶν δόγματα, πολλῆς ἀκοσμίας καὶ ἀσχημοσύνης γέμοντα, οὐδεμίαν ἔχειν τοῖς οἰκείοις ἐρασταῖς συναίσθησιν δίδωσι τῆς ἐπιγιγνομένης αἰσχρότητος. Οὐ μόνον δέ, ἀλλὰ καὶ ἐπὶ τῶν ἄλλων πασῶν τεχνῶν καὶ ἐπιστημῶν τὸ αὐτὸ κατιδεῖν ἔστιν. Ἐν μὲν γὰρ ταῖς ἀκριβεστάταις καὶ τὸ βραχύτατον τῶν ἁμαρτημάτων ῥᾷστα κατάφωρον γίνεται· ἐν δὲ ταῖς τυχούσαις πολλὰ παρορᾶται, καὶ οὐδ' εἰς ἁμάρτημα κρίνεται. Εἰ βούλει δέ, καὶ ἐν μὲν τοῖς ἄρχουσι καὶ τῶν ἄλλων τῇ ἐξουσίᾳ προέχουσι, μάλιστα δὲ οἷς κατὰ πλειόνων τὸ κράτος καὶ τὸ μικρὸν τῶν πταισμάτων εἰς μέγεθος αἴρεται καὶ πᾶσι γίνεται περιβόητον· ἐν δὲ τοῖς ἀρχομένοις καὶ ταπεινοτέροις πολλὰ τῶν παραπλησίως διαμαρτηθέντων οὐδ' ὅτι ἐπράχθη συνεγνώσθησαν, ἀλλ' ἐναπεκρύβη καὶ ἔλαθε, τῇ σμικρότητι καὶ εὐτελείᾳ συναποσβεσθέντα τοῦ ἁμαρτήματος.

нея, той причинява голяма грозота и веднага бива изобличен, когато, напротив, другите вери на народите, изпълнени с голямо безредие и грозота, не дават никаква възможност на своите последователи да забележат прибавената грозота. Не само в тях, но и във всички други изкуства и науки може да се види това нещо. Защото у тия, които се отличават с голяма точност, и най-малката грешка твърде лесно става явна, а у безредните много неща не се съглеждат, нито пък се считат за грешка. Ако щеш [същото трябва да се каже] и за началниците, и за тези, които превъзхождат другите по власт, а най-вече за ония, които имат власт над множество хора. Една малка тяхна грешка се преувеличава и става известна на всички, когато много подобни грешки на подвластните и на по-долните люде дори не се забелязват, че са извършени, но се прикриват и остават незабелязани поради своята маловажност и незначителност.

κα'. Ὅσον οὖν μεγέθει καὶ κράτει καὶ κάλλει καὶ ἀκριβείᾳ καὶ καθαρότητι καὶ τῇ ἄλλῃ πάσῃ τελειότητι τῶν ἐν τοῖς ἔθνεσι δοξασμάτων ἡ τῶν Χριστιανῶν πίστις καὶ λατρεία ὑπερανέστηκε καὶ ἐξῄρηται, τοσοῦτον ὅ τε πονηρὸς εἰς τὸν κατ' αὐτῆς ἀνερεθίζεται πόλεμον. καὶ τοσοῦτον πάλιν τὰ ἐξ ἀφρόνων καὶ κακοβούλων ἀνδρῶν ἁμαρτήματα ἐκ τοῦ εὐθέος καταφαίνεται, μήδ' ἐπὶ βραχὺ χώραν τοῦ λαθεῖν ἔχοντα, μηδέ τινα παρείσδυσιν ἐφευρίσκοντα. Ἀλλ' ὅμως ἡ τοῦ Θεοῦ Καθολικὴ καὶ Ἀποστολικὴ Ἐκκλησία (ὡς καὶ φθάσαντες ἔφημεν) καὶ τοῦ πονηροῦ πάντα τὰ μηχανήματα σαθρὰ καὶ ἄπρακτα διελέγχουσα, μᾶλλον δὲ κατ' αὐτοῦ ἐκείνου τοῦ μηχανουργοῦντος ἐπαναστρέφουσα, καὶ τῶν αἱρετιζόντων ῥαδίως ἀποσκευαζομένη τὸ βλάσφημον, καὶ καταισχύνουσα τὸ ἀναίσχυντον, κατὰ πάντων ἄμαχον τὸ κράτος καὶ ἀήττητον ἀναδέχεται, καὶ καλοῖς καὶ σωσικόσμοις διὰ παντὸς θριάμβοις ἐγκαλλωπίζεται.

21. И тъй, колкото вярата и богопоклонението на християните по величие, сила, красота, точност, чистота и всяко друго съвършенство превъзхождат и превишават разпространените между езичниците учения, толкова повече и лукавият се надига да воюва срещу тази вяра и, от друга страна, грешките на безумни и злонамерени хора веднага стават явни и не могат дори за малко време да останат незабелязани, нито пък да се промъкнат някак неусетно. Обаче божията съборна и апостолска църква (както вече казахме), като прави всички козни на лукавия слаби и безуспешни, дори нещо повече — обръща ги против самия кознодеец — и като отхвърля лесно богохулството на еретичествуващите и посрамва безсрамието им, придобива срещу всички необорима и непобедима сила и се украсява с хубави и светоспасителни победи.

κβ'. Σὺ τοίνυν (ὦ — τί σε προσειπὼν εἴπω τοῦ πόθος;) τῇ αἴγλῃ τοῦ θείου Πνεύματος τὴν ψυχὴν αὐγασθείς, καὶ πρὸς τὸ τῆς εὐσεβείας φέγγος ἀναχθείς, καὶ ἔργον ἐργασάμενος, δι' οὗ πρὸς τὴν τοῦ μεγάλου Κωνσταντίνου πρᾶξιν

22. Ти, прочее (о, как да те нарека, за да се изкажа според копнежа си!), който си озарен душевно с блясъка на божествения дух, възведен си към светлината на благочестието и си извършил дело, с което се издигаш до деянието и подражанието на великия Константин,[1]

[1] Патриарх Фотий сравнява княз Борис с Константин Велики, понеже и той подобно на император Константин победил уж с силата на кръстния знак своите и на християнството врагове. Очевидно тук Фотий има пред вид победата на Борис над разбунтувалите се български боляри. Вж. *Златарски*, История, I, 2, стр. 71, бел. 2. — *J. Dujčev*, Au lendemain de la conversion du peuple bulgare. L'épître de Photius, Mélanges de Science religieuse (1951), p. 213, nº 5.

ἀνεγώθης καὶ αἴμητο, ἔχου τῆς ἀπ᾽ ἀρχῆς σου γνώμης καὶ βουλῆς καὶ συνέσεως· στῆθι στεῤῥῶς ἐν τῇ πέτρᾳ τῆς πίστεως, ἐν ᾗ καλῶς ὑπὸ Κυρίου τεθεμελίωσαι· ἐποικοδόμει τῇ ὀρθῇ σου πίστει πράξεις ἀγαθὰς καὶ βίου σεμνότητα, μὴ ξύλα καὶ χόρτον, μηδὲ καλάμην, εὔφλεκτον τῆς ἁμαρτίας ὕλην, καὶ πρὸς καῦσιν μόνην, πρὸς οὐδὲν δὲ χρησιμεύουσαν ἕτερον· ἀλλὰ χρυσὸν καὶ ἄργυρον, τῶν κατορθωμάτων τὰ τίμια. Ταῦτα γὰρ καὶ παρὰ πειρασμῶν δοξαζόμενα, καθαρώτερα καὶ τιμιώτερα διαδείκνυται. Οὕτω Χριστὸς ὁ κοινὸς Δεσπότης ἐγκελεύεται, καρποὺς ἀρετῶν προβάλλειν, καὶ μὴ καταισχύνειν τὴν πίστιν διὰ τῶν πράξεων. Οὕτω Παῦλος ὁ μέγας τῆς Ἐκκλησίας συμβουλεύει διδάσκαλος. Οὕτω Πέτρος ὁ κορυφαῖος τῶν Ἀποστόλων, καὶ τῶν οὐρανίων πυλῶν τὰς κλεῖς ἐμπεπιστευμένος καὶ τὴν εἴσοδον. Οὕτω τῶν λοιπῶν Ἀποστόλων ὁ θεῖος χορὸς τὴν οἰκουμένην ἐμαθήτευσεν. Οὕτως ἡμῶν οἱ πατέρες παρειλήφασιν. Οὕτως ἡμῖν τοῖς μετ᾽ ἐκείνους παραδεδώκασιν. Οὕτω καὶ ἡμεῖς σοι παραινοῦμεν καὶ συμβουλεύομεν, ἀρεταῖς κοσμεῖν τὴν πίστιν, καὶ τῇ πίστει τὰς ἀρετὰς λαμπροτέρας ἀπεργάζεσθαι. Ἐβουλόμην αὐτὸς ἐγώ σοι παρεῖναι, καὶ ταῖς πράξεσιν ἐφιστάναι, ἵνα τῶν μὲν καλῶν ἔργων αὐτεπάγγελτον διὰ τῆς ὄψεως λαμβάνων τὴν γνῶσιν, ἔτι μᾶλλον ἐν εὐθυμίᾳ καὶ χαρᾷ διακείμενος εἴην· εἰ δέ τι καὶ παράλογον συνέβη, μεθέλκειν ἔχοιμι ῥᾳδίως καὶ μεθαρμόζειν ἐκ τοῦ παραχρῆμα πρὸς διόρθωσιν. Ἐπεὶ δὲ ἡ βούλησις τῆς δυνάμεως χηρεύει, καὶ πολλὰ τὴν ὁρμὴν ἀνακόπτοντα κωλύει, ὅ μοι λοιπόν ἐστι δυνατόν, γραφῇ τυπῶσαι τὰς παραινέσεις, ὡς καὶ κατ᾽ ἀρχὰς ὑπεσχόμεν, ἤδη πειράσομαι.

κγ΄. Ὅτι μὲν οὖν χρὴ τὸ θεῖον εἰλικρινῶς ἀγαπᾶν καὶ θεραπεύειν, καὶ τὸ ὁμόφυλον ὡς ἑαυτὸν στέργειν καὶ φιλεῖν, ἔμφυτός πως τοῖς ἀνθρώποις ἡ γνῶσις καθέστηκεν· ἡ βούλησις δὲ μὴ συντρέχουσα τῇ γνώσει, εἰς θέσπισμα καὶ νόμον ἀναγραφῆναι τὴν κοινὴν ἐξεβιάσατο γνώμην. Ὅτι δὲ ὁ τοῦ θείου εἰλικρινὴς ἔρως καὶ ἡ τοῦ πλησίον στοργὴ καὶ τελεία ἀγάπη, τῶν ἄλλων ἐντολῶν ἐν ἑαυταῖς περιέχουσι τὰς πράξεις, οὐ χαλεπὸν μὲν καὶ αὐτόθεν κατανοῆσαι· παρίστησι δὲ τοῦτο καὶ ὁ Δεσποτικὸς λόγος ἐν οἷς φησι περὶ αὐτῶν. „Ἐν ταύταις ταῖς δυσὶν ἐντολαῖς ὅλος ὁ νόμος κρέμαται καὶ οἱ Προφῆται.“ Καὶ γὰρ ὁ τὸν θεῖον ἔρωτα ἐνεστερνισμένος καὶ τὸν πλησίον ὡς στέργων καὶ φιλῶν, πατέρα μὲν καὶ μητέρα διαφερόντως

следвай първоначалното си мнение, желание и благоразумие. Стой твърдо върху камъка на вярата, на който добре си утвърден от господа. Съграждай върху правата си вяра добри дела и честен живот, не дърва и сено, нито тръст, вещество греховно, лесно запалимо и годно не за друго, а само за горене, но злато и сребро, подвизи ценни. Защото те, изпитани през искушения, стават почисти и по-скъпоценни. Така и общият ни господар Христос заповядва да даваме плодове на добродетели и да не посрамваме вярата чрез делата. Така съветва Павел, великият учител на църквата. Така и Петър, върховният от апостолите, комуто са поверени ключовете и входът на небесната врата. Така е научил вселената божественият сонм на останалите апостоли. Така са приели нашите отци. Така са предали те на нас, техните приемници. Така и ние те наставляваме и съветваме: да украсяваш вярата с добродетели, а добродетелите да правиш по-бляскави чрез вярата. Исках сам аз да бъда при тебе и да наглеждам дейността ти, та като виждам сам с очите си добрите ти дела, да се радвам и веселя още повече; ако пък се случи да стане нещо неразумно, да мога лесно да пристъпя и веднага да го изправя. Но понеже желанието ми не може да се изпълни и много пречки възпират моя стремеж, затова ще се опитам сега да направя, което ми е възможно — писмено да изложа наставленията, както обещах в самото начало.

23. Вродено е у човеците съзнанието, че трябва искрено да обичат бога и да му служат, а подобните си да обичат и любят като себе си. Но понеже волята не се съпътствува от съзнанието, затова стана нужда всеобщото мнение да се предписва като повеление и закон. Че в искрения копнеж за божественото и в съвършената любов и милост към ближния се съдържат другите заповеди, това от само себе си лесно се разбира. Но същото изтъква и господнето слово, когато казва за тях: „В тия две заповеди висят целият закон и пророците.“[1] Защото, който има в сърцето си обичта към бога, а ближния си обича и люби като себе си, той много повече ще обикне баща и майка и тях първи след бо-

[1] Мат. XXII, 38.

ἀγαπήσει καὶ τιμῆς τῆς πρώτης μετά γε Θεὸν ἀξιώσει· αἱμάτων δ'ἐμφυλίων καὶ φόνων οὐ μόνον τὰς χεῖρας καθαρὰς φυλάξει, ἀλλὰ καὶ τὴν γλῶσσαν καὶ τοὺς λογισμοὺς μελέτης τοιαύτης. Οὐ μὴν οὐδὲ κλέψειεν οὗτος· οὐδεὶς γάρ, ὃν ὡς ἑαυτὸν φιλεῖ καὶ φυλάττει, τούτου κλέπτης ἐφωράθη. ἀλλ'οὐδὲ ἀλλοτρίους γάμους διορύξει· οὐδ'ὅρκον ἐπίορκον ὀμόσει· οὐ μὲν οὖν οὐδὲ μαρτυρίαν ψευδῆ κατὰ τοῦ πλησίον μαρτυρήσει· καὶ ὅλως οὐ χειρῶν ἀδίκων ἄρξει, τύπτειν ἢ προπηλακίζειν ἐπιχειρῶν, ἢ τύραννος ἐραστὴς τῶν, ὅσα τῷ πλησίον ὑπάρχει, γινόμενος. Ὁ γὰρ τι τούτων κατατολμῶν αὐτόθεν λυμαίνεται, καὶ τὸν ἔρωτα τὸν θεῖον καὶ Δεσποτικόν, καὶ τοῦ ὁμοφυοῦς τὴν στοργήν· τῷ μὲν ἐπιβουλεύων καὶ περιβάλλων κακοῖς, τὸν δὲ παρὰ φαῦλον ποιούμενος καὶ ὑπερορῶν· ἐξ ὧν εἰς οἵας ἀπαραιτήτους καὶ πικρὰς τιμωρίας ἐμβάλλει ἑαυτόν, πᾶσίν ἐστι φανερόν. Εἰ γὰρ ὁ τῶν ἀνθρωπίνων προσταγμάτων καὶ τῆς ἐπιστατούσης Ἀρχῆς ὑπερόπτης οὐ διαφεύγει τὴν δίκην, ἀλλὰ καὶ εἰς αὐτὸ τὸ ζῆν πολλάκις τὸν κίνδυνον ἔχει, ὁ τὸν Δεσπότην τῶν ὅλων καὶ βασιλέα καὶ δημιουργὸν διὰ τῆς εἰς τὸν ὁμόδουλον παροινίας καὶ ἐπιβουλῆς ἀτιμάζων καὶ ἐξουθενῶν, καὶ τοὺς αὐτοῦ νόμους διαπαίζων καὶ χλεύην δεικνύς, ἡλίκην τινὰ τὴν τιμωρίαν δώσει; Δι'ὃ προσήκει παντὶ τρόπῳ καὶ πάσῃ σπουδῇ, μετὰ τῆς καθαρᾶς καὶ ἀμωμήτου ἡμῶν θρησκείας καὶ ταύτας διαφυλάττειν τὰς ἐντολάς· οὐ γὰρ ἔστιν, οὐκ ἔστι χωρὶς οὔτε τῆς τῶν πιστῶν καὶ φιλοθέων μερίδος γενέσθαι, οὔτε τῆς τῶν οὐρανῶν ἀξιωθῆναι βασιλείας.

га ще почете и не само ръцете си ще запази чисти от междуособни кръвопролития и убийства, но и езика си от такива помисли. Той нито ще краде, защото никой не е бил изобличен, че краде от оногова, когото обича и пази като себе си. Той няма да посегне на чужд брак, нито ще положи лъжлива клетва, нито пък ще даде лъжливо свидетелство против ближния си и изобщо не ще върши неправди, като си позволи да бие или хули, или да стане страстен грабител на онова, което принадлежи на ближния му. Защото, който дръзне да стори нещо от горните деяния, с това той престъпва и двете неща — любовта към бога и господа и любовта към ближния, — като злоумишлява против последния и го обсипва със злини и като унижава и не зачита първия. Какви неизбежни и тежки наказания той си навлича, това е известно на всички. Защото, ако оня, който презира човешките заповеди и стоящата над нас власт, не избягва наказанието, но често излага на опасност и самия си живот, колко поголямо наказание ще претърпи оня, който с грубостта и злоумишлението към себеподобния безчести и унижава царя, създателя и владетеля на всичко, подиграва се със законите му и им се присмива: затова трябва по всякакъв начин и с всяко усърдие да се пазят заедно с чистата ни вяра и тия заповеди. Защото без тях няма, не е възможно човек да съставя част от верните и боголюбивите, нито пък да се удостои и с небесно царство.

κδ'. Ἀλλὰ ταῦτα μὲν ἀνθρώπῳ παντὶ πάσῃ δυνάμει παραφυλακτέον, ἄρχοντι καὶ ἀρχομένῳ. νέῳ καὶ πρεσβύτῃ πλουσίῳ καὶ πένητι· κοινὴ γὰρ ἡ φύσις, καὶ κοινὰ τὰ προστάγματα, καὶ κοινῆς τῆς παραφυλακῆς καὶ ἐπιμελείας δεόμενα. Ἃ δὲ μᾶλον πρὸς τὴν τῶν ἀρχόντων ὁρᾷ παιδογωγίαν, καὶ τῇ σῇ φυλάττειν ἐπιτηδειότερα ἐξουσίᾳ, καὶ ἐξ ὧν ἔσται σοι καὶ περὶ τῶ ἄλλων πλείστη ἐμπειρία, ἐκεῖνά σοι νῦν εἰρήσεται· καὶ γὰρ πολλῆς τῷ ἄρχοντι δεῖ καλοκαγαθίας. τῆς τε ἄλλης, καὶ τῆς ἐν ἤθεσιν εὐκοσμίας. Διὸ καὶ φάσιν „Ἀρχὴ ἄνδρα δεικνύει“ καὶ ὅτι „ὥσπερ ὁ χρυσὸς ἐν ταῖς λιθίναις ἀκόναις δοκιμάζεται, οὕτως ὁ ἀνθρώπινος νοῦς ἐν ταῖς ἀρχικαῖς ἐργασίαις καὶ ταῖς τῶν ἀρχομένων διανοίαις ἐξετάζεται“.

24. Но всичко това трябва да се пази с всички сили от всеки човек, управител и управляван, стар и млад, богат и беден. Защото природата на всички е еднаква, общи са и повеленията, та е необходимо всички да ги пазят прилежно. Сега ще ти кажа онова, което наймного се отнася до възпитанието на началниците и е полезно да бъде спазвано от твоята власт. От него ще добиеш много голяма опитност и в други неща. Защото един началник трябва да притежава голяма доброта и благонравие. Затова казват „властта показва човека“ и „и както златото се изпитва с пробен камък, така и човешкият ум се познава по делата в управлението и по разположението на управляваните“.

κε' Σὺ δέ μοι μάλιστα πρόσεχε, ἵνα μὴ μόνον ἀκροατής, ἀλλὰ καὶ ποιητὴς γένῃ καλῶν

25. Но най-много внимавай да бъдеш не само слушател, но и извършител на

καὶ ἀξιαγάστων πράξεων· ἀρχὴ δὲ ἡμῖν κἀν τούτοις ἀπὸ τῶν θείων. Εὐχὴ μὲν οὖν Θεῷ συνάπτει καὶ οἰκειοῖ, ὁμιλία τις ἔνθεος οὖσα καὶ συνουσία νοερὰ τοῦ πάντων καλλίστου καὶ τιμιωτάτου· ἐξ οὗ πᾶσα μὲν οὐσίωσις καὶ συνοχή, πᾶσα δὲ πρόνοια καὶ χορηγία τῶν ἀγαθῶν, πᾶσα δὲ τελειότης καὶ διακάθαρσις τῶν παθῶν. Ὥστε, εἰ, καὶ μή τι ἄλλο κέρδος ἐκ τῆς εὐχῆς ἐνεφύετο, αὐτὸ δὴ τοῦτο μάλιστα τοῖς φιλοθέοις καὶ τοῦ ἀγαθοῦ φιλοθεάμοσιν ἀντὶ πάσης εὐφροσύνης ἤρκει, καὶ πάσης τῆς κατὰ τὸν βίον μακαριότητος καὶ εὐδαιμονίας. Ὅτε δὲ καὶ τῶν ἡμαρτημένων ἄφεσιν λαμβάνομεν δι᾽αὐτῆς, καὶ τῶν ἄλλων αἰτημάτων ὅσα συμφέρουσι τὰς ἀγαθοειδεῖς καὶ τελεσιουργοὺς δωρεὰς προκαλούμεθα, ἀξιούμεθά τε τῶν ἀφάτων περὶ ἡμᾶς, ἔργων καὶ δώρων διὰ τῆς ἐν αὐτῇ εὐχαριστίας τὸν εὐεργέτην ἀμείβεσθαι, καὶ δὴ καὶ οἵας ἀπαρχάς τινας αὐτῷ προσφέρειν, τὰς κατ᾽ἐκείνην τοῦ νοῦ κινήσεις καὶ δοξολογίας, τῆς νοερᾶς ἡμῶν καὶ λογικῆς οὐσιώσεως· ὅτε τοίνυν τοσαῦτα καὶ τηλικαῦτα τῇ εὐχῇ περιείληπται, πῶς οὐ χρὴ πρὸς αὐτὴν προθύμως ἐπεκτείνεσθαι, καὶ ταύτης ἐρᾶν σφόδρα καὶ ἀντιλαμβάνεσθαι;

добри и достохвални дела. За нас започват и тия дела от божествените. И тъй молитвата свързва и сближава човека с бога, защото тя е боговдъхновен разговор и умствено съединение с това, което е най-добро и най-ценно от всичко. Той осъществява и съдържа всичко, промишлява и подава всички блага, той е всяко съвършенство и очистване от страстите. Така че и да нямаме друга някоя печалба от молитвата, само горното вместо всяка друга радост и всяко блаженство и благополучие в живота е достатъчно за ония, които обичат бога и желаят да съзерцават в доброто. Но когато ние чрез молитвата получаваме прошка за прегрешенията си, чрез нея предизвикваме да ни се изпълнят и всички други просби за благотворна и целесъобразна дейност. Чрез нея се удостояваме да изкажем благодарност към благодетеля ни за неизказаните му към нас дела и дарби. При това му поднасяме във време на молитва и на славословие движенията на ума си като един вид прояви на нашето умно и разумно естество. Когато прочее толкова много и толкова големи неща се съдържат в молитвата, бива ли да не я обичаме, да не се държим за нея и да не се стремим към нея с усърдие?

κς'. Σὺ τοίνυν προσεύχου μὲν εὐχὰς ἰδίας διὰ παντὸς καὶ καθ᾽ἑαυτὸν τῷ Θεῷ, προσεύχου δὲ καὶ ἅμα τῷ πλήθει καὶ ἐν τῷ φανερῷ. Δι᾽ἑκατέρου μὲν γὰρ θεοφιλῶς πραττομένου τὸ ὅσιόν ἐστιν ἀποδιδόναι· ὅσον δὲ τὸ πρότερον εἰς καθαριότητα διανοίας πλεονεκτεῖ, τοσοῦτον τὸ δεύτερον εἰς μίμησιν τοὺς ὁρῶντας παρακαλεῖ· καὶ τὸ μὲν εἰς οἰκεῖον κέρδος συντελεῖ, τὸ δὲ καὶ τοὺς ἄλλους οἶδεν ὠφελεῖν· ὧν ἡ σωτηρία καὶ ἡ προκοπὴ μεγάλη πάλιν τῆς ἀρετῆς ἐστι τοῦ ἄρχοντος μαρτυρία.

26. Ти прочее моли се всякога богу със свои молитви и насаме, но моли се и заедно с множеството наяве. Защото и по двата начина, ако те се извършват с обич към бога, може да се изкаже почит към него. Но колкото първият начин е по-пригоден за чистотата на ума, толкова пък вторият подканя присъствуващите към подражение. Първият начин принася частна полза, а вторият ползува другите, спасението и преуспяването на които също е голямо свидетелство за добродетелта на началника.

κζ'. Ναοὺς ἐπ᾽ὀνόματι Θεοῦ καὶ τῶν αὐτοῦ Ἁγίων κατὰ τοὺς ἐκλησιαστικοὺς θεσμοὺς οἰκοδόμει. καὶ τούτοις τὸν λαὸν ἐκκλησιάζεσθαι ἔθιζε· ἵνα κοινῇ τὸ θεῖον ἐξιλεούμενοι. καὶ κοινὴν τὴν δοξολογίαν προσάγοντες, εἰς κοινήν τε μᾶλλον ὁμόνοιαν συνελαύνωνται, καὶ κοινὴν καρπῶνται τὴν σωτηρίαν καὶ ὠφέλειαν.

27. Съграждай храмове на името на бога и на светиите му съгласно с църковните закони и приучвай народа да се черкува в тях, та като умилостивява бога с общи молитви и му поднася общо славословие, да се стреми още повече към общо съгласие и да добива обща полза и спасение.

κη'. Αἱ θυσίαι μὲν τῆς ἱερᾶς ἡμῶν λατρείας τοῖς ἱερεῦσιν ἀνάκεινται· οἷς ὑπηρετῶν προθύμως καὶ προσφέρων. πολλῆς τῆς διὰ τούτων ἀπολαύσεις καὶ εὐεργεσίας καὶ χάριτος. Δύναιο δ᾽ἂν καὶ σύ, βουληθείς, κάλλιστον αὐτουργῆσαι

28. Жертвите на свещеното ни богослужение са възложени на свещениците, на които, ако служиш усърдно и даваш приношения, ще получиш чрез тях голяма благодат и добрина. Но ако пожелаеш, би могъл и ти сам със собствени-

Θεῷ θῦμα καὶ ἐρασμιώτατον βίον αὐτῷ καλλιερούμενος καθαρόν, καὶ διανοίας ὀρθότητα.

те си ръце да поднесеш богу прекрасна и преугодна жертва, като му посветиш чист живот и прави мисли.

κθ'. Εἰδὼς δέ, ὡς μεγάλη ῥοπὴ πρὸς τὴν τῶν ὅλων διοίκησιν ῥώμη καὶ τάχος διανοίας μηδὲ ταύτης ἀφίστασο τῆς ἐπιμελείας. Ἀγχίνουν μὲν γὰρ οὐκ ἔστι γενέσθαι τὸν μὴ φύσει τοῦτο πεφυκότα· μελέτη δὲ καὶ πραγμάτων πεῖρα, πρόχειρον ἐμποιοῦσαι τὴν γνῶσιν. πολλάκις ἐν αὐτοῖς τοῖς ἔργοις ὀξύτερον ἔδειξαν τὸν ἐγγεγυμνασμένον, ἢ τοὺς ταύτης τῆς δυνάμεως κατὰ φύσιν μετεσχηκότας. Δι᾽ὃ φρόνησιν ἀσκεῖν προσήκει διὰ βίου. Αὕτη δὲ παραγίνεται μελέτῃ μὲν καὶ μνήμῃ πράξεων πρεσβυτέρων, ὁμιλίᾳ δὲ καὶ συνουσίᾳ τῶν περιόντων ἀνδρῶν φρονίμων, καὶ ἐμπειρίᾳ δὲ τῶν κατὰ τὸν βίον πρακτέων. Πρᾶξις γὰρ μιμήσει καὶ βουλῇ καὶ διαχειρήσει κράτος συλλαβοῦσα, τῆς ἄνωθεν ῥοπῆς οὐκ ἀντιπραττούσης, εἰς συμφέρον τέλος ἀποβαίνει.

29. Като знаеш, че силата и бързината на ума имат голямо влияние върху управлението на всички дела, не преставай да се упражняваш в това отношение. Не може да стане остроумен оня, който не е роден такъв. Обаче изучаването на нещата и опитността тъй улесняват знанието, че много пъти упражненият се оказва при самата работа по-сръчен, отколкото ония, които по природа са надарени с остроумие. Затова трябва човек да се упражнява през целия си живот в благоразумие. А това може да постигне, като изучава и си спомня делата на по-старите, като разговаря и се среща с живи благоразумни хора и като добие опитност да прави през живота си това, което трябва. Защото дейност, подкрепена с подражание, размишление и похватност, достига до полезен край, ако не попречи силата свише.

λ'. Μηδὲ τῶν περὶ τὸ σῶμα δὲ ἠθῶν καὶ σχημάτων καὶ κινήσεων ὡς εὐτελῶν ὑπερόρα· καὶ γὰρ καὶ ἡ ἐν αὐτοῖς ἀρίστη τάξις καὶ κατάστασις οὐκ ἐλάχιστον μέρος φρονήσεως ἔδοξεν εἶναι· καὶ τῶν ἀνθρώπων ὅσοι μὴ συνιδεῖν εἰσιν ἐκ τοῦ ῥᾴστου δεινοὶ τὴν ἐν τῇ ψυχῇ δύναμιν καὶ τὸ κάλλος, οὗτοι τοῖς ἔξωθεν θεάμασι ξεναγούμενοι, καὶ τῶν ἀδήλων ἐρασταὶ καὶ ἐπαινέται καθίστανται. Διὰ τοῦτο δεῖ καὶ προσώπου διαθέσει, καὶ κόμης ἀσκήσει, καὶ περιβολῇ ἐσθῆτος, κόσμιον ὁρᾶσθαι καὶ σεμνόν, μήτε εἰς τὸ βλακῶδες καὶ περίεργον ἐκφερόμενον, μήτε πάλιν πέρα τοῦ μετρίου πρὸς τὸ ἠμελημένον καθελκόμενον· ἑκάτερον γὰρ ἀπρεπὲς καὶ εὐκαταφρόνητον, καὶ ἀρχικῆς πολιτείας ἀλλότριον. Καὶ βαδίσματος δὲ πρέπει τῷ ἄρχοντι εὐταξία, μήτε εἰς τὸ θηλυπρεπὲς καὶ ἔκλυτον ἀσχημονοῦντι τὴν κίνησιν, μήτε μὴν εἰς τὸ ἀθρόον καὶ τεταραγμένον καὶ ἀνώμαλον ταύτην ἐκνεωτερίζοντι, καὶ ὅλως πᾶσα κίνησις τάξει κοσμείσθω.

30. Не презирай като нещо нищожно обичаите, обноските и движенията, свързани с тялото. Защото добрият ред в тях и приличното държане се считат като немалка част от благоразумие. И ония, които не са в състояние да схванат лесно присъщата на душата сила и красота, водими от външни признаци, стават ревнители и възхвалители на неизвестното. Затова трябва и от израза на лицето, и от вчесването на косата, и от обличането на дрехите да се вижда, че си благопристоен и почтен човек, без да бъдеш краен до глупост и прекаленост, нито пък да прекрачваш границите на умереността и да изпадаш в небрежност. Защото всяка от тези крайности е непристойна и за презиране и е несъобразна с поведението на началника. Един началник трябва да има вървеж благопристоен, да не се кърши срамотно като жена, да не ходи като разслабен, нито пък да се движи тромаво, неравно и неправилно като младеж и въобще всяко негово движение трябва да е благочинно.

λα'. Δεῖ δὲ καὶ τὸ ἐν λόγοις τάχος εὐλαβεῖσθαι· ταχυλογία γὰρ ἐν μὲν ἀγωνιστικαῖς διαλέξεσι καὶ ἁμίλλαις οὐκ εὐκαταφρόνητον ἴσως, οὐδὲ ἀγενές, ἐν δημηγορίᾳ δὲ ἀνόητον καὶ ἐπισφαλές· ἐν δὲ προστάγμασι, καὶ μάλιστα τοῖς πολιτικοῖς καὶ κοινοῖς εὐτελὲς καὶ ταπεινόν. Ἐντελέστερον δ᾽εἰπεῖν, ταχύτης ἐν πράξει καὶ λόγοις καὶ κινήμασι, σὺν εὐταξίᾳ, θεῖον μέν

31. Не трябва да бързаш и когато говориш. Защото бързото говорене при словопренията и наддумванията може да не е качество долно и за презиране, но при публични речи е глупаво и опасно; а пък при заповеди, особено при политически и общи, то е просташко и долно. По-добре е да кажа, че бързината в дела, думи и движения, съчетана с бла-

τινα καὶ ὑπερφυῆ ἀποφαίνει τὸν ἔχοντα· σπάνιον δέ, καὶ συνελθεῖν ἅμα πάντα χαλεπώτατον· τὸ δὲ ἐν τούτοις σύμμετρον σὺν εὐταξίᾳ σεμνόν τε καὶ ἀξιάγαστον, καὶ μεστὸν ὄγκου σὺν εὐλαβείᾳ, ποθεινὸν ὁρᾶσθαι παρασκευάζει, καὶ ἄρχειν ἐπιτηδειότερον, εἴπερ καὶ ἐν τοῖς ἀρίστοις ἐστί τι τῷ πλήθει ἐρασμιώτερον. Ταχύτης δὲ σὺν ἀταξίᾳ ἔμπληκτον καὶ μανικόν, καὶ παραδιορθοῦν ἐνιότε μεγάλα, καὶ σφάλλον ὡς τὰ πολλὰ παραπλήσια. Ἡ δὲ σὺν ἀταξίᾳ βραδύτης νωθρὸν καὶ ἠλίθιον καὶ σφάλλον μὲν ἐνίοτε καὶ μεγάλα, κατορθοῦν δὲ ἐλάχιστα, καὶ ταῦτα λίαν ταπεινά, καὶ πρὸς τὰς λοιπὰς ἐκείνου πράξεις μόνον παραμετρούμενα κατορθώματα.

гочинност, показва, че такъв човек има нещо божествено и свръхестествено. Но това е рядко, а всичко да се събере в едно е много мъчно. Уместната във всичко съразмерност, сериозността, свързана с любезност, тежкото, но почтително държане помагат, за да бъде началникът въжделен и по-способен да управлява, ако и в отличните обноски има не що, което пленява повече множеството. Безредната бързина е свойствена на блъснат и налудничав човек и е причина да се правят големи грешки и често криви разпоредби. Безредният пък бавеж е признак на мързелив и глупав човек, който понякога прави големи грешки, но извършва и незначителни подвизи, но и те се смятат за такива само ако се сравнят с другите му дела.

λβ΄. Τὸ πρὸς γέλωτας διαθρύπτεσθαι μετὰ τοῦ ἀσχημονεῖν τὴν μορφὴν καὶ τοῦ ἤθους ἐστὶν ἐξυβρίζειν τὴν εὐστάθειαν.

32. Да се кърши човек от смях, това не само обезобразява лицето, но и безчести сериозния характер.

λγ΄. Αἰσχρορρημοσύνης δὲ πάσης καὶ ἀκοὴ καὶ γλῶσσα καθαρευέτω. Ἃ μὲν γάρ τις ἀκούων ἥδεται, ταῦτα καὶ λέγειν οὐκ αἰσχύνεται· ἃ δέ τις λέγων οὐκ αἰσχύνεται, ὅτι καὶ πράττεν οὐκ αἰσχυνθήσεται, μεγάλην παρέσχεν ἀπόδειξιν. Δι᾽ὅλου δέ, γλώσσης φυλάσσου παρολισθῆναι· ῥήματι γὰρ βραχυτάτῳ πολλάκις ὑποφαλεῖσα, μεγάλην ἤνεγκε ζημίαν, αὐτοὺς τοὺς περὶ τὸ ζῆν ἐσχάτους ἀναρρίψασα κύβους.

33. Слухът и езикът да бъдат чисти от всяко сквернословие. Защото това, което човек слуша с удоволствие, той не се срамува и да го каже. А говори ли нещо, без да се срамува, това е голямо доказателство, че той няма да се засрами и да го извърши. Изобщо пази се да не ти се изплъзне езикът, защото много пъти като извърши грешка с някоя много къса дума, той причинява голяма вреда и излага самия живот на човека в опасност.

λδ΄. Ἔχε τὰ ὦτα τοῖς μὲν ἀδικουμένοις ἠνεωγμένα, πρὸς δὲ τὰς τῶν ἀδικούντων ἐπαγωγὰς καὶ πιθανολογίας ἀποκεκλεισμένα.

34. Дръж ушите си отворени за ония, които са онеправдани, а затворени за доносите и убедителните на глед доводи на ония, които онеправдават.

λε΄. Χείλη δὲ κατήγορα καὶ συκοφαντίας ἀποστρέφου· πολλάκις γὰρ παῖδας κατὰ πατέρων καὶ πατέρας ἐξέμηνε κατὰ παίδων, καὶ βίον ἔσχισε συζυγίας, καὶ συγγενεῖς ἐπανέστησε κατ᾽ ἀλλήλων· ναὶ τὶ λέγω; πόλεις ὅλας καὶ οἰκίας ἀνέτρεψε μία φωνὴ συκοφάντου.

35. Отвръщай се от злоречиви и клеветнически устни. Защото много пъти една само дума на клеветник е подлудявала деца срещу бащи, бащи срещу деца, разкъсвала е съпружески живот и повдигала роднини едни срещу други и — какво казвам — цели градове и домове е сривала.

λϛ΄. Μὴ ταχὺς ἦσθα ζευγνύειν εἰς φιλίαν· συζεύξας δὲ παντὶ τρόπῳ τὸν δεσμὸν ἄλυτον συντήρει, ἅπαν τοῦ πλησίον ἀνέχων τὸ βάρος, πλὴν εἰ μήπω ψυχῆς κίνδυνον ἐπάγει. Αἱ γὰρ πρὸς φίλους διαστάσεις τὴν ὅλην προαίρεσιν ἐκφαυλίζουσι τῶν ἀνθρώπων· καὶ οὐ τὸν ὑπαίτιον μόνον, ἀλλὰ καὶ τὸν ἀναίτιον εἰς τὴν αὐτὴν ὑπόνοιαν κατασπῶσιν. Ἐκείνοις δὲ κέχρησο φίλοις, οἳ πρὸς ἑτέρους κατὰ πάντα καιρὸν ἄδολον διεσώσοντο τὴν φιλίαν, καὶ μήτε εὐπραγοῦσι βασκανίας ἐπ-

36. Не бъди бърз да свързваш приятелство. Но свържеш ли, пази по всякакъв начин неразкъсани връзките и носи товара на ближния, ако това не докарва опасност на душата ти. Защото свадите с приятели похабяват целия характер на човеците и дават повод да се подозира еднакво не само виновният, но и невинният. Имай за приятели ония, които при всички обстоятелства са запазили искрено приятелство с другите и нито им са завиждали, когато са били честити,

ἔβαλον ὀφθαλμόν, μήτε ἠμέλησαν δυσπραγούντων. Πολλοὶ γὰρ κακῶς μὲν πράττουσιν ἐπεκούρησάν τε καὶ συνήργησαν τοῖς φίλοις, εὖ δὲ φερομένων, ὁρᾶν οὐκ ἤνεγκαν τὴν εὐημερίαν· καὶ οὓς οὐκ ἤλεγξε καιρὸς συμπαθείας, τούτους ἐφώρασε τὸ πάθος τοῦ φθόνου. Κτῶ τοίνυν φίλους, μὴ τοὺς φαύλους, ἀλλὰ τοὺς ἀρίστους· ἐκ γὰρ τῶν φιλουμένων ὡς τὰ πολλὰ κρίνεται τὰ ἤθη φίλων· καὶ διὰ μὲν τῶν σπουδαίων ῥᾷστον ἄν τις, καὶ παρασφαλείς, ἐπαναχθείη· οἱ φαῦλοι δὲ καὶ τὴν προσοῦσαν λυμαίνονται καλοκαγαθίαν. Καὶ οἱ μὲν καὶ τὸ λεῖπον εἰς ἀρετὴν δι᾽ἑαυτῶν ἐπιτειχίζοντες, ἀνελλιπὲς φαίνεσθαι ποιοῦσιν· ἡ δὲ πρὸς τοὺς φαύλους ἐπιμιξία καὶ ὅπερ ἐστὶν ὑπόλοιπον ἀρετῆς, νόθον ἀποφαίνει. Μὴ ζήτει δὲ παρὰ φίλων ἀκούειν τὰ ἡδέα, ἀλλὰ τὰ ἀληθῆ μᾶλλον. Εἰ γὰρ ἐχθροῖς μὲν οὐδ᾽ἀληθεύουσι πιστευτέον, φίλοις δὲ διέφθορε τὰ τῆς ἀληθείας καὶ τὸ ἡδοῦ λέγειν ζητοῦσι κἀκεῖνοι, πόθεν ἡμῖν ἀλλαχόθεν ἡ τῆς ἀληθείας ἔσοιτο γνῶσις. καὶ ἡ ἐπιστροφὴ τῶν οὐκ εὐαγῶς ἐνίοτε παρ᾽ἡμῶν λεγουμένων ἢ πραττομένων; Δι᾽ὅ μέγιστον ἡγοῦ φίλους κολάκων διαφέρειν. Οἱ μὲν γὰρ κατὰ πρόσωπον ἐπαινοῦντες, σέ τε τῶν, ὡς εἰκός, ἁμαρτονομένων συναίσθησαν λαβεῖν οὐκ ἐῶσι, καὶ μείζω ταῦτα πρὸς τοὺς ἄλλους ταῖς διαβολαῖς ἀποτελοῦσιν· οἱ δὲ καὶ σὲ τῷ διὰ φιλίας ἐλέγχῳ συνιδεῖν τὸ παρανομηθὲν μᾶλλον δυναμοῦσι, κἄν τι δέῃ πρὸς τοὺς ἔξω λέγειν, ἀντὶ κατηγορίας ἀπολογίαν τοῦ πραχθέντος ἐκμηχανῶνται. Ὅσον οὖν τοῦ ἐπὶ κακίαν προκόπτειν τὸ ἀρετὴν ἀσκεῖν διενήνοχε, καὶ τοῦ διαβάλλεσθαι ἐν τοῖς ἀρχομένοις τὸ τὰς διαβολὰς διαλύειν, τοσοῦτον δεῖ παρὰ σοὶ τοὺς εὔνους πλέον ἔχειν τῶν κολάκων.

λζ΄. Τῶν ἀποῤῥήτων ἃ μὲν τὴν σὴν ἀρετὴν αὐξάνει, κοινώνει τοῖς φίλοις ἃ δὲ τὴν γνώμην φαυλίζει, μητ᾽ αὐτὸς μετέρχου, μήτε τοῖς φίλοις ἀνατίθει. Ἄριστον μὲν γὰρ τοῦτο καὶ χωρὶς αἰτίας ἑτέρας· πλήν γε δὴ καὶ εἰς κόρον, οἷα πολλὰ τὰ ἀνθρώπινα, τοῦ φίλτρου τραπέντος, μᾶλλον τῆς παραινέσεως τό χρήσιμον καθορᾶται. Τὸ μὲν γὰρ φαῦλον τῶν κρυφίων τό-

нито пък са ги пренебрегвали във време на злочестини. Защото мнозина помагат и подкрепят приятелите си, когато са зле, а не могат да ги гледат, когато благоденствуват. Така че завистта изкарва наяве нрава на ония, които състраданието [им] не е могло да изобличи. И тъй приемай за приятели не развалени, а добри човеци. Защото за нравите на един човек се съди обикновено по приятелите му. С помощта на сериозни хора човек и когато сгреши, много лесно може да се поправи, а покварените развалят и съществуващата у него доброта. Първите прикриват чрез себе си липсата на добродетел и правят да не се вижда недостатъкът. Но сношенията с лоши приятели изтъкват като лъжливо и каквото е останало от добродетелта. Не искай от приятелите си да слушат приятни неща, а по-скоро истински. Защото, ако не бива да се вярва на враговете дори когато казват истината, а приятелите изопачават истината и желаят да говорят само онова, що е приятно, в такъв случай, откъде другаде ще познаем истината и как ще поправим това, което ние понякога говорим или вършим не добре? Затова смятай за нещо важно да различаваш приятели от ласкатели. Защото ласкателите, като те хвалят пред лицето, не само че не те оставят сам да съзнаеш, както трябва, грешките си, но и ги преувеличават с клевети пред другите. Когато, напротив, приятелите с приятелски натяквания ни дават възможност да съзнаем беззаконията си и ако стане нужда да се каже нещо на други, те — приятелите, — вместо да злословят, мъчат се да оправдаят извършеното. И тъй, колкото упражнението в добродетел стои по-горе от преуспяването на злото и колкото за предпочитане е опровержението на клеветите от разпространяването на клевета между подчинените, толкова повече и ти трябва да предпочиташ благосклонните приятели пред ласкателите.

37. Съобщавай на приятелите си ония тайни, които изтъкват твоята добродетел, а ония, които развращават волята, нито ти сам ги търси, нито на приятелите си ги поверявай. Вън от всяка друга причина това само по себе си е прекрасно. Но когато приятелството стигне до пресищане, както повечето човешки работи, тогава най-много се вижда ползата от този съвет. Защото лошите тайни най-много тогава ще се вмък-

τε μάλιστα τοὺς λογισμοὺς τοῦ συνεγνωκότος ἐπιτρέχον καὶ διακυμαῖνον, θᾶττόν τε καὶ σὺν οὐδενὶ ὄκνῳ τῆς ἀγάπης ἀποστήσει, καὶ πρὸς ἐπιστροφὴν ἰδεῖν οὐκ ἐάσει· σοί τε διαβολὴν βαρεῖαν, ἔκφορον γεγονός, ἐποίσει, καὶ πρὸς τὸν ἐξειπόντα χαλεπώτερον διαθήσει. Τὸ δὲ χρηστὸν τόν τε συνεγνωκότα ῥαγῆναι τῆς φιλίας ἐπικατασχήσει, δεσμῷ κρατίστῳ, τῇ ἀρετῇ βιαζόμενον, καὶ εἰς ἔπαινον τῆς σῆς σπουδαίας γνώμης ἐπὶ νοῦν ἐρχόμενον διαναστήσει, καὶ σε δῆλον, ὅτι ταῦτα συνορῶντα οὐκ ἀηδῶς ἀναλαβεῖν, εἴ τι παρηνέχθης, τήν τε πρὸς αὐτὸν ὁμιλίαν καὶ τὴν ἐν τῷ πόθῳ σχέσιν ἀναπείσει. Ἀεὶ μὲν οὖν φίλους εὐλόγει, μάλιστα δὲ τοὺς ἀπόντας ἐπὶ τῶν παρόντων· οὕτω γε γὰρ καὶ τὸ τῆς κολακείας διαφύγοις, οὐδ᾿ ἴχνος αὐτῆς ἐν σοὶ φαίνεσθαι παρασκευάζων, καὶ τοῖς φίλοις ἔσῃ πράττων κεχαρισμένα, τοιοῦτον σεαυτὸν εἶναι τοῖς παροῦσι πιστώσας, οἷος αὐτοῖς περὶ τῶν ἀπόντων ἐγνώσθης.

нат в ума на приятеля, който ги знае, ще го развълнуват и ще го отстранят по-скоро и без стеснение от приятелството и няма да го оставят да погледне назад; освен това те, като излязат наяве, ще ти нанесат тежко обвинение изле ще те разположат към тогова, който ги е изказал. Напротив, добрите тайни, които чрез твърде яка връзка ще сдържат онзи, който ги знае, принуждават към добродетел и като му дойдат на ум, ще го подбудят да хвали твоето благоразумие. Тебе пък, като виждаш всичко това, ще те убедят, ако нещо си се отдалечил, да подновиш с удоволствие срещите и любезните си сношения с приятеля. Пред присъствуващите всякога похвалявай приятелите си, особено когато те отсъствуват. Защото по този начин ще избегнеш ласкателството, като направиш така, че да не се вижда и следа от него у тебе, а в същото време ще угодиш и на приятелите си. Защото ще докажеш, че ще бъдеш такъв и към присъствуващите, когато отсъствуват, какъвто им се показа спрямо отсъствуващите.

λη΄. Οὕτω δὲ σεαυτὸν φιλίᾳ περιφράξας ἔσῃ τοῖς μὲν εἰς ἑτέρους καὶ εἰς τὰ κοινὰ πλημμελοῦσιν ἀπαραίτητος, τοῖς δὲ εἰς σὲ ἁμαρτάνουσι συμπαθέστατος. Διὰ μὲν γὰρ ἐκείνου εὐνομία ἔσται τῇ πολιτείᾳ καὶ ἡ σὴ περὶ τοὺς ἀρχομένους ἐπίδηλος σπουδὴ καὶ κηδεμονία· διὰ δὲ τούτου τὸ φιλάνθρωπον τῆς γνώμης ὁ βασίλειος ὡς ἀληθῶς ἀνακηρύττεται τρόπος. Οἱ μὲν γὰρ τύραννοι τὰ κοινὰ τῶν ἀδικημάτων καὶ τὰ εἰς ἀλλήλους πολλάκις ὑπερορῶσι, πικρῶς δὲ τὰ εἰς ἑαυτοὺς ἐξετάζουσι· βασιλέως δέ ἐστι καὶ Ἀρχῆς ἐννομωτάτης ἔργον, τὰ μὲν εἰς ἑαυτὸν φιλανθρώπως φέρειν, τὰ δὲ εἰς κοινὰ καὶ εἰς ἀλλήλους δικαίως εὐθετεῖν καὶ διεξάγειν.

38. Като оградиш така себе си с приятелство, бъди неумолим към ония, които пакостят на другите и на обществото, а много състрадателен към тия, които прегрешават към тебе. С първото ще има законност в държавата и ще стане явно усърдието и грижата ти за управляваните от тебе, а с второто ще се проявява човеколюбивото ти разположение и действителното ти царствено държане. Защото тираните често пренебрегват неправдите към обществото и към другите, а сторените тям лично неправди строго наказват. Обаче подобава на царя и на законната власт грешките спрямо тях да търпят човеколюбиво, а престъпленията против обществото и против другите да оправят и отстранят справедливо.

λθ΄. Ὥσπερ πολλῶν ἐπαίνων ἄξιος ὁ μεγάλην ἐξουσίαν τοῦ ἀδικεῖν λαβὼν καὶ τὰ δίκαια πράττων, οὕτω πολλῶν ὑπεύθυνος ψόγων ὁ μηδενὸς ἐνδεὴς τῶν ἀναγκαίων καὶ εἰς τὰ ἀλλότρια τὰς χεῖρας ἐκτείνων. Ἀνδρὶ μὲν γὰρ πενομένῳ πρόφασις εἰ καὶ παράλογος, τοῦ ἀδικεῖν ἡ πενία· ἀνὴρ δὲ δυναστείαν ἔχων καὶ ἀπορίαν οὐκ ἔχων, ἀναπολόγητον ἔχει τὴν τοῦ ἀδικεῖν ἁμαρτίαν.

39. Както е достоен за много похвали онзи, който, ако и да е получил голяма власт и може да върши неправди, все пак е справедлив, така също заслужава много укор и тоя, който, ако и да не е лишен от нужните средства, пак простира ръка на чуждото. Защото бедността служи на сиромаха като предлог, ако и неразумен, за да върши неправди. Но човек, който има власт и не е беден, не може с нищо да извини греха си, задето върши неправди.

μ'. Ὅσῳ δέ τις προέχει τῇ Ἀρχῇ, τοσούτῳ χρεωστεῖ πρωτεύειν καὶ τῇ ἀρετῇ. Ὁ δὲ τοὐναντίον ποιῶν τρία ἅμα καὶ κάκιστα ἐπιτελεῖ· ἀπόλλυσιν ἑαυτόν· τοὺς ὁρῶντας εἰς κακίαν παρακαλεῖ· βλασφημεῖσθαι παρασκευάζει τὸν Θεόν, ὅτι τοιούτῳ τηλικαύτην ἐνεχείρισεν Ἀρχήν. Διὰ τοῦτο παντὶ μὲν ἀνθρώπῳ φευκτέον ἡ κακία, μάλιστα δὲ τοῖς ἐν τῇ Ἀρχῇ.

40. Колкото човек превъзходствува по власт, толкова е длъжен да бъде пръв и по добродетел. Който върши противното, прави три неща много лоши: себе си погубва, подбужда към зло ония, които го наблюдават, и кара да хулят бога, че на такъв човек е дал толкова голяма власт. Затова всеки човек трябва да отбягва от злото, но най-много тия, които имат власт.

μα'. Ἄρχε τοίνυν ὑπηκόων, μὴ πεποιθὼς τυραννίδι, ἀλλὰ τῇ τῶν ἀρχομένων εὐνοίᾳ. Εὔνοια γὰρ μεῖζον Ἀρχῆς βάθρον καὶ ἀσφαλέστερον, ἢ φόβος. Τοῦτο δὲ ἀρετῶν το κτῆσις ποιεῖ, καὶ οἱ περὶ τὸ ὑπήκοον πόνοι καὶ φροντίδες. Οὕτω δὲ αὐτός τε ὡς ἀληθῶς βασιλικῶς καὶ ἡδέως βιώσεις, κἀκείνοις ἐλευθέραν ἐπιβουλῆς καὶ συμφορῶν ἀλογίστων τὴν πολιτείαν συντηρήσας, ἀέμνηστον σαυτοῦ κλέος τὸν ἅπαντα χρόνον καταλείψεις.

41. И тъй управлявай поданиците си, като се уповаваш не на тиранство, а на благосклонността на управляваните. Защото благосклонността е по-добра и по-здрава основа на властта, отколкото страхът, а тя се добива с добродетели, с труд и грижи за поданиците. Така и ти сам ще живееш действително царски и приятно и като запазиш по отношение на тях държавата свободна от опасности и от неизброими злочестини, ще оставиш завинаги подир себе си вечна слава.

μβ'. Νόμων τοὺς ἀκριβεστάτους ἐπαίνει καὶ ἀποδέχου· καὶ πρὸς ἐκείνους βλέπων τὸν σεαυτοῦ ῥύθμιζε βίον· μὴ μέντοι κατὰ τὰς ἐκείνων ψήφους τὸ ὑπήκοον ἀπαραιτήτους εἰσπράττου τὰς τιμωρίας, ἀλλὰ διὰ τῶν φιλανθρωποτέρων μᾶλλον παιδαγώγει· οὕτω τε γὰρ φοβερός, δι' ὧν σεαυτὸν ἀκριβολογεῖς, τοῖς ἁμαρτάνουσιν εἶναι δόξεις, καὶ ἀνεπαχθὴς τοῖς ὑπηκόοις.

42. Похвалявай и приемай най-строгите закони и с оглед към тях уреждай собствения си живот. Обаче не налагай на поданиците си немилостиви наказания според постановленията на тия закони, но по-скоро ги упътвай според по-човеколюбивите [закони]. Така, като си взискателен към себе си, ще изглеждаш, че си страшен към престъпниците, а към поданиците си недосаден.

μγ'. Δεῖ ἐγκρατῶς ἄρχειν, οὐ τῷ κολάζειν, ἀλλὰ τῷ δοκεῖν κολαστικὸν εἶναι. Τοῦτο δὲ ἦθος εὐσταθὲς ποιεῖ καὶ ἡ τῶν οἰκείων τρόπων σεμνότης καὶ ἐπιμέλεια· ὀργίλων δὲ μᾶλλον ἀνθρώπων ἢ φρονίμων αἱ κολάσεις· οἵτινες ἀπορίᾳ τοῦ δημαγωγεῖν σωφρόνως, ἐπὶ τὸ κολάζειν τρέπονται ῥαδίως. Καὶ τὸ μὲν καὶ ὁ τυραννικώτατος πράξειεν ἄν, τὸ δὲ μόνος ὁ ἀρχικώτατος· εἴπερ ἄρχοντος ἀρετὴ μὴ φθείρειν, ἀλλὰ πλείους καὶ βελτίους ποιεῖν τοὺς ἀρχομένους.

43. Трябва властно да управляваш не с наказания, а с това като изглеждаш, че си готов да наказваш. А това се постига с твърд характер и с почтени и вежливи обноски. Наказанията са свойствени не на благоразумни, но по-скоро на гневливи хора, които, като не могат да водят народа благоразумно, лесно прибягват към наказания. Това би могъл да направи и най-големият тиранин, а първото — само оня, който умее да употребява властта, защото достойнството на един началник се състои [в това] не да унищожава, а да умножава подвластните и да ги направи по-добри.

μδ'. Ἄρχοντος μέν τινες ἔφασαν ἀρετὴν ἐκ μικρᾶς μεγάλην πόλιν ποιῆσαι· ἐγὼ δὲ μᾶλλον ἂν φαίην τὸ ἐκ φαύλης σπουδαίαν παρασκευάσαι· τοῦ μὲν γὰρ καὶ καιρῶν πολλάκις φορὰ γέγονε παραιτία· τὸ δὲ οὐκ ἔστι μὴ οὐχὶ παρὰ τοῦ ἄριστα διοικοῦντος γενέσθαι. Ὃν σὺ παρα-

44. Някои са казали, че достойнството на един началник се състои в това — да направи един град от малък голям. Но аз по-скоро бих казал, че [по-голямо достойнство е] да го обърне от развален в сериозен, защото първото много пъти зависи от обстоятелствата, а второто може да направи само онзи, който управлява отлично. Като подражаваш на такъв, чрез делата, които вършиш, ще

ζηλῶν, δι᾽ ὧν κατορθοῖς ἀρετῇ τὴν τῶν ἀρχομένων αὔξεις πολιτείαν.

повдигнеш чрез добродетелта гражданския живот.

με'. Ὥσπερ τεῖχος σαθρόν, κἂν οἰκίας ἔνδον ἔχῃ λαμπράς, καὶ ἀέρων εὐκρασίαν, καὶ ὠνίων ἀφθονίαν, ὅμως τὴν πόλιν ἐξευτελίζει, οὕτως οἱ περὶ τὸν ἄρχοντα φαῦλοι καὶ τὸν ἐκείνου συνδιαβάλλουσι τρόπον· οἱ γὰρ ἐκείνων τῆς πονηρίας λαμβάνοντες πεῖραν καὶ τὸν ὑπ᾽ αὐτῶν δορυφορούμενον παραπλήσιον ὑπολαμβάνουσιν εἶναι.

45. Както порутената около един град стена го загрозява, ако и да има в него великолепни къщи, добър въздух и стоки в изобилие, така и покварената свита около един началник дава повод да се осъжда и неговото поведение. Защото ония, които от опит знаят развалата на свитата, мислят, че и обкръженият от нея ѝ прилича.

μς'. Μηδενὸς παρανομίαν, κἂν δοκεῖ δι᾽ αὐτῆς εὐημερεῖν, ἐπαινέσῃς· ἐκεῖνόν τε γὰρ μᾶλλον εἰς κακίαν ὑπαλείψεις, καὶ σεαυτὸν εἰς παραπλησίαν πρᾶξιν καιρὸν ἐπιζητεῖν ἀπελέγξεις. Ὁ γὰρ πρὸ καιροῦ ταῦτα, δι᾽ ὧν ἐπαινεῖ, προθυμούμενος καὶ τιμῶν, τί ἂν οὐ ποιήσει τοιούτου καιροῦ παραπεπτωκότος;

46. Не похвалявай ничие беззаконие, ако и да изглежда, че чрез него благоденствуваш. Защото с това и беззаконника ще подтикнеш повече към злото, и себе си ще изтъкнеш, че дириш случай, за да извършиш подобно деяние. Който с похвалите си насърчава и зачита такива деяния, преди да му се падне удобно време, какво не би направил, като му се удаде такъв случай.

μζ'. Ὁ τῶν ἀρχόντων τρόπος νόμος γίνεται τοῖς ὑπὸ χεῖρα. Εἰ οὖν, εἴ τι τὸ πλῆθος ἐξαμαρτάνει, εἰς τὸν ἄρχοντα τὴν αἰτίαν ἀναπέμπει, πόσον οἴει σαυτὸν [δεῖν] ἀρετῆς ἐπιμελεῖσθαι, καὶ χρεωστεῖν ἀεὶ ἐπὶ τοῖς καλοῖς ἐγρηγορέναι;

47. Поведението на началниците става закон за подчинените им. Ако прочее множеството отдава на началниците причината на своите грешки, колко, мислиш, трябва да се упражняваш в добродетели и да бъдеш винаги буден към всичко добро?

μη'. Πάσης πράξεως βουλὴ προηγείσθω· αἱ γὰρ ἀνεπίσκεπτοι πράξεις ὡς τὰ πολλὰ σφαλεραί· καὶ τὸ κατορθούμενον δικαίως ἂν αἰτίας ἄλλης ἔργον νομισθείη μᾶλλον, ἢ τῆς τοῦ πολλάκις παρασφαλέντος ὁρμῆς καὶ περιπετείας.

48. Всяко деяние трябва да се предхожда от размисляне, защото необмислените работи обикновено биват погрешни. Ако се постигне нещо добро, справедливо ще се помисли, че то е дело не на похватността и устрема на оногова, който много пъти не е сполучил, а на друга някоя причина.

μθ'. Ἅπερ χεῖρες πολλῶν, καὶ πολλάκις, οὐκ εἰργάσαντο, ταῦτα βουλὴ μία καὶ ἐφάπαξ κατεπράξατο. Δι᾽ ὃ εὐβουλίαν προτίμα πολυχειρίας.

49. Това, което не е било постигнато в много случаи с помощта на много ръце, се извършва из един път според един съвет. Затова предпочитай добрия съвет пред многото ръце.

ν'. Προνοίας ἐπίκουρος ἡ μετάνοια. Ἃ τοίνυν ἐκείνην διέλαθε καὶ ἐκπίπτει, αὕτη ταῦτα ἐπανελομένη διορθούσθω καὶ διασωζέτω.

50. Разкаянието помага на предвидливостта. Затова, каквото не е съгледала или пропуснала последната, разкаянието, като го подхване, нека го направи и спаси.

να'. Ὁ φθόνος πάσῃ μὲν ψυχῇ μεγάλη νόσος, μεγίστη δὲ μάλιστα τοῖς ἐν ἐξουσίᾳ· ἀνάγκη γάρ, οἷς συνεργοῖς μέλλει χρῆσθαι καὶ βίου καὶ πόλεως πρὸς εὐδαιμονίαν, τούτοις ὁρᾶν ὡς ἐχθροὺς διὰ τὴν ἐνοῦσαν ἀρετήν, καὶ ἐπιβουλεύειν ὡς πολεμίοις. οὗ τί ἂν εἴη ὀλεθριώτερον ἢ ἀφρονέστερον;

51. Завистта е за всяка душа тежка болест, а особено за властителите е найтежка. Защото биват принудени да гледат като на врагове поради добродетелите им и да готвят гибел на ония, които те ще трябва да използуват като свои сътрудници за своето частно и за общото — на държавата — благо. Може ли да бъде нещо по-пагубно и по-безумно от това?

νβ'. Ὅσον δὲ δεῖ φυγεῖν τὸ φθονεῖν, τοσοῦτον διώκειν τὸ φθονεῖσθαι· ἄρχοντι δὲ μά-

52. Колкото човек трябва да отбягва да завижда, толкова повече трябва да се стреми да бъде предмет на завист. Това

λιστα πρέπει, ᾧ μηδ' ἐξ ἑτοίμου ἢ ἀπὸ τῶν φθονούντων φέρεται βλάβη. Εἰ δεῖ δὲ ὅμως τὸν φθόνον περιστέλλειν (πολυμήχανον γὰρ πάντολμον τὸ θηρίον), οὐκ ἀρετῆς ἐλαττώσει, μετριότητι δὲ φρονήματος, καὶ ἀφαιρέσει καὶ περικοπῇ τῆς ἐν τοῖς οὐκ ἀναγκαίοις ἐπιδείξεως καὶ πλεονεξίας τὰς αὐτοῦ βολίδας διακρουστέον.

νγ'. Ὅταν τις ἄρχῃ ἑαυτοῦ, τότε νομιζέτω καὶ τῶν ὑπηκόων ἄρχειν ἀληθῶς. Ὅταν γὰρ ἴδωσι τὸν ἐφεστηκότα ἄρχοντα παθῶν καὶ κρατοῦντα ἡδονῶν, τότε πόθῳ καὶ ἑκόντες καὶ αὐτοὶ ὑποταγήσονται· ἂν δὲ ἀνδράποδον ἴδωσιν ἡδονῆς καὶ παθῶν, ἀφόρητον ἡγήσονται ἀνδραπόδῳ δουλεύειν αὐτοί.

νδ'. Ἄριστον νόμιζε δικαστὴν, ὃς τάχει μὲν λογισμῶν τὴν τοῦ δικαίου φύσιν θηρεύει· θηρεύσας δὲ σὺν ὀρθότητι προάγει· καὶ πρᾶξαι μὲν ἄνεσιν τοῖς ἀδικουμένοις ὀξύς, βραδὺς δὲ κολάσαι τοὺς ἁμαρτάνοντας· καὶ κρείττων μὲν χρυσίου, οὐκ ἐλάττων δὲ δυναστείας· καὶ κρατῶν μὲν ὀργῆς, οὐχ ἡττώμενος δὲ συμπαθείᾳ· καὶ μόνην μὲν συγγένειαν καὶ φιλίαν καὶ δόξαν οἶδεν ἐν τῷ δικάζειν τὴν δικαιοσύνην, μόνην δὲ ἀλλοτρίωσιν καὶ ἔχθραν καὶ ἀδοξίαν τὴν ἀδικίαν.

νε'. Μηδὲν τῆς πρὸς τὸ ὁμόφυλον διαθέσεως εὐχερῶς καὶ χωρὶς ἐμφανοῦς αἰτίας μεταβάλῃς. Εἰ γὰρ καὶ ὑπολανθάνουσαι παρ' αὐτῶν αἰτίαι τὴν πρὸς αὐτοὺς μεταβολὴν δικαίαν ποιοῦσιν, ἀλλ' οὖν οἱ ταύτας μὴ συνορῶντες οὐκ ἐκείνους αἰτιάσονται τῆς σῆς πρὸς αὐτοὺς ἀλλοιώσεως, σοῦ δ' ἀῤῥωστίαν καὶ εὐχέρειαν κατηγορήσουσι γνώμης.

νς'. Οὐχ οὕτως ἡ ἐν πολέμῳ ἀνδρία τὸν ἄρχοντα κοσμεῖ καὶ σώζει, ὡς ἡ πρὸς τοὺς ὁμοφύλους εὐμένεια καὶ φιλανθρωπία. Πολλοὶ γὰρ πολεμίων κρατήσαντες ὑπὸ τῶν οἰκείων δι' ὠμότητα διεφθάρησαν· καὶ πολλοὶ παρὰ μικρὸν ἁλῶναι πολεμίοις κινδυνεύσαντες, ὑπὸ τῶν ὁμοφύλων διεσώθησαν, οὐδ' αὐτὸ τὸ ζῆν ὑπὲρ τῆς σωτηρίας προτιμησάντων τοῦ ἄρχοντος.

νζ'. Ἄρχοντας δεῖ καθιστάναι, μάλιστα μὲν πάσαις πλουτοῦντας ταῖς ἀρεταῖς· εἰ δὲ μή, πάντως γε δικαιοτάτους· καὶ γὰρ ἃ τοῖς ἄρχουσι παρανομεῖται, ταῦτα τὸ μῖσος καὶ τὴν ὀργὴν τοῦ πλήθους εἰς τὸν προχειρισάμενον ἀναφέρει.

подобава най-много на началник, комуто завистниците не могат лесно да пакостят. Ако обаче стане нужда да се противодействува на завистта (защото тя е много хитър и много дързък звяр), трябва да се отблъскват стрелите ѝ не с намаляване на добродетелта, но със скромност, с лишаване и отбягване от суетност в ненужни неща и от алчност.

κατήφειαν μετατίθεται, τῆς εὐφροσύνης καὶ χαρᾶς εἰς πένθους τραπεί ης καὶ δάκρυα. Οὔπω γὰρ ἐκείνου τοῦ ἔθνους, οὐδ' εἰς δύο ἐνιαυτοὺς, τὴν ὀρθὴν τῶν Χριστιανῶν τιμῶντος θρησκείαν ἄνδρες δυσσεβεῖς καὶ ἀποτρόπαιοι (καὶ τί γὰρ οὐκ ἄν τις εὐσεβῶν τούτους ἐξονομάσειεν;) ἄνδρες ἐκ σκότους ἀναδύντες (τῆς γὰρ ἑσπερίου μοίρας ὑπῆρχον γεννήματα) οἴμοι πῶς τὸ ὑπόλοιπον ἐκδιηγήσομαι; οὗτοι, πρὸς τὸ νεοπαγὲς εἰς εὐσέβειαν καὶ νεοσύστατον ἔθνος, ὥσπερ κεραυνὸς ἢ σεισμὸς ἢ χαλάζης πλῆθος, μᾶλλον δὲ οἰκειότερον εἰπεῖν, ὥσπερ ἄγριος μονιὸς ἐμπηδήσαντες τὸν ἀμπελῶνα Κυρίου, τὸν ἠγαπημένον καὶ νεόφυτον καὶ ποσὶν καὶ ὀδοῦσιν, ἤτοι τρίβοις αἰσχρᾶς πολιτείας, καὶ διαφθορᾷ δογμάτων, τόγε εἰς τόλμαν ἧκον τὴν αὐτῶν, κατανεμησάμενοι ἐλυμήναντο· ἀπὸ γὰρ τῶν ὀρθῶν καὶ καθαρῶν δογμάτων, καὶ τῆς τῶν Χριστιανῶν ἀμωμήτου πίστεως, παραφθείρειν τούτους, καὶ ὑποσπᾷν, κατεπανουργήσαντο.

ε'. Καὶ πρῶτον μὲν αὐτοὺς ἐκθέσμους, εἰς τὴν τῶν Σαββάτων νηστείαν μετέστησαν. Οἶδε δὲ καὶ ἡ μικρὰ τῶν παραδοθέντων ἀθέτησις, καὶ πρὸς ὅλην τοῦ δόγματος ἐπιτρίψαι καταφρόνησιν. Ἔπειτα δὲ τὴν τῶν νηστειῶν πρώτην ἑβδομάδα, τῆς ἄλλης νηστείας περικόψαντες, εἰς γαλακτοποσίας, καὶ τυροῦ τροφὴν, καὶ τὴν τῶν ὁμοίων ἀδδηφαγίαν καθείλκυσαν. Ἐντεῦθεν αὐτοῖς τὴν ὁδὸν τῶν παραβάσεων ἐμπλατύνοντες, καὶ τῆς εὐθείας τρίβου καὶ βασιλικῆς διαστρέφοντες, καὶ δὲ καὶ τοὺς ἐνθέσμῳ γάμῳ πρεσβυτέρους διαπρέποντας, οἱ πολλὰς κόρας χωρὶς ἀνδρὸς γυναῖκας δεικνύντες, καὶ γυναῖκας παῖδας ἐκτρεφούσας, ὧν οὐκ ἔστι πατέρα θεάσασθαι, οὗτοι, τοὺς ὡς ἀληθῶς Θεοῦ ἱερεῖς, μυσάττεσθαί τε, καὶ ἀποστρέφεσθαι, παρεσκεύασαν· τῆς Μανοῦ γεωργίας, ἐν αὐτοῖς, τὰ σπέρματα κατασπείροντες, καὶ ψυχὰς ἄρτι

защото радостта и веселието се обърнаха в скръб и сълзи. Нямаше още две години, откак тоя народ беше захванал да почита християнската вяра, когато мъже злочестиви и отвратителни [с какво друго име би могъл да ги наименува един благочестив човек], мъже от мрак изпъкнали (защото били рожби на западните страни),[1] уви, как да разкажа останалото! Те като някоя мълния или трус, или силна градушка, или, за да се изразя по-добре, като някой вепър се нахвърлиха против наскоро утвърдения в благочестие и новоустановен народ и с нозе и зъби, т. е. с примери от срамно поведение и с изопачени догми, доколкото им допускаше смелостта, изпоядоха и опустошиха възлюбения и новосаден господен виноград[2]. Защото се изхитриха да развратят българите и да ги отстранят от правите и чисти догми и от непорочната християнска вяра.

5. И най-напред против закона ги накараха да постят в събота. Но знае се, че едно дори малко незачитане на това, което ни е предадено, става причина да се презира цялата догма. Освен това откъснаха от постите първата неделя и им позволиха през нея да пият мляко, да ядат сирене и да се лакомят за други подобни ястия. По-нататък, като им отвориха широко пътя на закононарушенията и ги отбиха от правия и царски път, тези, които направиха много девойки да бъдат жени, без да имат мъже, а много жени да хранят деца, добити от незнайни бащи, те подстрориха българите да се гнусят и отвращават от истинските божии свещеници — от презвитерите, които се отличават със законен брак — и по тоя начин посяха в България обработваните от Манес[3] семена и с приплосявани плевели похабиха душите, в кои-

[1] Тук патриарх Фотий говори за епископите Павел Популонски и Формоза Портуенски, които били изпратени от папа Николай I по молба на българския княз Борис. Те пристигнали в България към края на 866 г. Патриарх Фотий нарича папските епископи „мъже, изпъкнали от мрака", като използува двоякото значение на думата *δύσις* — залез, вечер, а също запад. За дейността на споменатите епископи вж. *Златарски,* История, I, 2, стр. 107—110. [2] Пс., 79, 14. [3] Манес (*Μάνης*, Мани, живял през III в. от н. е.) е основател на дуалистично-гностическо учение, наречено по неговото име манихейство. Според друга версия манихейството било създадено от някой си Кубрик, който се нарекъл Мани. Срв. Petrus Siculus, тук стр. 111 Манихеите смятали, че в основата на света стояло добро и зло начало, между които се водела вечна борба. Човек трябвало да усъвършенствува своята душа (създание на доброто начало), да се стреми към нравствена чистота, да се отдава на аскетизъм, за да победи тялото — създание на злото начало. Ето защо манихеите отхвърляли брака. Тук патриарх Фотий обвинява папските пратеници в България, че разпространявали манихейското учение, защото според догмите на католическата църква свещениците за разлика от източноправославните не трябвало да се женят. За манихейството вж. *Ст. Т. Мелик-Бахшян,* Павликианское движение в Армении, Ереван 1955, стр. 33—34. — *Д. Ангелов,* Богомилството в България, София 1947, стр. 32, 41, 62. — *D. Obolensky,* The Bogomils, Cambridge 1948.

βλαστάνειν ἀρξαμένας τὸν σπόρον τῆς εὐσεβείας, τῇ τῶν ζιζανίων ἐπισπορᾷ λυμαινόμενοι.

ς'. Ἀλλά γε δὴ, καὶ τοὺς ὑπὸ πρεσβυτέρων μύρῳ χρισθέντας, ἀναμυρίζειν αὐτοὶ οὐ πεφρίκασιν· ἐπισκόπους ἑαυτοὺς ἀναγορεύοντες, καὶ τὸ τῶν πρεσβυτέρων χρίσμα, ἄχρηστον εἶναι, καὶ εἰς μάτην ἐπιτελεῖσθαι, τερατευόμενοι.

ζ'. Ἆρ' ἔστιν, ὃς τηλικαύτην ἀκοῇ παρείληφεν ἄνοιαν, ἣν κατατολμᾶν οἱ παράφρονες οὐκ ἐνάρκησαν; Τοὺς ἅπαξ μύρῳ χρισθέντας ἀναχρίοντες, καὶ τὰ τῶν Χριστιανῶν ὑπερφυῆ καὶ θεῖα μυστήρια εἰς λῆρον μακρὸν, καὶ πλατὺν ἐξορχούμενοι γέλωτα. — — —

κδ'. Ταύτην τὴν ἀσέβειαν οἱ τοῦ σκότους ἐκεῖνοι ἐπίσκοποι (ἐπισκόπους γὰρ ἑαυτοὺς ἐπεφήμιζον) μετὰ τῶν ἄλλων ἀθεμίτων Βουλγάρων ἔθνος ἐνέσπειραν· ἦλθεν ἡ τούτων φήμη εἰς τὰς ἡμετέρας ἀκοάς· ἐπλήγημεν διὰ μέσων τῶν σπλάγχνων καιρίαν πληγὴν, ὡς εἴ τις τὰ ἔκγονα τῆς κοιλίας αὐτοῦ, καθ' ὀφθαλμοὺς ἴδοι ὑπὸ ἑρπετῶν καὶ θηρίων παραρασσόμενά τε καὶ διασπώμενα. Καὶ γὰρ οἷς κόποι, καὶ πόνοι, καὶ ἱδρῶτες, εἰς τὴν ἐκείνων ἀναγέννησίν τε καὶ τελείωσιν κατεβλήθησαν· ἀναλόγως αὐτοῖς, συμπεσεῖν ἀφόρητον τὴν λύπην καὶ τὴν συμφορὰν, τῶν γεννημάτων παραπολλυμένων, ἐξεγένετο.

κε'. Οὕτω γὰρ ἐθρηνήσαμεν ἐπὶ τῷ συνενεχθέντι παθήματι, ὅσον χαρᾶς ἐπληρώθημεν, τῆς παλαιᾶς πλάνης ἀπαλλαγέντας αὐτοῖς θεασάμενοι.

κς'. Ἀλλ' ἐκείνους μὲν ἐθρηνήσαμέν τε καὶ θρηνοῦμεν, καὶ ἀνορθωθῆναι τοῦ πτώματος, οὐ δώσομεν τοῖς ὀφθαλμοῖς ἡμῶν ὕπνον, οὐδὲ τοῖς βλεφάροις νυσταγμὸν· ἕως ἂν αὐτοὺς εἰς τὸ τοῦ Κυρίου, κατὰ τὸ δυνατὸν ἡμῖν, εἰσελάσωμεν σκήνωμα.

κζ'. Τοὺς δὲ νέους τῆς ἀποστασίας προδρόμους, τοὺς θεραπευτὰς τοῦ ἀντικειμένου, τοὺς μυρίων ἐνόχους θανάτων, τοὺς κοινοὺς λυμεῶνας, τοὺς τὸ ἁπαλὸν ἐκεῖνο καὶ νεοσύστατον εἰς τὴν εὐσέβειαν ἔθνος, τοσούτοις καὶ τηλικούτοις σπαραγμοῖς διασπαράξαντας· τούτους τοὺς ἀπατεῶνας καὶ θεομάχους συνοδικῇ καὶ θείᾳ κατεκρίναμεν ψήφῳ· οὐ νῦν αὐτῶν τὴν ἀπόφασιν καθορίζοντες, ἀλλ' ἐκ τῶν ἤδη συνόδων, καὶ ἀποστολικῶν θεσμῶν, τὴν προωρισμένην αὐτοῖς καταδίκην ὑπεκφαίνοντες καὶ πᾶσι ποιοῦντες ἐπίδηλον.

то наскоро беше покарало семето на благочестието.

6. При това те не се ужасиха повторно да миропомажат миропомазаните вече от презвитери, като прогласиха себе си за епископи и чудовищно говореха, че извършеното от презвитери миропомазване било безполезно и се извършвало напразно.

7. Но има ли човек, който да е чул такава глупост, каквато, без да трепнат, са извършили тия безумци, като са помазали помазаните вече с миро и по тоя начин са обърнали преестествените и божествени християнски тайнства в крайно пустословие и са ги направили предмет за голям присмех...

24. Това нечестиво учение с други още беззакония са посели между българския народ епископите на мрака. (Те за епископи се величаеха.) Мълвата за всичко това достигна до нашите уши. Тежък удар ни удари в сърцето, като кога види човек зверове и змии да му раздират и разкъсват пред очи рожбите. Защото ония, които бяха положили трудове, мъки и пот за възраждане и усъвършенствуване на българите, естествено беше да изпаднат съразмерно със старанията си в непоносима мъка и жалост при загиването на рожбите им.

25. Защото толкова плакахме за случилата се злочестина, колкото се бяхме преизпълнили с радост, когато ги видяхме, че се освободиха от предишната си заблуда.[1]

26. Ние ги оплакахме и оплакваме и няма да дадем на очите си сън и на клепките си дрямка,[2] додето не ги вдигнем от падането и не ги вкараме, доколкото зависи това от нас, в селението господне.

27. А новите предтечи на отстъплението,[3] служителите на противника,[4] повинните на многократно умиране, общите пакостници, които подложиха на толкова и такива терзания оня крехък и наскоро насочен към благочестие народ,[5] тия измамници и богоборци осъдихме със съборна и божествена присъда. Не определихме ние сега решението против тях, а изнесохме предвидената в отколе съществуващите апостолски и съборни постановления при съда и я направихме известна на всички.

[1] Сиреч когато българите от езичници станали християни. [2] Пс., 131, 4. [3] 2 Солун., 2, 3. [4] 2 Солун., 2, 4. [5] Т. е. българите.

λδ'. Τούτων τὴν γνῶσιν καὶ εἴδησιν, κατὰ τὸ παλαιὸν τῆς Ἐκκλησίας ἔθος, ἀνενεγκεῖν τῇ ἡμετέρᾳ ἐν Κυρίῳ ἀδελφότητι, ἐδικαιώσαμεν· καὶ προθύμους καὶ συναγωνιστὰς γενέσθαι, ἐπὶ τῇ καθαιρέσει τῶν δυσσεβῶν τούτων καὶ ἀθέων κεφαλαίων, παραινοῦμέν τε καὶ δεόμεθα καὶ μὴ λιπεῖν τὴν πατρῴαν τάξιν, ἣν ὑμᾶς οἱ πρόγονοι, δι' ὧν ἔπραξαν, κατέχειν παραδεδώκασιν· ἀλλὰ σπουδῇ πολλῇ καὶ προθυμίᾳ, ἀνθ' ὑμῶν, τοποτηρητάς τινας ἑλέσθαι ἀποστεῖλαι, ἄνδρας τὸ ὑμέτερον ἐπέχοντας πρόσωπον, εὐσεβείᾳ δὲ καὶ ἱερωσύνῃ, καὶ λόγῳ καὶ βίῳ, κεκοσμημένους· ὡς ἂν τὴν ἀρτιφανῆ τῆς ἀσεβείας ταύτης ἐφερπύσασαν γαγγραίναν, ἐκ μέσου τῆς ἐκκλησίας ποιησώμεθα· καὶ τοὺς ἐκμανέντας τοσαύτην ἐπισπορὰν πονηρίας εἰς τὸ νεοπαγὲς καὶ νεοσύστατον ἔθνος εἰσενεγκεῖν, αὐταῖς ἀνασπᾶσαι ῥίζαις, καὶ τῷ πυρὶ παραδοῦναι, διὰ τῆς κοινῆς ἀποφάσεως· ὃ τοὺς κατηραμένους ὑποδέχεσθαι, τὰ κυριακὰ θεσπίζουσιν λόγια.

34. Като намираме за благословно да уведомим и съобщим според древния на църквата обичай за всичко това на ваше с господе братство, съветваме и просим да ни станете усърдни сподвижници за премахване на тия злочестиви и безбожни въпроси и да не напуснете реда, дето бащите ни с делата си ви предадоха да стоите, но с голяма спешност и усърдие да изберете и изпратите за свои местоблюстители мъже, украсени с благочестие и свещенство, със слово и живот, които да представят вашето лице, та да махнем от църквата тази новопоявила се и вмъкнала се в нея гангрена на нечестието, а тия, които са побеснели от желанието да внесат в крехкия и новоустановен народ[1] такъв присев от лукавство [да изтръгнем от корен] и с общо решение да предадем на огъня, който трябва да очакват проклетите, според както заповядват думите господни.

λε'. Οὕτω γάρ, τῆς μὲν ἀσεβείας ἐλαυνομένης, καὶ τῆς εὐσεβείας κραταιουμένης, ἐλπίδας ἔχομεν ἀγαθάς, εἰς τὴν παραδοθεῖσαν αὐτοῖς ἐπαναστρέψαι πίστιν, καὶ τὸ νεοκατήχητον εἰς Χριστὸν καὶ νεοφώτιστον τῶν Βουλγάρων πλήρωμα· καὶ γὰρ οὐ μόνον τὸ ἔθνος τοῦτο, τὴν εἰς Χριστὸν πίστιν, τῆς προτέρας ἀσεβείας ἠλλάξατο· ἀλλά γε δή, καὶ τὸ παρὰ πολλοῖς πολλάκις θρυλλούμενον, καὶ εἰς ὠμότητα καὶ μιαιφονίαν πάντας δευτέρους ταττόμενον, τοῦτο δὴ τὸ καλούμενον τορῶς,[a] οἱ δὴ καὶ κατὰ τῆς Ῥωμαϊκῆς ἀρχῆς, τοὺς πέριξ αὐτῶν δουλωσάμενοι, κἀκεῖθεν ὑπέρογκα φρονηματισθέντες, χεῖρας ἀντῆραν· ἀλλ' ὅμως νῦν καὶ οὗτοι, τὴν τῶν Χριστιανῶν καθαρὰν καὶ ἀκίβδηλον θρησκείαν, τῆς Ἑλληνικῆς καὶ ἀθέου δόξης, ἐν ᾗ κατείχοντο πρότερον, ἀντηλλάξαντο, ἐν ὑπηκόων ἑαυτοὺς καὶ προξένων τάξει, ἀντὶ τῆς πρόμικροῦ καθ' ἡμῶν λεηλασίας, καὶ τοῦ μεγάλου τολμήματος, ἀγαπητῶς ἐγκαταστήσαντες. Καὶ ἐπὶ τοσοῦτον αὐτοὺς ὁ τῆς πίστεως πόθος καὶ ζῆλος ἀνέφλεξεν, (Παῦλος πάλιν βοᾷ, Εὐλογητός, ὁ Θεὸς εἰς τοὺς αἰῶνας) ὥστε καὶ ἐπίσκοπον καὶ ποιμένα δέξασθαι, καὶ τὰ τῶν Χριστιανῶν θρησκεύματα, διὰ πολλῆς σπουδῆς καὶ ἐπιμελείας ἀσπάζεσθαι.

35. Така, като се изгони нечестието и се укрепи благочестието, имаме блага надежда, че новоогласеното в Христа и новопросветено племе на българите ще се върне пак във вярата, която му е предадена. Защото не само тоя народ е заменил предишното си нечестие с вярата в Христа, но и така нареченият народ Рос,[2] за който многократно мнозина са разгласявали, че по жестокост и кръвожадност надминавал всички други, и който, след като е покорил околните народи и от това възгордян, дигнал ръце и против ромейската власт, и той е постъпил също така. И те замениха предишното си елинско и безбожно вярване с чистата и непримесена християнска вяра, прекратиха предишните си против нас плячкосвания и дръзки нападения и доброволно влязоха в реда на нашите поданици и приятели. И от толкова силно желание и от ревност за вярата се възпламениха (Павел пък вика: „Благословен Бог во веки"), та и епископ, и пастир да приемат и с голяма готовност и усърдие християнската вяра да обикнат.[3]

[a] *τὸ Ῥῶς* ed.

[1] Сиреч сред българския народ. [2] Патриарх Фотий има пред вид Киевска Русия. Вж. *М. В. Левченко,* Очерки по истории русско-византийских отношений, М. 1956, стр. 41—45. [3] След нападението на русите срещу Цариград през 860 г. Византия с цел да ги спечели на своя страна направила опит да ги християнизира. В периода от 860 до 867 г. част от русите били покръстени, а един византийски епископ се установил в Киев. Обаче успехът на Византия в налагането на своето църковно и политическо влияние в Киевска Русия бил краткотраен. Въпреки грижите на византийското правителство установената от Византия в Киев църковна йерархия не се задържала дълго. Условия за проникването на християнството сред русите възникнали след повече от един век; те се покръстили едва в 989 г. Вж *M. Jugie,* Les origines romaines de l'Eglise russe, Echos d'Orient, XXXVI (1937), pp. 257—270. Срв. Левченко, пос. съч., стр. 57—90.

λϛʹ. Τούτων οὖν οὕτω, τῇ τοῦ φιλανθρώπου Θεοῦ χάριτι, τοῦ πάντας ἀνθρώπους θέλοντος σωθῆναι, καὶ εἰς ἐπίγνωσιν ἀληθείας ἐλθεῖν, τῶν παλαιῶν αὐτοῖς δοξασμάτων μετατιθεμένων, καὶ τὴν εἰλικρινῆ τῶν χριστιανῶν πίστιν ἐκείνων, ἀλλασσομένων· εἰ διανασταίη καὶ ἡ ὑμετέρα ἀδελφότης συμπροθυμηθῆναι, καὶ συγκατεργάσασθαι, εἰς τὴν ἐκκοπὴν καὶ καῦσιν τῶν παραφυάδων, ἐν Κυρίῳ Ἰησοῦ Χριστῷ, τῷ ἀληθινῷ Θεῷ ἡμῶν πεποιθότες ἐσμὲν, ὅτι το ποίμνιον αὐτοῦ, ἐπὶ πλέον ἔτι μᾶλλον αὐξηθήσεται, καὶ πληρωθήσεται τὸ εἰρημένον, ὅτι Εἰδήσουσίν με πάντες ἀπὸ μικροῦ ἕως μεγάλου αὐτῶν, καὶ, Εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν ἀποστολικῶν διδαγμάτων, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ ῥήματα αὐτῶν. (PGr,col. 721 A; 724 A—725 B;732 B—733 A; 736 B — 737 B).

36. Понеже прочее тези народи с благодатта на човеколюбивия бог, който иска всички човеци да се спасят и в познание на истината да дойдат,[1] се отказаха от предишните си вярвания и ги замениха с истинска християнска вяра, затова, ако и ваше братство се накани да ни помогне с готовност и да ни съдействува, за да изсечем и изгорим издънките, убедени сме в господа Исуса Христа, истинския наш бог, че стадото му още повече ще се умножи и ще се изпълни казаното: „Ще ме познаят всички от мало до голямо“[2] и „По цялата земя се разнесе вещанието на апостолските учения и по краищата на вселената словесата им.“[3]

3. Arsenio monacho

Ἀρσενίῳ μονάζοντι καὶ ἡσυχαστῇ, μετὰ τὸ ἀποσταλῆναι πρὸς αὐτὸν τοὺς ἐκ Βουλγαρίας ζητοῦντας μονάσαι. (PGr, col. 904 C).

До монаха и исихаста Арсений, след като му са били изпратени ония из България, които искаха да станат монаси[4]

4. Michaeli principi Bulgariae

Μιχαὴλ Ἄρχοντι Βουλγαρίας.

До Михаил, княз на България[5]

— — —

Ὁσάκις ἂν τοῖς ποθεινοῖς καὶ ἠγαπημένοις τῆς ὑμῶν θεοφρουρήτου ἐξουσίας ἐντύχωμεν γράμμασι, τοσαυτάκις ἀναζωπυρούμεθα τῳ πνεύματι καὶ πλέον εἰς δόξαν τοῦ ἀγαθοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν διανιστάμεθα οὐχ ὅτι μόνον ἐξ ἠγαπημένου λίαν καὶ πεποθημένου υἱοῦ δεχόμεθα γράμματα, οὐδ᾽ ὅτι τὰς θεοδωρήτους αὐτοῦ ὑγείας δι᾽ αὐτῶν ἐκμανθάνομεν καίτοι καὶ ταῦτα μόνα ἱκανά ἐστι ψυχὴν φιλόθεον καὶ φιλάρετον ἐμπλῆσαι χαρᾶς καὶ εὐφροσύνης, ἀλλ᾽ ὅτι καὶ καθ᾽ ἕκαστον γράμμα προκοπῆς ἀρετὴν καὶ εὐσεβείας ἐπίδοσιν δι᾽ αὐτῶν σημαινομένην καταμανθάνομεν, φροντίδα ψυχικῆς σωτηρίας, εὐχῶν ἐξαίτησιν, φρόνημα πρὸς τὰ ἐκεῖθεν φερόμενον, ἄνθρωπον, οἷον ἡ τοῦ δεσπότου καὶ πλάστου χεὶρ (εἴη δὲ φθόνος ἅπας πόῤῥω τῆς σῆς ἀπεῤῥιμμένος πολιτείας) ἀπ᾽ἀρχῆς[a] ἐπλαστούργησεν ἐν τῷ παρόντι βίῳ γνωριζόμενον. Ἀλλ᾽ εἴη θεός, ὁ μέχρι τοῦ νῦν τούτοις σε κατακοσμήσας καὶ στηρίζων τοῖς κατορθώμασι, καὶ

Колкото пъти получим въжделените и обични писма на богохранимата ви власт, всякога се въодушевяваме духом и се възбуждаме да прославяме всеблагия бог и спасител наш не само защото приемаме писма от твърде обичан и въжделен син и се научаваме от тях за богодаруваното му здраве, ако и това само да е достатъчно, за да преизпълни с радост и веселие една любеща бога и добродетелна душа, но и затова че във всяко писмо виждаме да се забелязва преуспяване в добродетел, напредване в благочестие, грижа за душевно спасение, изпросване на молитви, разположение, насочено към отвъдния свят, човек, какъвто десницата на владиката и създателя (да не са уроки на живота ти) от самото начало е създала и каквото се проявява в настоящия живот. Но дано бог, който те е украсил с тия подвизи

[a] *ἀπαρχῆς* cod.

[1] Тим., 2, 4. [2] Евр., 8, 11. [3] Рим., 10, 18; Пс., 18, 5. [4] Писмото на патриарх Фотий до монаха Арсений е било писано по всяка вероятност през периода от 878 до 886 г., когато Фотий е бил за втори път патриарх. То има подчертан църковно-религиозен характер и освен заглавието не съдържа нищо, което да представлява интерес за българската история. Вж. *Митрополит Симеон*, Посланието на цариградския патриарх Фотий до българския княз Борис, Български старини, кн. V, София 1917, стр. 22—24. [5] Вероятно писмото до княз Борис-Михаил е било писано между 865 и 866 г. (скоро след покръстването на българите), тъй като в него няма никакво споменаване за дейността на папските мисионери в България, които пристигнали в края на 866 г. Вж. *Митрополит Симеон*, пос. съч., стр. 25—27.

μέχρι τῆς ἀπαλλαγῆς τοῦ βίου ἐπὶ τοῖς αὐτοῖς καὶ μείζοσι μέτροις περιέπων καὶ συντηρῶν, ἵνα καὶ τῷ ὑπὸ τῆς σῆς θεοφρουρήτου ἐξουσίας διακυβερνωμένῳ ἔθνει καλὸν εἴης καὶ ἀείμνηστον διδασκαλίας ὑπόδειγμα καὶ τοῖς ἄλλοις ἅπασιν ἔθνεσιν ἀφορμὴ σωτηρίας καὶ ἐπιστροφῆς καὶ διορθώσεως καὶ ἡμῶν τῶν ταπεινῶν αἰώνιον σεμνολόγημα. (Papadopulos-Kerameus, pp. 7, 25—8, 16).

и те подкрепя досега в тях, да те поддържа и съхранява до края на живота ти в същите и по-големи добродетели, за да бъдеш и за управлявания от богохранимата ти власт народ добър и незабравим пример на поука, на всички други народи повод за спасение, обръщение и изправление, а за нас, смирените, вечна похвала.

5. *Michaeli principi Bulgariae*

Μιχαὴλ ἐκ θεοῦ ἄρχοντι Βουλγαρίας.

Εἰ δάκρυσιν γράμματα, δάκρυσιν, ἂν χρησάμενος ἀντὶ μέλανος καὶ τοῖς μὴ παροῦσι παρέσχον ἴχνη τοῦ πάθους θεάσασθαι. Νῦν δ' οἴμοι καὶ ταύτης ἡ φύσις χηρεύει τῆς χάριστος. Ὢ πληγῆς βαρείας, ὢ τομῆς χαλεπῆς, τὸν μὲν ἐχούσης ὅσα γε τὰ ἀνθρώπινα μὴ αἰσθανόμενον, τὸν δὲ πικρῶς διατεμούσης καὶ ἀπολιπούσης ἐν ἡμιθνήτῳ σώματι ἀνιώμενον καὶ τῆς γλυκείας τοῦ φιλτάτου συναφείας ἐλεεινῶς διασπώμενον. Πλήν γε τὸ πένθος, ὅπερ ἐνέτηξεν ἡμῶν ταῖς καρδίαις ὁ λιπὼν ἡμᾶς πνευματικὸς υἱός, ὁ πιστὸς ἐν βασιλεῦσιν, ὁ φίλος αἰδέσιμος, τοῦτο μὲν ἔστι τε συνέχον καὶ παρ' ὅλον οἶμαι τὸν βίον ἔσεται μὴ λυόμενον, κἂν ἡ τῶν εὐγενεστάτων τε καὶ εὐσεβεστάτων καὶ τῆς αὐτοῦ βασιλείας διαδόχων ἀρετή, οἷς ἐξευγενίζειν αὐτοῦ τὰς πράξεις ἐν τῷ μιμεῖσθαι διανίσταται, καταπραΰνειν τε καὶ ἐπιμαλάττειν τὸ ἄλγος ἐπιχειρῇ. Ἐξ οὗ καὶ γράφειν τῇ σῇ περιβλέπτῳ ἀρχῇ τῆς πολλῆς καὶ βαθυτάτης ἀναφέροντες λύπης προήχθημεν. Πρῶτον μὲν γὰρ ἀγαθοῦ πατρὸς ἀγαθοὶ φύντες παῖδες οὐ μᾶλλον τῇ διαδοχῇ τῆς ἀρχῆς ἢ τῆς ἀρετῆς ἀνωραΐζονται καὶ ἄλλων χαιρόντων, οἷς ὁ πατὴρ καὶ παρελθὼν ἐνευδοκιμεῖ, αὐτοὺς ἀνία καὶ φόβος ἔχει, μήποτε τῶν ἐκείνῳ κατωρθωμένων φανῶσιν ἐλάττους καὶ δεύτεροι νομισθῶσι τοῖς πολλοῖς τῆς ἄλλης ἐπιεικείας καὶ τῆς εἰς πάντα, οἷς ἐκεῖνος τῶν ἄλλων ἐκράτει, συνέσεώς τε καὶ τελειότητος. Διόπερ οὐδὲ περὶ τῆς ὑμῶν περιβλέπτου μεγαλειότητος ὁ

До Михаил, от бога княз на България

Ако писма се пишеха със сълзи, сълзи бих употребил вместо мастило и бих позволил на онези, които не присъстват, да видят следите на страданието. Него сега, уви, естеството е лишило и от тази благодат. О, тежък удар, о, мъчителна раздъка, която овладява единия така, щото да не чувствува човешките дела, а другия горчиво разкъсва, оставя го да се мъчи в полумъртво тяло, откъснат жалко от сладката връзка с прелюбимия човек. Обаче жалостта, която вля в душите ни напусналият ни духовен син,[1] верният измежду царете, достойният за почит от страна на приятелите, тя ни обладава и, мисля, цял живот няма да се разпръсне, въпреки че добродетелта на преблагородните и преблагочестиви приемници на неговото царство,[2] които се надигат чрез подражанието да направят още по-благородни неговите деяния, се мъчи да успокои и омекчи страданието. Поради това и бяхме подтикнати да пишем на твоята славна власт, за да известим за голямата и предълбока скръб. Защото родените от добър баща добри чеда се украсяват не толкова чрез приемствеността на властта, колкото чрез добродетелта и другите неща, които радват и към които проявяваше благоволение и бащата. А тях ги овладяват скръб и страх, да не би да се покажат по-малки в подвизите в сравнение с него и да не бъдат сметнати, че стоят на второ място в много неща, свойствени на кротостта, както и по благоразумието и съвършенството, чрез които той господствуваше над другите. Поради това също и към вашето славно величие не бе насочено обичайното

[1] Фотий съобщава на княз Борис за смъртта на византийския император Василий I, починал на 29 август 886 г. [2] Става дума за синовете на Василий I, император Лъв VI и Александър, които отначало поели властта като съимператори, обаче наскоро Александър бил лишен от власт.

τυχὼν αὐτοῖς ἐπῆλθεν ἀγών. ὥστε μὴ μόνον τῆς πρὸς ὑμᾶς ἐκείνου δευτέρους νομισθῆναι διαθέσεως, ἀλλ' ὅσα γε δυνατὰ καὶ κρείττους ὀφθῆναι καὶ τὸ φίλτρον ἐπιδεῖξαι ἡλίκον οἷον ἅτε δὴ πατρόθεν τε καὶ οἴκοθεν πολυπλασιαζόμενον. Δι' ὃ καὶ αὐτίκα τῆς βασιλείας τὸ σκῆπτρον θεόθεν δεξάμενοι ἀντὶ δεξιᾶς καὶ χειλέων οἷα δὴ τοὺς τῆς φιλίας θεσμοὺς ἐν γράμμασι προτεινόμενοι καὶ δι' αὐτῶν συνάπτοντες ἑαυτοῖς τὴν σὴν ἀρετὴν καὶ εἰς ὁμοφροσύνην συνάγοντες καὶ ὁμόνοιαν, μέγα κλέος ἡγοῦνται σχέσιν ἀδελφικὴν καὶ φίλτρον ἄδολον, ὃ μετὰ τῆς γνώμης ἡ φύσις χαρίζεται, ἐν ἀλλήλοις ὁρᾶσθαί τε καὶ παρὰ πάντων ἐπιγνώσκεσθαι. Δι' ὃ τιμῶσι μὲν τὴν ὑμετέραν ἀρετὴν ἐν λόγοις, θαυμάζουσι δὲ ἐν συλλόγοις καὶ τοῖς ἔργοις τοὺς λόγους προβάλλειν τὴν πίστιν πολλὴν σπουδὴν συνεισάγουσι, μεμφόμενοι μὲν τοὺς εἴ τινές ποτε αἰτίαν λύπης παρασχόντας ἢ παρασχεῖν ἐπιχειροῦντας τῇ ὑμῶν θεοκυβερνήτῳ ἀρχῇ, ἀποδεχόμενοι ⟨δὲ⟩ καὶ προσοικειούμενοι τοὺς συλλαμβάνοντας πᾶν σκάνδαλον ἐκ μέσου μέρους ἑκατέρου περιαιρεθῆναι, πᾶσαν δὲ εἰρήνην καὶ ὁμόνοιαν ἐμπλατύνεσθαί τε καὶ ἐμπολιτεύεσθαι καὶ τῶν ἔμπροσθεν εὐσταθέστερόν τε καὶ κραταιότερον, ὃ καὶ θεοῦ χάριτι, ὃς φιλανθρωπίας ἀφάτῳ πλούτῳ μετὰ τῶν ὅλων παρ' ἡμῖν ὀνομάτων καὶ εἰρήνην κατηξίωσε καλεῖσθαι, τῶν σκανδάλων ἐκποδὼν καθισταμένων, οἷα δὴ κοινῇ συμφέρον καὶ σωτήριον ἀταλαιπώρως προελθεῖν. Χρὴ τοιγαροῦν καὶ τὴν ὑμετέραν θεοκυβέρνητον ἐξουσίαν τὴν ἴσην καὶ ὁμοίαν ἀναδεξαμένην διάθεσιν τῇ κοινῇ καὶ σωτηρίῳ συνεισενεγκεῖν εἰρήνῃ ἣ τηλικαύτῃ πρέπει συνεισάγειν εὐσεβείᾳ τε καὶ συνέσει καὶ τελειότητι, ὡς ἂν ἑκατέρωθεν τῆς καθαρᾶς καὶ τελείας ἀναφυομένης ἀγάπης ὁ σύνδεσμος αὐτῆς καὶ ἡ συμπλοκὴ ἀρραγὴς καὶ ἀδιάλυτος εἰς τὸν αἰῶνα διαφυλαχθείη. Ἴσως μὲν οὖν περιττὴ ἡ παραίνεσις δόξει οἷς ὁ τῆς εἰρήνης δρόμος καὶ ὁ ἀγὼν πρὸ παντὸς ἄλλου σπουδάζεται, πλήν γε φίλον ἐστὶ πατράσι

тяхно усилие не само да не бъде сметнато, че те стоят по-долу от него в разположението си към вас, но и да се проявят колкото е възможно по-добре и да покажат онази обич, която имат от баща си и от самите себе си, многократно умножена. Затова и веднага след като от бога поеха скиптъра на царството, те предложиха в писма[1] — вместо, както подобава, десница и устни — обичайните за приятелството неща, привързаха чрез тях към себе си твоята добродетел, приведоха я към единомислие и единодушие, смятайки за велика слава да видят помежду си и да бъде признато от всички братско отношение и честна любов, което нещо природата дарява заедно с разбирането. Поради това те с думи оказват почит към вашата добродетел, изразяват удивление към нея в беседи и полагат голямо старание думите да изтъкнат чрез делата вярата. Те укоряват онези, в случай че има такива, които някак са дали или сега се опитват да дадат повод за огорчение на богоуправляваната ваша власт, а, от друга страна, приемат и приобщават към себе си онези, които съдействуват да се отстрани между едната и другата страна[2] всяка разпра, да настъпи и се въдвори пълен мир и единодушие и това нещо занапред да бъде по-устойчиво и поздраво. Това и по благодатта на бога, който поради неизказано богатство на човеколюбие се удостои да бъде назоваван редом с другите давани от нас имена и с името „мир“,[3] след като бъдат отстранени разприте, нека преуспее без мъка като нещо общополезно и спасително. И тъй необходимо е също и вашата богоуправлявана власт, след като възприеме същото и еднакво разположение, да съдействува за общия и спасителен мир, както подобава на толкова голямо благочестие, разум и съвършенство, така щото звеното и връзката на проявяваната от едната и другата страна чиста и съвършена обич да се запази навеки неразкъсваема и неразривна. Може би прочее това увещание ще се стори излишно за онези, които преди всичко друго усърдствуват в борбата и залягането за мира, обаче при все това

[1] От този израз трябва да се заключи, че приемниците на Василий I веднага след смъртта на баща си и поемането на властта отправили до княз Борис послание, което обаче е загубено. [2] Сиреч между Византия и България. [3] Срв. Лука, X, 6; Римл., XV, 33; XVI, 20 и др.

φιλτάτων τέκνων, κἂν ἐγγὺς τύχωσιν ἥκοντα τοῦ σπουδαζομένου, ἐνωραΐζεσθαι μὲν οἷς δρῶσι, τῆς δὲ τὸ τέλος καταλαβεῖν ἐπιταχυνούσης παραινέσεως μὴ ἀφίστασθαι. Ἅπερ οὖν ἐνταῦθα τοῖς φιλτάτοις καὶ πνευματικοῖς ἡμῶν τέκνοις, τοῖς πανευσεβάστοις ἡμῶν καὶ θεοπροβλήτοις βασιλεῦσι, συνεισάγειν οὐ παραιτούμεθα, πρὸς αὐτὸ τοῦτο καὶ τὴν ὑμετέραν θεοφρούρητον καὶ δεδοξασμένην ἐξουσίαν προτρέπειν ἡμέτερον χρέος εἶναι λογιζόμεθα. Ὥσπερ γὰρ ἀχωρίστους ὑμᾶς ἔχομεν τῇ εὐσεβείᾳ καὶ τῷ πνευματικῷ φίλτρῳ κἂν τῷ ὑπερεύχεσθαι, οὕτω καὶ τὰς παραινέσεις ἀχωρίστους εἶναι πρέπειν καὶ κοινὰς ἐν κρίσεως ἀδεκάστου νόμῳ καὶ πνευματικῆς φιλίας ὅρῳ τιθέμεθα.

присъщо е на бащите, които обичат чедата си, ако и [чедата] да се намират близо до онова, към което се стремят, те се украсяват с това, що виждат, обаче не се отказват от увещанието, което подтиква към достигане на целта. И тъй ние не се отказваме да внушаваме тези неща на прелюбимите и духовни наши чеда, преблагочестивите и богоиздигнати наши императори и смятаме, че е наш дълг да подтикнем към това също и вашата богопазена и прославена власт. Защото, както имаме вас[1] неразлъчни в благочестието и в духовната обич и в молитвите си [за вас всички], така също смятаме, че подобава да бъдат неразделни и общи увещанията в името на закона на неподкупния [божи] съд и в определението на духовното приятелство.[2]

---

[1] Фотий винаги има пред вид българския княз и двамата византийски владетели. Мисълта му е, че той бил смятал Борис и двамата императори за еднакво благочестиви като християни и еднакво се молел за всички тях. [2] Писмото не носи никаква дата. То трябва да се датира обаче с голяма вероятност към месец септември, непосредствено след смъртта на император Василий I (29 август) и преди детронирането на Фотий в началото на декември 886 г.

XI. ПЕТЪР СИЦИЛИЙСКИ

Петър Сицилийски (*Πέτρος Σικελιώτης*) напуснал в 830 г. родината си Сицилия, в която арабите нахлували по това време, и се преселил в Цариград. Като пратеник при павликяните в арменския град Тефрика той прекарал там няколко месеца през 869 г., за да уговори размяна на пленници, взети през войната от 867 г., когато павликяните и арабите действували срещу византийците. Там той се запознал подробно с учението на павликяните, което изложил в едно съчинение, озаглавено „История на манихеите" и посветено на тогавашния глава на българската църква.

РЪКОПИСИ: V — cod. Vatic. gr. 511.

ИЗДАНИЯ: *Migne*, PGr. CIV col. 1231—1330.

КНИЖНИНА: *Krumbacher*, GBL, p. 78. — *Йорд. Иванов*, Богомилски книги и легенди, София 1925, стр. 17. — *H. Grégoire*, Les sources de l'Histoire des Pauliciens, Bull. de la Classe des Lettres et des Sciences morales et politiques de l'Académie royale de Belgique, XXII (1936), pp. 98—114.— *Idem*, Sur l'Histoire des Pauliciens, Ibidem, pp. 224—226. — *Idem*, Autour des Pauliciens, Byzantion, XI (1936), pp. 610—614. — *Idem*, Pour l'Histoire des Eglises pauliciennes, Orientalia Christiana Periodica, XIII (1947), pp. 509—514. — *Д. Ангелов*, Влияние на чужди ереси върху богомилството, Изв. сем. при Ист.-фил. фак. на университета „Св. Климент Охридски", кн. I (1942), стр. 145—180. — *Е. Э. Липшиц*, Павликянское движение в Византии в VIII и первой половине IX вв., ВВр, V (1952), стр. 50—72. — *D. Obolensky*, The Bogomils, Cambridge 1948, pp. 28—58. — *Б. Примов*, Българското народностно име в Западна Европа във връзка с богомилите, ИИБИ, VI (1956), стр. 368—369. — *M. Loos*, Deux contributions à l'histoire des Pauliciens, Byzantinoslavica, XVI, 1 (1956), pp. 191 sq. — *Moravcsik*. Byzantinoturcica, I, p. 472. — *К. Н. Юзбашян*, К истории павликянского движения в Византии в IX в., Вопросы истории религии и атеизма, 4, 1956. — *А. П. Каждан*: ВВр, XVI (1959), стр. 284. — *Б. Примов*, Богомилският дуализъм, ИИИ, VIII (1960), стр. 81 сл. и др.

PETRI SICULI

HISTORIA UTILIS ET REFUTATIO ATQUE EVERSIO HAERESEOS MANICHAEORUM QUI ET PAULICIANI DICUNTUR BULGARIAE ARCHIEPISCOPO NUNCUPATA

1. De Paulicianis in Bulgariam missis

I. *Εἰ καὶ χρησίμως ἡ ἀγροικία τῇ σιωπῇ συγκαλύπτεται, ἀλλ᾿ ἀναγκαῖόν ἐστι μὴ μακρᾷ σιωπῇ παραδοῦναι τὰ σιωπῆς οὐκ ἄξια. Κύριος γὰρ σοφοῖ τυφλούς, καὶ τῶν ἐκ πίστεως προερχομένων ἁπλῶν ῥημάτων μᾶλλον προσίεται τὰ ψελλίσματα, ἢ τῶν ῥητόρων τὰς ἐκ τῶν λόγων ἄρκυς διελιττομένας καθάπερ λαβύρινθον. Τοιγαροῦν κἀγὼ εἰ καὶ ἰδιώτης τῷ λόγῳ τὴν ἁγίαν Τριάδα τὸν μόνον ἀληθινὸν Θεὸν ἡμῶν ἐπικαλεσάμενος, τὸν ἐπὶ πάντων καὶ διὰ πάντων καὶ ἐν πᾶσι δοξαζόμενον, καὶ πληροῦντα πᾶν στόμα δι᾿ αὐτὸν ἀνοιγόμενον, καὶ τὰς ὑμετέρας εὐχὰς συμμάχους αἰτούμενος λήψεσθαι ὡς ἀρχιποίμην τῆς νεολέκτου ἱερᾶς καὶ τιμίας τοῦ Κυρίου ποίμνης, σὺν πᾶσι τοῖς περὶ σὲ θείοις ποιμέσι, καὶ παντὶ τῷ τῆς ᾿Εκκλησίας πληρώματι, συνεῖδον καθεξῆς γράψαι ὑμῖν περὶ τῆς τῶν Μανιχαίων τῶν καὶ Παυλικιάνων λεγομένων μυσαρᾶς αἱρέσεως, ὅθεν τε καὶ ὅπως καὶ διὰ τίνων ἐπὶ ταύτην ἤλασε μανιωδῶς τὴν ἀποστασίαν· οὐ γὰρ ἄλλοι οὗτοι, καὶ ἄλλοι ἐκεῖνοι, ἀλλ᾿ οἱ αὐτοὶ Παυλικιάνοι καὶ Μανιχαῖοι ὑπάρχουσιν, τοῖς τῶν προηγησαμένων αἱρέσεσι τὰς ἐξευρεθείσας αὐτοῖς μυσαρὰς αἱρέσεις ἐπισυνάψαντες, καὶ ἓν ἀπωλείας βάραθρον ἐπορύξαντες· εἰ γὰρ καὶ τῶν αἰσχρουργιῶν αὐτῶν εἰσιν, ὡς αὐτοί φασιν ἀμέτοχοι, ἀλλὰ τῶν αἱρέσεων αὐτῶν ἀκριβεῖς εἰσι φύλακες.*

II. *᾿Αναγκαίως δὲ τοῦτο πεποίηκα, ἐπειδὴ δουλείας τινὸς βασιλικῆς ἕνεκεν ἐκεῖσε παραγενόμενος ἐν ἀρχῇ τῆς αὐτοκρατορίας Βασι-*

ПЕТЪР СИЦИЛИЙСКИ

ПОЛЕЗНА ИСТОРИЯ И ОПРОВЕРЖЕНИЕ НА ЕРЕСТА НА МАНИХЕИТЕ, КОИТО СЕ НАРИЧАТ И ПАВЛИКЯНИ, ПОСВЕТЕНА НА АРХИЕПИСКОПА НА БЪЛГАРИЯ[1]

1. Павликяни, изпращани в България

I. Макар и да е полезно невежеството да се покрива с мълчание, необходимо е обаче да не се покриват с голямо мълчание ония неща, които не трябва да се премълчават. Защото господ отвързва очите на слепите[2] и предпочита брътвежите от прости слова, които идват с вяра, пред речите на ораторите, които плетат от слова мрежи като лабиринт. И аз прочее, макар и неопитен в словото, призовавайки светата Троица и единствения истинен наш бог, който се слави над всички и от всички и във всички неща и изпълва всяка уста, отворена за него,[3] и като моля да имам за съюзници вашите молитви като на архипастир на новосъбраното свещено и честно господне стадо и на всички божествени пастири около тебе и на целокупната църква, реших да ви пиша поред за гнъсната ерес на тъй наречените манихеи и павликяни, откъде и как и по какви причини тя стигна безумно до такова отстъпничество. Защото едните не се различават от другите, а самите павликяни са и манихеи, като свързват изнамерените от тях гнъсни ереси с ересите на преждеспоменатите и изкопават гибелна пропаст.[4] Защото, ако и да са, както самите те казват, непричастни в техните позорни дела, все пак те са грижливи пазители на ересите им.

II. Аз извърших това по необходимост, след като пристигнах тук по една императорска служба в началото на царуването на нашия велик богоизбран импера-

[1] Авторът не дава за съжаление по-подробни сведения за това лице. Тъй като съчинението е писано или поне завършено през 872 г. (вж. за това *H. Grégoire,* Sur l'histoire des Pauliciens, Bull. de Classe des Lettres et des Sciences morales et politiques de l'Académie royale de Belgique, XXII (1936), p. 224. — M. *Loos,* Du contributions), би могло да се предположи, че този духовен водач на българите е архиепископ Йосиф, който бил доведен в България след 865 г. — *Ив. Снегаров,* Неизвестен досега препис от разказа „Чудо с българина Георги", ИИБИ, кн. 3 — 4 (1951), стр. 295 — 296, съобщава името Стефан. [2] Вж. Пс. CXLV, 8. [3] Вж. Пс. LXXX, 11. [4] Павликянството било социално движение под формата на ерес. В догматиката си то възприело главно дуалистичната основа на манихейството — две сили, двама създатели на видимия и на невидимия свят, на злото и на доброто, — но се придържало и към някои догми на християнството, отхвърляйки обаче богослужението на православната църква и църковната йерархия. Ст. Т. Мелик-Бахшян, Павликянское движение в Армении, Ереван 1955, стр. 240 — 265. — *Е. Э. Липшиц,* Павликянское движение и Византия в VIII и первой половине IX вв., стр. 64 — 66.

λείου τοῦ ἐκ Θεοῦ προκεχειρισμένου μεγάλου βασιλέως ἡμῶν, τοῦ πᾶσι τοῖς θείοις χαρίσμασιν ὑπερφυῶς κεκοσμημένου, τοῦ εὐσεβῶς καὶ θεοφιλῶς τὰ τῆς Ῥωμαϊκῆς, ταὐτὸν δ' εἰπεῖν καὶ Χριστιανικωτάτης, ἀρχῆς τὰ σκῆπτρα διέποντος· ἀλλὰ καὶ εἰς πολλὰς ἐτῶν περιόδους διέποντος ἅμα τοῖς ἁγίοις αὐτοῦ υἱέσιν καὶ θεοστέπτοις βασιλεῦσιν ἡμῶν, ὧν ἀνεπίληστος καὶ ἄληκτος καὶ αἰωνία ἡ μνήμη καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι διαφυλαχθείη, εὐχαῖς καὶ πρεσβείαις τῆς ὑπεραγίας Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, καὶ πάντων τῶν ἁγίων. Ἡ δὲ δουλεία ἡμῶν, αἰχμαλώτων ἦν ὑπαλλαγή, ἥτις καὶ καλῶς γεγένηται ἐν τῇ ζωῇ καὶ χαρᾷ τῆς ἁγίας βασιλείας αὐτῶν. Χρονοτριβήσας τοίνυν ἐν τῇ αὐτῇ δουλείᾳ πρὸς τοὺς Παυλικιάνους ἐν Τιβρικῇ, καὶ πολλάκις αὐτοῖς διαλεχθείς, οὐ μὴν ἀλλὰ καὶ παρὰ πολλῶν ὀρθοδόξων ἐκεῖσε κατοικούντων ἀκριβέστερον τὰ περὶ αὐτῶν μαθών· πάλιν δὲ καὶ τῶν ἀσεβῶν ἐκείνων ἀκούσας φληναφούντων ὡς μέλλουσιν ἐξ αὐτῶν ἐκείνων ἀποστέλλειν ἐν τοῖς τόποις Βουλγαρίας τοῦ ἀποστῆσαί τινας τῆς ὀρθοδόξου πίστεως καὶ πρὸς τὴν οἰκείαν καὶ μεμιαμμένην αἵρεσιν ἐπισπάσασθαι, τῇ ἀρχῇ τοῦ θείου κηρύγματος θαῤῥοῦντες, καὶ οἰόμενοι ὡς εὐκόλως δυνήσονται τῷ ἀδόλῳ καὶ ἀληθινῷ σίτῳ τὰ οἰκεῖα σπεῖροι ζιζάνια. εἰώθασι γὰρ τοῦτο πολλάκις ποιεῖν οἱ ἀνόσιοι καὶ πολλοὺς κόπους καὶ κινδύνους προθύμως, ἀναδέχεσθαι πρὸς τὸ μεταδιδόναι τῆς οἰκείας λοίμης τοῖς παρατυγχάνουσι, διὰ τοῦτο ἦλθον ἐγὼ ἐπὶ ταύτην τὴν ὑπόθεσιν· κἀγὼ μὲν ὁ εὐτελὴς καὶ πάσης ἀρετῆς ἀμέτοχος, τὰ γνωρισθέντα μοι πεπονημένως τῆς τῶν πολλῶν ἀσφαλείας ἕνεκεν, ὑμῖν τοῖς δοκίμοις τραπεζίταις προστίθημι. Αὐτός, ὦ θεία καὶ ἱερὰ κεφαλή, τὸ ἀκαλλὲς τῶν λέξεων παραδραμών, δέχοις τὴν πρόθεσιν ἡμῶν, μὴ τὰ πρὸς ἀξίαν ἐπιζητῶν· οὐδαμῶς γὰρ εὑρήσεις ἐν ἡμῖν ἀρετῆς ἴχνος, οὐδὲ καλλονὴν λόγου, καθὼς γνώσῃ ἐν τοῖς ὑποτεταγμένοις.

тор Василий,[1] който е извънредно много украсен с всички божествени благодати и благочестиво и боголюбиво държи скиптъра на ромейската, т. е. на най-християнската държава, а и дълги години ще го държи заедно със светите си синове, боговенчаните наши императори, на които да се пази безупречна и постоянна и вечна паметта и в сегашния век, и в бъдеще с молитвите и застъпничеството на пресветата наша владичица и приснодева Мария и на всички светии. Нашата служба беше за размяна на пленници; тя бе извършена добре за живот и радост на светото им царство. Прочее прекарах известно време за тази служба при павликяните в Тефрика, разговарях много пъти с тях, а при това научих по-точно за тях и от много православни, които живеят там. А освен това чух от ония безбожни безумствуващи, че щели да се изпратят някои от тях в земите на България,[2] за да откъснат някои люде от православната вяра и да ги привлекат към своята нечестива ерес, уповавайки се на началото на божествената проповед и мислейки, че лесно ще могат да посеят своя плевел сред чистото и истинско жито. Защото нечестните имат навик често да правят това и драговолно да понасят много мъки и опасности, за да предадат своята зараза на ония, които срещнат. Поради това дойдох до това решение. И аз, макар и незначителен човек и необладаващ никоя добродетел, ще предам на вас, благородните сарафи, заради сигурността на мнозинството това, което съм научил с много труд. А ти, божествени и свети човече, без да обръщаш внимание на неугледните наши речи, приеми нашия дар, като не търсиш дали е по достойнство. Защото не ще намериш у нас никаква следа от съвършенство, нито красива реч, както ще разбереш от следващото.

---

[1] Петър Сицилийски отишъл като пратеник на император Василий I (869) в Тефрика, дн Divrik, Divrighi, на р. Чалта-Чай, горен приток на р. Ефрат, в промеждутъка между двете войни с арабите в 867 и 871—872 г., за да преговаря с арменските павликяни за размяна на пленници, както сам той съобщава по-долу. Вж. за събитията *A. Vassiliev*, Byzance et les Arabes, III, Bruxelles 1934, p. 60. — *Obolensky*, The Bogomils, p. 29. [2] За разпространението на павликянството в нашите земи в края на VIII в. дават сведения Теофан и Никифор, именно че в 752 г. по времето на Константин V в Тракия били преселени сирийци и арменци, които разпространили там павликянството Вж. *Theophanis* Chronographia, p. 429. — *Nicephori* archiepiscopi Constantinopolitani Opuscula historica, ed. de Boor, p. 66.

Τῷ προέδρῳ Βουλγαρίας Πέτρου

Πρόλογος

III. *Φωτὸς παρουσία λύει σκότος· καὶ ποιμένων ἐπιστασία ἀπελαύνει κλεπτῶν καὶ θηρίων συστήματα. Ποιμὴν λογικῶν ἀληθὴς ἐκεῖνός ἐστιν ὁ τοῦ ἀληθινοῦ ποιμένος ἀκόλουθος· ὁ τὴν ἰδίαν ὥσπερ ἐκεῖνος τιθεὶς ψυχὴν ὑπὲρ τῶν προβάτων αὐτοῦ· οὗ ἡ δικαιοσύνη ὡς φῶς ἐκπορεύεται· ὁ μεμεριμνημένῃ ψυχῇ, πάσῃ μηχανῇ ταῖς τοῦ διαβόλου κακίαις εὐστόχως ἀντιτεχνώμενος. Εἰ γὰρ καὶ πολλὰ τὰ ἔνεδρα τοῦ δολίου, ἀλλ' οὐκ ἀγνοεῖν τὰ νοήματα αὐτοῦ παρὰ τῆς θείας Γραφῆς ἐξεπαιδεύθημεν, ὡς δὲ ἱστὸν ἀράχνου τὰς αὐτοῦ ἡγεῖσθαι παγίδας, τῇ βοηθείᾳ τῆς ζωαρχικῆς καὶ πανυμνήτου Τριάδος τοῦ μόνου Θεοῦ ποιητοῦ τοῦ οὐρανοῦ καὶ τῆς γῆς, πάσης τε ἀοράτου καὶ ὁρατῆς κτίσεως συνοχέως τε καὶ ἐξουσιαστοῦ νενομοθετήμεθα· προσέχειν δ' ἄξιον, καὶ μὴ παρέργως τῶν ῥηθησομένων ἀκούειν. Γενήσεται γὰρ τοῖς μὲν τελεωτέροις τὴν ἕξιν προσθήκη νικητικὴ τῆς κατὰ τοῦ διαβόλου πάλης καὶ μάχης, ἐν τῷ τοῖς ἐναντίοις συμπλέκεσθαι δόγμασιν, καὶ ταῦτα ἐν τῷ ἐκκλησιαστικῷ τῶν θείων δογμάτων πελάγει ποιεῖν ὑποβρύχια· τοῖς δ' ἁπλουστέροις ἔτι καὶ γαλαποτιζομένοις, ἀποστολικῶς εἰπεῖν, ὡς νηπίοις ἀσφαλὴς ἕδρα τὸ μὴ περιπίπτειν, ὡς καλοῖς τοῖς χείροσιν. Ἀρίστη γὰρ αὕτη μηχανὴ τοῖς ἁπλουστέροις τὸ τοὺς μιαροὺς ἐκείνους ἀποτρέπεσθαι μὲν καὶ βδελύττεσθαι· μὴ πειρᾶσθαι δὲ ταῖς αὐτῶν πεύσεσιν ἀνταποκρίνεσθαι· ἀλλ' ἐν τῷ πυνθάνεσθαι αὐτούς, σιγᾶν καὶ φεύγειν εἰ δυνατὸν ἐξ αὐτῶν τὸν ἰδιώτην ἀκροατὴν ὡς ἐξ ὄφεως· οὐδὲν γὰρ ὠφελεῖ ὁ τοιοῦτος πρὸς αὐτοὺς διαλεγόμενος· διὰ τοῦτο γὰρ τοῖς ἰδιώταις προσδιαλέγονται, ὥστε τὰ ἅγια τοῖς ἑαυτῶν συμπατεῖν ποσί, καὶ διασπαράττειν τὰ οὐράνια θεοπρεπῆ δόγματα, μὴ ὄντος τοῦ ἐμφρόνως ἀντιμαχομένου αὐτοῖς· πῶς γὰρ ὅλως ἀνθρώπων ἀκούσουσιν, οἱ τὸν μόνον θεὸν κατὰ πᾶσαν ἡμέραν τε καὶ ὥραν μυρίαις ὕβρεσι καὶ ὀνειδισμοῖς καὶ ἀραῖς περιβάλλοντες; ἄριστον οὖν ἐστι τὸ διαγινώσκειν αὐτοὺς τὸν ἰδιώτην· εἰς λόγους δὲ αὐτῶν μὴ ἔρχεσθαι, μήποτε καὶ κινδυνεύσωσιν οἱ ἀπείρως πρὸς αὐτοὺς διαλε-*

От Петър до предстоятеля на България

Предисловие

III. Наличието на светлина разпръсва мрака. Грижата на овчарите прогонва тълпите от крадци и [глутниците] от зверове. Истински пастир на разума е подражателят на добрия пастир, който като него залага душата си за своите овце.[1] Неговата справедливост се разпространява като светлина, той непогрешно се противопоставя със загрижена душа и с всякакво средство на злините на дявола. Защото, макар и многобройни да са козните на лукавия, то ние сме научени да познаваме кроежите му от свещеното писание примките му трябва да смятаме като паяжина с помощта на животворящата и всепрославена Троица, на едничкия бог, творец на небето и на земята, обединител и повелител на всяко видимо и невидимо творение. Прочее достойно е да обърнем мислите си и с внимание да слушаме това, което ще се каже. Защото тези, които са по-силни, ще дадат победна помощ в борбата и сражението срещу дявола в стълкновението с противните догми, та да ги потопят в църковното море на божествените догми. А на по-простите още и на сучещите мляко,[2] за да се изразя по апостолски, [да се даде] сигурна подкрепа като на младенци, та да не попаднат като добри под лошите. Защото този похват е най-добър за по-простите: да се отвръщат и отвращават от нечестивите; да не се опитват да отговарят на техните въпроси. Напротив, когато тези разпитват, обикновеният слушател, ако е възможно, да мълчи и да бяга от тях като от змия. Защото няма никаква полза, ако такъв разговаря с тях. Те затова влизат в разговор с обикновените хора, та да тъпчат светините с крака[3] и да разкъсват небесните и богодостойни догми, ако наистина някой разумно не им се противопостави. Защото как изобщо ще се вслушат в хора те, които обсипват единия бог всеки ден и час с хиляди хули и обиди и проклятия. Прочее найдобре е обикновеният човек да ги разпознава, да не влиза в разговор с тях, та да не се излагат на опасност тези, които

[1] Вж. Йоан X, 11. [2] Вж. I Кор. III, 2; I Петр. 2,2 — Мат. VII, 6. [3] Вж. Мат. VII, 6.

γόμενοι· χαλεπὸν γὰρ τὸ μὴ συναρπασθῆναι ὑπ' αὐτῶν τοὺς ἁπλουστέρους· διότι πάντα τὰ τοῦ Εὐαγγελίου καὶ τοῦ Ἀποστόλου λόγια διαλέγονται· καὶ μόνοι διαγινώσκουσι τὸν δόλον αὐτῶν, οἱ ἐν πολλῇ τριβῇ τῆς θείας Γραφῆς ὑπάρχοντες.

IV. *Ἐκεῖνοι γὰρ οἱ μιαροί, ὅτε τινὶ ἐξ ἀρχῆς διαλέγονται, χρηστὸν σχηματίζονται ἔχειν τὸ ἦθος, καὶ πάντα τὰ παρὰ τοῖς ὀρθοδόξοις Χριστιανοῖς δόγματα ἐπικυροῦσι δολίως καὶ ἀναφωνοῦσιν· ἀλληγοροῦντες ἀθέσμως καὶ λίαν ἀμαθῶς τὴν ἁγίαν Τριάδα Θε.ν ὁμολογεῖν λέγουσι. καὶ ἀναθεματίζουσι τοὺς μὴ ὁμολογοῦντας αὐτήν· τον Κύριον ἡμῶν καὶ Θεὸν ἡμῶν ἐνανθρωπῆσαι ἐν παρθένῳ λέγουσιν, εἰ καὶ ἀσεβῶς καὶ ἀθέως. καὶ ἀναθεματίζουσι τοὺς μὴ οὕτως ὁμολογοῦντας· καὶ πάντα τὰ τῆς ἐνανθρωπήσεως τοῦ Κυρίου ἰδιώματα, ἄλλως μὲν τῷ στόματι, ἄλλως δὲ τῇ καρδίᾳ λέγοντες, Μάνεντα καὶ τοὺς σὺν αὐτῷ μιαροὺς αἱρετικούς, ἔτι δὲ καὶ Παῦλον τὸν Σαμοσατέα, ἀναθεματίζουσι προθύμως· ἄλλους γὰρ ἔσχον πολὺ χείρους αὐτῶν τῆς κακίας διδασκάλους καὶ ἀρχηγέτας ὑπάρξοντας, καθὼς μετὰ μικρὸν δηλωθήσεται· καὶ ἁπλῶς δίκην πολύποδος ἢ χαμαιλέοντος τῷ καιρῷ καὶ τῷ τρόπῳ καὶ τῷ προσώπῳ συμμεταβάλλονται, ὅπως τινὰ τῶν κουφοτέρων θηρεύσωσι· καὶ ὅτε γνῶσιν αὐτὸν προσέχοντα ταῖς ματαιολογίαις αὐτῶν, τότε μικρὸν παρεκφαίνουσιν αὐτῷ καὶ τὰ παρ' αὐτοῖς μυστήρια. Διὰ τοῦτο χρησίμη καὶ ἡ τῶν βλαβερῶν διάγνωσις, οὐχ ἧττον τῶν ὑγιεινῶν. Διαγνωστέον γὰρ ταῦτα, οὐχ ὥστε χρᾶσθαι αὐτοῖς, ἀλλ' ὥστε διαφεύγειν τὸν δι' αὐτῶν προσγινόμενον ὄλεθρον·* (col. 1240 B—1245 B)

неопитно разговарят с тях. Наистина трудно е по-простите да не бъдат увлечени от тях, защото те мълвят всички слова от евангелието и от апостола. И само ония, които много се занимават с божественото писание, разбират хитростта им.

IV. Прочее ония нечестивци, когато разговарят отначало с някого, се преструват, че имат добър нрав, и коварно одобряват и високо утвърждават всички православни християнски догми. Твърдят незаконно и твърде невежествено, че изповядват бог — светата Троица алегорично, и отправят проклятия към ония, които не я изповядват. Казват, ако и неблагочестиво и безбожно, че нашият господ и бог се въплътил в дева,[1] и анатемосват ония, които не изповядват това. Те говорят по един начин с уста, а по друг начин със сърцето си за всичко, отнасящо се до въплъщението на господа, и охотно анатемосват Манес[2] и другите с него нечестиви еретици, както и Павел Самосатски.[3] Защото те са имали и други учители в злостното си учение и водачи, много по-лоши от тях, както ще се изясни след малко. И просто като мекотело или хамелеон си менят според момента, положението или лицето, та да хванат някого от по-лековерните. И когато намерят, че той стои близко до техните пустословия, тогава те малко по малко се разкриват пред него заедно със своите тайнства. Поради това не по-малко полезно е да се разпознават вредните неща от добрите. Защото тези работи трябва да се разпознават не за да си служим с тях, а за да се избегне гибелта, която произтича от тях.

2. De Manichaeorum haereseos propagatione

XXIV. — — — *Οὗτος τοίνυν ὁ Κωνσταντῖνος, ὁ καὶ Σιλουανός, τὴν Μανάναλιν καταλείψας, ἐλθὼν κατῴκησεν εἰς Κίβοσσαν τὸ κάστρον, πλησίον Κολωνείας, λέγων ἑαυτὸν εἶναι τὸν ἐν ταῖς ἐπιστολαῖς τοῦ Ἀποστόλου ἐμφερόμενον Σιλουανόν· ὃν ἀπέστειλεν ὡς πιστὸν μαθητὴν Παῦλος εἰς Μακεδονίαν. Ἐπεδείκνυε*

2. Разпространение на павликянското учение

XXIV. Прочее този Константин, наречен и Силван,[4] като напуснал Мананалис,[5] дошъл да живее в крепостта Кивоса, близо до Колония, казвайки, че той е Силван, споменаван в посланията на апостола. Павел го бил изпратил в Македония като свой верен ученик. Той показвал на

[1] Според павликянското учение Христос само привидно се бил родил от дева Мария. Вж. у *Migne*, PGr., CIV, col 1256. Срв. *Д. Ангелов*, Влиянието на чужди ереси върху богомилството, стр. 146 — 147. [2] Кубрик, или Манес, живял в III в. в Месопотамия. Той бил един от основателите на манихейската ерес, на която оставил и името си. [3] Павел от Самосата (провинция на западния бряг на Ефрат) бил епископ на Антиохия в III в. и основател на секта, която според някои автори има известно сходство с павликянството. Вж. обаче *Obolensky*, op. cit., pp. 56 — 57. [4] Този Константин, преименуван Силван, бил началник на павликянската църква в Кивоса, в темата Колония, от 660 до 687 г. и загинал по време на гоненията срещу павликяните. [5] Мананалис се намирала на източния бряг на Ефрат. Там била основана една павликянска църква от Гегнезий, преименуван Тимотей.

δὲ τοῖς μαθηταῖς αὐτοῦ καὶ τὴν τοῦ Ἀποστόλου βίβλον ἥνπερ εἴληφεν παρὰ τοῦ προμνημονευθέντος διακόνου τοῦ αἰχμαλώτου, λέγων· Ὑμεῖς ἐστε οἱ Μακεδόνες, ἐγὼ δέ εἰμι Σιλουανὸς ὁ ὑπὸ Παύλου ὑμῖν ἀποσταλείς. Καὶ τοῦτο δὲ μετὰ χρόνους ἑξακοσίους τῆς μαρτυρίας Παύλου, ἀναφανεὶς ἔλεγεν, ὡς γὰρ προείρηται ἐπὶ Κωνσταντίνου τοῦ ἔγγονος Ἡρακλείου. — — —

XXXVIII. — — — *Καὶ πάλιν φησίν· Ἔτι δὲ λέγω, τὴν ἐν Κορίνθῳ Ἐκκλησίαν ᾠκοδόμησε Παῦλος· τὴν δὲ Μακεδονίαν, Σιλουανὸς καὶ Τῖτος· λέγει δὲ Μακεδονίαν, τὸ συνέδριον τὸ εἰς Κίβοσσαν* — — — *Τὴν τῶν Φιλιππησίων ἐκκλησίαν ἐλειτούργησεν Ἐπαφρόδιτος· λέγει δὲ τὸν ἐκ πορνείας Ἰωσὴφ τὸν αἰπόλον, τὸν ὄντως ἀφρόνητον· καὶ Φιλιππησίους ὀνομάζει τοὺς μαθητὰς αὐτοῦ.* — — —

XXXIX. *Φράσον δέ μοι, συκοφάντα, τῆς ἀληθείας κατήγορε· Παῦλος ὁ ἀπόστολος ἀπὸ Ἱεροσολύμων μέχρι τοῦ Ἰλλυρικοῦ καὶ τὰ περὶ κύκλῳ διδάξας, πῶς μόνην τὴν τῶν Κορινθίων Ἐκκλησίαν ᾠκοδόμησεν;* — — — (col. 1277 D — 1280 A; 1297 ABC)

учениците си и книгата на апостола, която бил взел от преждеспоменатия пленен дякон, казвайки: „Вие сте македонци, а аз съм Силван, който ви е изпратен от Павел.“ И това [твърдял], макар че се явил шестстотин години след свидетелствуването на Павел, т. е. както се каза, по времето на Константин, Ираклиевия внук. — — —.

XXXVIII. — — — [Сергий] казвал отново: „Аз твърдя още, че Павел изградил църквата в Коринт, а Силван и Тит[1] — църквата в Македония.“[2] Той наричал Македония църквата в Кивоса. — — „А Епафродит обслужваше църквата на филипийците.“ Той наричал така незаконнородения козар Йосиф, който наистина бил Афронит, а филипийци наричал учениците му.[3] — — —

XXXIX. Кажи ми, клеветнико, обвинителю на истината[4], как може апостол Павел, който е просветил всички земи от Ерусалим до Илирик, да е основал само църквата на коринтяните? — — —

---

[1] Симеон, началникът на войската, изпратена от Константин IV срещу павликяните, сам минал на тяхна страна и станал заместник на Силван, като приел името Тит — име, което било носено от друг ученик на апостол Павел. [2] Първата павликянска църква била наречена „Македония“, понеже павликяните, които се смятали за последователи на апостол Павел, тълкували по своеобразен начин израза: *ἐκεῖθεν τε εἰς Φιλίππους, ἥτις ἐστὶ πρώτη τῆς μερίδος τῆς Μακεδονίας πόλις κολωνία* (Деяния, XVI, 2). Те смятали, че тук „колония“ е име на град и свързвали това име с името на града Колония в Понта. Вж. *Grégoire*, op. cit., pp. 102 — 103. [3] Тази „църква във Филипи“ с неизвестно местонахождение била основана от въпросния Йосиф, преименуван Епафродит по името на един ученик на апостол Павел, който проповядвал във Филипи. Тук авторът прави игра на думи, слагайки му прякора „Афронит“, който буквално значи „безумец“. [4] Авторът се обръща реторично към споменатия по-горе Сергий, един от разпространителите на павликянството.

XII. СЪБОРНИ АКТОВЕ

Дадените тук откъси са част от протоколите на Осмия вселенски събор (869—870) и т. нар. „лъжлив събор" на патриарх Фотий (879). Особено важни са данните около покръстването на българския народ. Ярко проличава острата борба между Цариградската и Римската църква за подчинение на България под църковната юрисдикция на цариградския патриарх или римския папа. Твърде интересни са и сведенията за християнизирането на българския народ преди официалното му покръстване.

ИЗДАНИЯ: *D. Mansi,* Sacrorum conciliorum nova et amplissima collectio, t. XIV, XVI, XVIIA — XVIIIA.

КНИЖНИНА: *K. J. Héfélé,* Histoire des Conciles, IV, Paris 1911, pp. 481 — 520. — *В. Златарски,* История, I, 2, стр. 152—201 — *Gy. Moravcsik,* Die Namenliste der Bulgarischen Gesandten am Konzil vom J. 869—870, ИИД, XIII (1933), стр. 8—23. — *Moravcsik,* Byzantinoturcica, I, p. 204.

ACTA CONCILIORUM

1. Ex libello synodico

Τελευτήσαντος οὖν ἐν πολέμῳ Βουλγάρων Νικηφόρου, τὴν βασιλείαν ὁ υἱὸς αὐτοῦ Σταυράκιος διεδέξατο. (XIV, col. 17 A)

μένην τοῖς θείοις ἱεροῖς σεβασμιότητα, καὶ τὴν τῶν ἐν αὐτοῖς προσφευγόντων ἀσυλίαν, ἐκίνησεν ἡμᾶς. Καὶ τί γὰρ ἄλλο ἔδει ποιεῖν λειτουργοὺς ὄντας, εἰ καὶ ἀναξίους, τοῦ ἁγίου θυσιαστηρίου, εἰς τὸ μηδὲ τὴν ἀρχὴν συγχωρῆσαι τοῖς βουλομένοις αὐτὸν ἕλκειν; Τοῦτο παριδεῖν ἐκτελέσαι, καίτοι χαλεπαινόντων, καὶ σκληρῶς ἡμῖν διὰ τὴν σὴν χάριν προσφερομένων, ὅμως ἐπαγγελλομένων καὶ πᾶσι τρόποις βεβαιούντων ἡμᾶς, ὡς οὐδὲν δεινὸν ἀπεργάσῃ, τέκνον ἡμῶν, ἀλλὰ συγγνώμης ἀξιωθήσεται παρὰ σοί, καὶ τῆς ἐπὶ τῷ πταίσματι συγχωρήσεως, ἐξηγάγομεν αὐτὸν τοῦ ναοῦ καὶ ἀπεστείλαμεν Θεὸν ἐπιμαρτυρόμενοι καὶ τὸ πανάγιον αὐτοῦ ἱλαστήριον καὶ κατὰ τὸν παρόντα αἰῶνα καὶ κατὰ τὸν μέλλοντα, μὴ περιιδεῖν αὐτὸν ἀνεκδίκητον, εἴ τι λυπηρὸν αὐτῷ καὶ δυσχερές, ὅπερ μὴ γένοιτό σε, τέκνον ἡμῶν, διαπράξασθαι, ἀπαντήσει. Μὴ νόμιζε οὖν τοῦτον ἐκ χειρὸς λαμβάνειν τῶν πρὸς σὲ παραγινομένων, ἀλλ' ἐμὲ λογίζου αὐτὸν παρεῖναι, ὃς τοῦτον ἐξείλκυσα τοῦ θείου ναοῦ, καὶ χειρὶ τῇ ἐμῇ τῇ σῇ παραδιδόναι χειρί. Σκόπει δὴ ὅπως καὶ τὸ ἱερὸν τοῦ Θεοῦ τιμήσῃς, καὶ διὰ τούτου πρὸς αὐτὸν τὴν τιμὴν ἀνενέγκῃς, καὶ σεαυτῷ τὴν ἄνωθεν αὐτοῦ εὐμένειαν ἐπισπάσῃ, καὶ τὴν ἡμῶν ταπεινότητα διὰ τῆς πρὸς τὸν ἄνθρωπον συμπαθείας ἕξῃς ὑπερευχομένην σοι τὰ ἀγαθὰ καὶ σωτήρια, ἀλλὰ μὴ καταβοῶσαν ἀντὶ τῆς εἰς τὸν θεῖον ναὸν ὕβρεως, εἴ τις, ὅπερ μὴ γένοιτο, τιμωρία καὶ κόλασις τὸν ἄνθρωπον ὑποδέξεται.

лица, и неприкосновеността[1] за ония, които прибягват в тях. Какво друго трябваше да правим ние, служителите на светия олтар, ако и недостойни, освен още в самото начало да не позволим да го извлекат онези, които искаха да сторят това? Но те пренебрегнаха да изпълнят това, като се сърдеха и се отнасяха сурово към нас заради тебе, обаче ни обещаха и по всякакъв начин ни уверяваха, че ти, чедо наше, няма да извършиш нищо лошо, а че той ще бъде удостоен да получи от тебе прошка и помилване за постъпката си. Ние го изведохме от храма и го отпратихме, като призовавахме за свидетели бога и неговия всесвет олтар, щото той да не го остави без отмъщение както в настоящия, тъй и в бъдещия живот, ако го сполети нещо печално и лошо, което, чедо наше, ти дано да не извършиш. И тъй не мисли, че ти го получаваш от ръцете на ония, които са се явили при тебе, но смятай, че съм присъствувал самият аз, който го извлякох от божествения храм, и със собствената си ръка го предавам на твоята ръка. Гледай как и храма божи да почетеш и чрез това му отдадеш почит — за самия себе си ще спечелиш свише неговото благоволение и ще направиш, щото наше смирение заради проявеното към този човек състрадание да измолва за тебе благо и спасение, а не да обвинява заради поруганието към божествения храм, ако някакво наказание и мъчение — дано това не стане — сполети този човек.

Χωρὶς δὲ τούτου ἀναμνήσθητι, τέκνον ἡμῶν, ὡς καὶ αὐτὸς ἐπὶ τοῖς οἰκείοις πταίσμασι τῆς θεϊκῆς χρηστότητος καὶ φιλανθρωπίας χρῄζεις, ἧς οὐκ ἔστιν ἐπιτυχεῖν μὴ ἀφιέντα τοῖς ὀφείλουσι τὰ ὀφειλήματα. Καλὸν οὖν ὥσπερ τινὰ καταβολὴν δοῦναι θεῷ τὸν εἰς τὸν ἄνθρωπον ἔλεον, ἵνα καὶ αὐτὸς τύχῃς τῆς θεικῆς ἐλεημοσύνης· καὶ τοῦτο δὲ ἀξιόν σε συνιδεῖν, ὅτι καὶ φιλανθρώπῳ γενομένῳ σοι, καὶ ὅπερ μὴ συγχωρήσοι θεὸς εἰς τὸ ἐναντίον τρεπομένῳ πολλαπλάσιος ἔσται ἡ τῆς φιλανθρωπίας ἢ τῆς κολάσεως ἡ ἀντίδοσις.

Освен това спомни си, чедо наше, че и ти сам се нуждаеш заради собствените си прегрешения от божията доброта и човеколюбие, които няма да се получат, ако не се прости дължимото на длъжниците. И тъй добре е да се отдаде на бога като някаква отплата милостта към този човек, та и ти сам да получиш божието милосърдие. И това трябва да съобразиш, че ако постъпиш човеколюбиво или пък — дано не позволи бог — извършиш противното, то възмездието за човеколюбието ти ще бъде многократно по-голямо, отколкото за жестокостта ти.

[1] Николай Мистик говори за т. нар. азилно право (право на прибежище), според което потърсилите убежище в храма „Св. София" в Цариград били неприкосновени. Обаче това право неведнаж е било нарушавано, а бегълците, обикновено роби или политически престъпници, бивали наказвани. За азилното право вж. *Bréhier*, op. cit., pp. 241—243. — *Z. von Lingenthal*, Geschichte des griechisch-römischen Rechts, Aalen in Würtenberg, 1955, p. 326.

Οὐ γὰρ ἁπλοῦν, ὡς ὁρᾷς, πραχθήσεταί σοι τὸ ἁμάρτημα· ὅ τε γὰρ ναὸς ὑβρίζεται τοῦ θεοῦ, καὶ ὁ τούτου ἀρχιερεύς, εἰ καὶ ἐλάχιστος, καὶ δόγματα κατασφαλιζόμενα τὴν ἀσυλίαν τοῖς εἰς τὸ μέγα τοῦτο καταφύγιον καταφεύγουσιν. Ἀλλὰ ταῦτα μὲν τὰ ἐκ τῆς τοῦ λόγου παραινέσεως ἡμῖν προσείρηται· ὑπόλοιπον δὲ καὶ ἔτι δεσμῷ τοῦ ἁγίου Πνεύματος τὰ εἰρημένα ἐπὶ πλέον ὀχυρῶσαι, καὶ σέ, τέκνον ἡμῶν, εἰς τὸ μὴ ἀνάξιόν τι παθεῖν τῆς σῆς μεγαλοτίμου ἀρετῆς, μηδὲ ἐξαμαρτεῖν διασφαλίσασθαι· καὶ λοιπὸν ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, παρ᾽ οὗ ἡμῖν τοῖς ταπεινοῖς ἐξουσία δέδοται δεσμεῖν ἐπὶ σωτηρίᾳ ψυχῆς τοὺς ἐν χρείᾳ τοῦ δεσμοῦ καθισταμένους, ἀπαγορεύομέν σοι μηδὲ μίαν κόλασιν ἢ τιμωρίαν ἐπαγαγεῖν τῷ ἐκ τοῦ ἱεροῦ οἴκου τοῦ θεοῦ ληφθέντι, μηδ᾽ εἰς πεῖράν τινος κακώσεως αὐτὸν καταστῆσαι, ἀλλ᾽ οἰκτιρμῶν ἀξιῶσαι καὶ συγγνώμης, ὡς ἂν καὶ αὐτὸς εὕροις ἐπὶ ταῖς ἐξαιτήσεσι πειθόμενον τὸν πάντων ἄρχοντα καὶ Δεσπότην, ἀλλὰ μὴ ὀργιζόμενον, καὶ προτείνοντά σοι τοὺς λόγους ἐκείνους, οὓς ὁ τῶν πολλῶν ὀφλημάτων τῆς λύσεως οἰκέτης ἀξιωθεὶς ἐπείπερ τῷ πλησίον ὤφθη ἀσυμπαθής, σὺν ἀπειλῇ ἀποφηναμένου τοῦ δεσπότου διήκουσεν. (III, col. 40 B—43 A)

Както виждаш, от тебе ще бъде извършен не някакъв прост грях: защото охулва се храмът божи и неговият архиерей, ако и най-нищожен, както и правилата, които обезпечават неприкосновеност за ония, които прибягват в това велико убежище. Но това ти казваме като наставление; остава още с печата на светия дух да закрепим по-яко казаното, а тебе, чедо мое, да предпазим, за да не претърпиш нещо недостойно за твоята високочтима добродетел, нито да извършиш грях. Прочее „в името на отца и сина и светия дух", от когото ние, смирените, сме получили власт да обвързваме за спасение на душите ония, които се нуждаят от обвързване, забраняваме ти да налагаш каквото и да било мъчение или наказание на изведения от храма божи и нито пък да го подлагаш на някакво зло изпитание, но да го удостоиш със съжаление и прошка, та и ти чрез молитвите си да спечелиш милостта на вседържителя и господа, а не гнева му и ония [укорителни] думи, които освободеният от много дългове роб, понеже се е показал несъстрадателен към ближния си, е чул заедно със заплахата от господаря.

2. *Ad archiepiscopum Bulgariae*

Τῷ τιμιωτάτῳ θεοφιλεστάτῳ συλλειτουργῷ καὶ τέκνῳ ἡμῶν ἀρχιεπισκόπῳ Βουλγαρίας

До препочтения боголюбим съслужител и чедо наше, архиепископа на България

Καὶ ἄλλως ἡμῖν ἐπιθυμητῆς ὑπαρχούσης τῆς πρὸς τὴν σὴν ὁσιότητα διὰ τοῦ γράφειν συνομιλίας, νῦν ἐπειδὴ καὶ πράγματος ἀναγκαίου ὑπόθεσις προελθοῦσα πρὸς τὸ γράφειν ἐκίνησεν, ἅμα μὲν καὶ τὴν ἐπιθυμίαν παρηγοροῦντες, καὶ τῷ ἀναγκαίῳ τοῦ πράγματος συγκινούμενοι, τὸ παρόν σοι γράμμα διαχαράττομεν. Ἀλλ᾽ ἐκεῖνο προλαβεῖν δεήσει περὶ τῆς κατὰ μέρος τοῦ πράγματος διηγήσεως, ὅτι, καταξιωθέντες τῷ ἁγίῳ θυσιαστηρίῳ παρίστασθαι καὶ μεσιτεύειν ὑπὲρ ἀνθρώπων ἐν γῇ στρεφόμενοι πρὸς τὸν ἐν οὐρανοῖς Δεσπότην κατασταθέντες, ὢ τῆς φρικτῆς καὶ ὑπὲρ λόγον δωρεᾶς καὶ φιλοτιμίας, ὀφείλομεν συντόνῳ λογισμῷ τὴν τάξιν, ἐφ᾽ ἣν κατέστημεν ἐννοεῖν. Καὶ ἐπεὶ τὰ πρὸς θεὸν ἁμαρτανόμενα τοῖς ἀνθρώποις παραιτούμεθα, πολλῷ πλέον τὰ εἰς ἀλλήλους πταίσματα τῶν ἀνθρώπων διαλύειν σπουδάζειν, καὶ τὰς πολλάκις ἐπαγομένας παρὰ τῶν ὑπερεχόντων

И без това имахме желание да влезем в общение с твоята светост чрез писма. Сега, понеже се яви и една належаща работа, възникна повод да ти пишем. Едновременно, като задоволяваме и своето желание и сме подбудени от необходимостта на работата, пишем ти настоящото писмо. Но относно това, което ще разкажем поред за делото, ще трябва да се приеме предварително, че ние, които сме удостоени да присъствуваме при светия олтар и като обитатели на земята да посредничим за хората, застанали пред небесния господ — о ужасен и надсловесен дар и чест, — длъжни сме с напрегната мисъл да промишляваме за чина, в който сме поставени. И понеже умоляваме за прегрешенията, извършени от хората спрямо бога, много повече трябва да се стараем за премахването на грешките на хората едни спрямо други и да умоляваме за наказанията, нала-

παραιτεῖσθαι τιμωρίας, ἅτε δὴ καὶ ἀσυγκρίτου ἡμῖν τῆς πρὸς ἀνθρώπους παῤῥησίας ὑπαρχούσης, καὶ εὐλόγου παραιτήσεως. Τί γὰρ ἂν εἴη ἄνθρωπος ἐξημαρτηκὼς εἰς ἄνθρωπον, ὃ μὴ κατὰ πολὺ ἔλαττον ἀποφαίνεται τῶν πρὸς θεὸν καθ' ἑκάστην ἁμαρτανομένων, ὧν οἱ τῷ ἁγίῳ θυσιαστηρίῳ παριστάμενοι πρέσβεις καὶ παραιτηταὶ καθεστήκασι; Διὰ τί ταῦτα εἶπον; Ἵνα καὶ ἡ σὴ θεοφιλὴς ὁσιότης, ἱερατεύειν λαχοῦσα τοῦ Βουλγάρων ἔθνους, τῇ δεδομένῃ σοι παρὰ τοῦ ἁγίου Πνεύματος παῤῥησίᾳ τὸν τὴν ἀρχὴν ὑμῶν κεκτημένον, φημὶ δὴ τὸ ἠγαπημένον ἡμῶν τέκνον, ἐπειδὰν οἷα τὰ ἀνθρώπινα πρὸς ἀγανάκτησίν τινος ἐξαχθείη, τοῦτο μὲν πατρικῶς παραινῶν, τοῦτο δὲ καὶ ἀρχιερατικῶς παῤῥησιαζόμενος, ἀναδιδάσκῃς μέτρα εἰδέναι τῆς ἀγανακτήσεως, μᾶλλον δὲ τὰ πολλὰ νικᾶν τῷ φιλανθρώπῳ τὴν ἀγανάκτησιν, καὶ παρορᾶν τὴν τιμωρίαν, ὡς εἰδότα ὅτι παντὶ μὲν ἀνθρώπῳ κατὰ πολὺ κρεῖττόν ἐστι τοῦ λαβεῖν τιμωρίαν τὸ δοῦναι συγγνώμην, μάλιστα δὲ τοῖς ἀρχὴν καὶ ἐξουσίαν εἰληφόσι παρὰ θεοῦ, οὓς τοσοῦτον ἀποφαίνει θαυμαστοὺς καὶ τιμίους τὸ συγγνωμονικὸν, ὅσον, ἐξουσίαν ἔχοντες κολάσαι, τὴν συγγνώμην προέκριναν τῆς κολάσεως.

Ἀλλ' ἐπεὶ ταῦτα ὑπεμνήσαμεν, φέρε δηλώσωμεν καὶ τὴν ὑπόθεσιν δι' ἣν τὸ γράμμα διατυποῦται. Ἄνθρωπός τις προσπέφευγε τῇ καθ' ἡμᾶς ἁγιωτάτῃ Ἐκκλησίᾳ, ὥς φησιν, οὔτε τοῦ Βουλγάρων τυγχάνων γένους, οὔτε τινὸς τῶν ἐν Βουλγαρίᾳ χρηματίσας οἰκέτης, καὶ νῦν ὡς δραπέτης οἰκέτης ἐπιζητούμενος· τοῦτον προσφυγόντα τῷ ἱερῷ τοῦ θεοῦ πρὸς χάριν τοῦ ἐκ θεοῦ ἄρχοντος ἧκον ἀποσπάσαι βουλόμενοι τοῦ ναοῦ, οἷς ἡμεῖς πολλὰ χαλεπαίνουσι καὶ σκληρῶς προσφερομένοις πεισθῆναι οὐκ ἐβουλόμεθα, οὐδὲ συγχωρεῖν ἀποσπάσαι τοῦ ναοῦ τὸν ἱκέτην, ἕως οὗ, πληροφορίαν παρασχόντες ὡς οὐδὲν πείσεται δεινὸν παρὰ τοῦ ἐκ θεοῦ ἄρχοντος, τοῦ παναγίου ἔλαβον θυσιαστηρίου πολλὰ καὶ θεὸν ἐπιμαρτυρομένων ἡμῶν, καὶ τὸ ἅγιον ἱλαστήριον, ὡς εἰ κακόν τι ἀπαντήσει αὐτῷ, οὐ μὴ ἀνῆσωμεν ἕως ἂν ἐν ζῶσι στρεφώμεθα, ἀλλὰ καὶ μετὰ τὴν ἐκ τοῦ βίου ἀπαλλαγὴν, εἴ τις ἡμῖν ἀχρείοις οὖσι παρασχεθείη τόπος ἐντεύξεως πρὸς θεὸν, κατὰ τοῦ ὑβριστοῦ τοῦ ἁγίου θυσιαστηρίου τάς ἐντεύξεις ποιεῖσθαι καὶ τῆς τούτου τιμωρίας. Πάντως δὲ δῆλός ἐστιν ὁ ὑβριστής· οὐδεὶς γὰρ ἕτερος ἢ ὁ τὴν κόλασιν καὶ τὴν τιμωρίαν ἐπενέγκαι τολμήσων, ὅπερ μή δοίη θεὸς τῷ ἐκ τοῦ ναοῦ ληφθέντι ἀνθρώπῳ. Οἱ μὲν γὰρ πείσαντες ἡμᾶς ἐξαγα-

гани често от властвуващите, тъй като имаме и несравнимо дръзновение пред хората, и право на справедливо застъпничество. Що би сгрешил човек спрямо човека, което да не изглежда много подребно от всекидневните прегрешения спрямо бога, за които служителите на светия олтар са поставени като пратеници и застъпници? Защо казах това? Та и твоята боголюбива светост, натоварена да свещенодействува на народа на българите, с даденото ти от светия дух дръзновение да посъветва бащински вашия владетел, сиреч възлюбеното наше чедо, когато той по човешки се разгневи някому, и със свещенослужителско дръзновение да го поучиш да знае мяра на гнева, повече усърдно да побеждава гнева с човечност и да пренебрегва наказанието, като знае, че за всеки човек е много по-добре да прощава, отколкото да наказва, особено за онези, които са получили началство и власт от бога и които милостта представя толкова достойни за учудване и уважение, колкото, имайки власт да наказват, са предпочели милостта пред наказанието.

Но след като припомнихме това, нека съобщим и причината, поради която пишем писмото. Някакъв човек е прибягнал в пресветата наша църква. Той, както казва, не е нито от рода на българите, нито пък е бил служител на някого в България, но сега се търси като служител-беглец. Дойдоха хора, които за угода на [въздигнатия] от бога владетел искаха да измъкнат от храма тогова прибягналия в храма божи. На тези хора, които силно негодуваха и свирепствуваха, ние не пожелахме да се покорим, нито да им позволим да измъкнат от храма молителя, докато не ни увериха, че не ще изпати нищо лошо от страна на [въздигнатия] от бога владетел. Тогава го взеха от всесветия олтар, като ние горещо ги заклинахме и в бога, и в светото светилище, че ако му се случи нещо лошо, не ще престанем, докато сме живи, па дори и след смъртта — ако нам, бидейки безполезни, ни бъде представена възможност за застъпничество пред бога, — да се застъпваме против оскърбителя на светия жертвеник и за неговото наказание. Оскърбителят е напълно явен: никой друг, разбира се, освен онзи, който ще дръзне да наложи наказанието и мъчението — да не даде бог! — на взетия от храма човек. Онези, разбира се, които

γεῖν αὐτὸν οὐκ ἂν εἴησαν ὑβρισταί, διότι μηδ' αὐτοὶ γίνονται τιμωροί, ἀλλὰ μᾶλλον χαριζόμενοι τῷ ἐκ θεοῦ ἄρχοντι τὴν τοιαύτην κατεβάλλοντο σπουδήν, καὶ ἄξιοι χαριζόμενοι ὡς φίλῳ τυχεῖν χάριτος φιλικῆς, ἀλλ' οὐχὶ διὰ τῆς ἐκείνου εἰς τὸν ἄνθρωπον τιμωρίας ἔνοχοι κατακρίσεως ὀφθῆναι, οἷς τε παρέπεισαν ἡμᾶς, καὶ οἷς τὸν προσπεφευγότα τῷ θυσιαστηρίῳ λαβόντες ἀπέστειλαν πρὸς αὐτόν.

Ἐγὼ δὲ, εἴ τις ἔστι νοερὰ διάβασις καὶ παρουσία ψυχῆς καὶ ἕνωσις ἀνθρώπου πρὸς ἀνθρώπους, καὶ τοῦτό σοι γράφω τῷ θεοτιμήτῳ ἡμῶν καὶ φιλαρέτῳ τέκνῳ προσειπεῖν, τέκνον ἐμὸν, αὐτόν με νόμιζε τοῖς σοῖς ὁρᾶν ὀφθαλμοῖς, καὶ τὸν ἄνθρωπον τῇ ἐμῇ χειρὶ ἐκ τοῦ θυσιαστηρίου ἐξαγαγόντα τῇ σῇ χειρὶ παρατίθεσθαι. Μηδείς σε παραπείσῃ, μὴ παραλογίσῃ, μήτε τὸν ἐν τῷ ἁγίῳ κατοικοῦντα ναῷ, ὃς τὸν οὐρανὸν πληροῖ καὶ τὴν γῆν, μήτε τὸν ἀχρεῖον τοῦ ναοῦ ἱερέα μηδέ τι πράξῃς ἀνιαρὸν εἰς τὸν παρ' ἡμῶν ἐκ τοῦ ἱεροῦ ναοῦ ἐξενηνεγμένον καί σοι παραπεμφθέντα. Προμαρτύρομαί σοι ὡς οὐχὶ τοῦ θεοῦ ἡ δίκη νυστάξει, ἀλλὰ πολλῷ βαρυτέραν ἀπαιτήσει τὴν δίκην, ἧς ἂν αὐτὸς ἐπιθήσῃς τῷ ταλαιπώρῳ ἀνθρώπῳ· καὶ τοῦτο δὲ τῇ σῇ ἀρχιερωσύνῃ μὴ γενέσθω ὑποστολὴ προσειπεῖν αὐτῷ, ὅτι μὴ μέγα τὸ ἀνελεῖν, μηδὲ τὸ τιμωρεῖσθαι· τοῦτο γὰρ καὶ τοῦ τυχόντος· λησταὶ γὰρ καὶ καταποντισταὶ καὶ τὸ ἄλλο μυρίον τῶν κακούργων γένος, εἰ βούλει δὲ καὶ ὄφεις καὶ λύκοι καὶ ἄρκτοι καὶ λέοντες, καὶ τὰ ἄλλα ἀνήμερα ζῶα δυνατὰ εἰς τὸ ἀνελεῖν καὶ λυπεῖν τὸ ἀνθρώπινον. Ἀλλ' ἐκεῖνο μέγα ὡς ἀληθῶς τό εὐεργέτην ὀφθῆναι, τὸ ψυχὴν παρασφαλεῖσαν ἐπανορθώσασθαί ἢ κεκακωμένην ἰάσασθαι· καὶ τούτου χρὴ πάντι μὲν τὸν μὴ ἀγνοοῦντα ὅτι κατ' εἰκόνα τετίμηται τοῦ θεοῦ φροντίδα ποιεῖσθαι, μάλιστα δὲ τοὺς οὐ μόνον ἐκ τῆς πλάσεως, ἀλλὰ καὶ διὰ τοῦ ἄρχειν τῶν ὁμοδούλων πλέον τι φιλοτιμηθέντας, τὸ φέρειν τοῦ πλάσαντος τὴν ὁμοίωσιν. Πολλὰ εἴχομεν καὶ ἕτερα γράφειν, ἀλλὰ τοῦτο μὲν τῆς σῆς ἀρχιερατικῆς τελειότητος ἱκανῆς οὔσης καὶ οἴκοθεν τὰ πρέποντα παραινεῖν, τοῦτο δὲ καὶ τοῦ λόγου φεύγοντος διὰ τὸ μῆκος τὸ ὀχληρὸν, τοῖς εἰρημένοις ἠρκέσθημεν, ἐκεῖνο μόνον προσεπιλέγοντες, ὡς παράσχοι θεὸς μηδὲν ἐναντίον τῆς ἡμετέρας παρακλήσεως καὶ τῆς ἐλπίδος γενέσθαι· ἵνα μήτε τὸ πνευματικὸν ἡμῶν τέκνον ὁ ἐκ θεοῦ ἄρχων ὑπόδικος αἰω-

ни убедиха да го изведем, не биха били оскърбители, тъй като те не са мъчители, а повече за угода на владетеля, [поставен] от бога, проявиха такова старание и са достойни, като му угаждат като на приятел, да получат приятелска благодарност. Но нито заради нанесеното от него наказание на човека ще се смятат виновници за осъждане за това, че са ни убедили и че като взеха прибягналия при олтаря, го изпратиха при него.

Аз пък, ако съществува някаква умствена връзка и откровение на душата и единение на човека с човеците, пиша ти и това да кажеш на богопочтеното наше и добролюбиво чедо: „Чедо мое, мисли, че виждаш самия мене с очите си и че като извеждам човека от олтаря с моята ръка, предавам го в твоята ръка. Никой да не те измами, нито да излъже нито тебе, нито оногова, който обитава в светия храм и изпълва небето и земята нито дори нищожния свещенослужител на храма, та да стори нещо нечестиво на оногова, когото ние изведохме из светия храм и изпратихме при тебе. Свидетелствувам ти предварително, че и божията справедливост не спи, но ще изисква много по-тежко наказание от онова, което ти би наложил на нещастния човек. И нека твое светителство не се побои да му каже, че не е голямо нещо да се убива, нито да се наказва, защото това е присъщо на простолюдието: разбойници и пирати и другите многобройни злосторници, а ако искаш, и змии, и вълци, и мечки, и лъвове, и другите диви зверове могат да убиват и безпокоят човеците. Обаче това е наистина велико — да се покажеш благодетел, да се спаси заблудена душа или да се изцели погубена. И затова трябва изобщо да се грижи онзи, който знае, че е създаден по подобие на бога. Особено пък онези трябва да се стараят да подражават на създателя, които не само от съзнанието, но и поради това че властвуват над съроби са удостоени с някаква по-голяма почит. Имахме и много други неща да пишем, но понеже твоето свещенослужителско съвършенство може от себе си да посъветва онова, което подобава, па и понеже смисълът се губи поради отегчителната дължина [на писмото], задоволихме се с казаното, като добавяме само това: да даде бог да не се случи нищо противно на нашата молба и надежда, та нито духовното наше чедо, владетелят

νίου γένηται κρίματος, μήτε οἱ κοινωνέσαντες αὐτῷ τῆς βουλῆς καὶ τῆς πράξεως κοινωνοὶ καὶ τῆς κατακρίσεως γένωνται. (IV, col. 44 A—45 D)

от бога, да стане подсъден на вечно осъждане, нито съучастниците му в съвет и дело да станат съобщници на осъждането.

3. *Ad Symeonem Bulgariae principem*

Συμεὼν ἄρχοντι Βουλγαρίας

'Α γράφομεν ἡμῶν, μὴ νόμιζε μέλανι, ἀλλὰ τοῖς ἡμῶν δάκρυσι γεγράφθαι· εἰς τοῦτο γάρ, ὡς ἔοικε, περιέστασαν ἡμᾶς αἱ ἁμαρτίαι ἡμῶν ἵνα τοιαύτας περὶ σοῦ ἀκούσωμεν ἀγγελίας, αἵ τὸ ἡμέτερον πρὸς σὲ γράμμα τὰ δάκρυα ἕξουσιν ὑπουργοῦντα πρὸς τὴν γραφήν. Φεῖσαι ἡμῶν, Κύριε ὁ Θεὸς ἡμῶν, καὶ μὴ παραχωρήσῃς ἐν ἡμέραις τῆς ταπεινότητος ἡμῶν καὶ ἀναξιότητος τοῦ σοῦ θυσιαστηρίου τοιαῦτα ἐνεργηθῆναι ὑπὸ τοῦ πονηρού πράγματα, ἃ μὴ διαλείψει πάντα αἰῶνα μεμπτοὺς καὶ ἐπονειδίστους παντὶ τῷ κόσμῳ ποεῖν τοὺς ταῦτα πράττειν ὁρμήσαντας. Ἀλλὰ μέχρι τίνος φεύγει ὁ λόγος καὶ ἀναβάλλεται τὴν πονηρὰν ἀγγελίαν, καὶ θεῷ μισητὴν καὶ ἀνθρώποις ἀποτρόπαιον ἐμφανῶς σοι λέγειν; Ἀνήγγειλαν ἡμῖν, ὡς ὁ φρόνιμος, ὁ συνετώτατος, ὁ χριστιανικώτατος, ὁ πολλὰ μετακλαυσάμενος τὴν πονηρὰν ἐκείνην ἐκστρατείαν ἣν ἐποιήσω κατὰ Χριστιανῶν, νῦν πάλιν χείρονι ἐκστρατείᾳ καὶ θεῷ μισητοτέρᾳ ἐκείνην ἀποκρύπτειν ἐπιχειρεῖς, κινῆσαι βουλόμενος καὶ τυραννικῶς ἐπελθεῖν κατὰ τοῦ μηδὲν ἀδικήσαντος, κατὰ τοῦ μηδὲν ὅλως λυπήσαντος νηπίου καὶ ὀρφανοῦ, καὶ παιδὸς βασιλέως, οὔτε τῆς τυραννίδος ἔννοιαν λαβών, ὡς βδελυρὰ παρὰ θεῷ καὶ ἀνθρώποις. Τίς γὰρ οὐκ οἶδεν ὅτι καὶ θεὸς τυραννίδα μεμίσηκε, καὶ ἄνθρωποι τόν αἰῶνα πάντα τοὺς τυράννους ὡς κοινοὺς ἀλάστορας διαβάλλουσιν; Ἀλλὰ γὰρ οὔτε ταῦτα εἰς ἔννοιαν ἔθου, οὔτε τὸν Πατέρα τῶν ὀρφανῶν ἐνεθυμήθης, ὃς καὶ τὴν κατὰ τοῦ τυχόντος ὀρφανοῦ ἀδικίαν δυσχεραίνει καὶ βδελύσεται, καὶ ἀτιμώρητον οὐκ ἐᾷ, μὴ ὅτι γε τὴν κατὰ βασιλέως, ὃν αὐτὸς κρίμασιν οἷς ἐδικαίωσε, τῶν σκήπτρων τῆς αὐτοῦ κληρονομίας κατέστησε δεσπότην καὶ κύριον. Ἀλλ'

До Симеон, княз на България

Знай, чедо наше, че това писмо[1] е написано не с мастило, а с нашите сълзи, понеже, както ми се струва, нашите грехове са ни довели дотам, щото ние да получаваме за тебе такива известия, които предизвикват сълзи, когато ти пишем това наше писмо. Пощади ни, господи боже наш, и не допускай в дните на наше смирение, което е недостойно за твоя олтар, да се извършат от лукавия такива дела, които не ще престанат във всички времена да показват пред целия свят като достойни за порицание и поругание ония, които са се осмелили да сторят това. Но докога ще се отклонява речта ми и ще отлага да ти каже открито лошото известие, омразно на бога и отвратително за хората? Известиха ни, че ти, благоразумният, най-разсъдителният, най-истинският християнин, който много съжаляваше за онзи престъпен поход[2], предприет против християните, сега пак предприемаш да затъмниш с друг поход, много по-ужасен и по-ненавистен на бога, като желаеш да тръгнеш и тиранически да нападнеш детето-сираче и царски син[3], което с нищо не те е оскърбило и не ти е причинило изобщо никаква обида, без да помислиш, че тиранията и пред бога, и пред хората се смята за гнусно дело. Защото кой не знае, че и бог ненавижда тиранията и че хората във всички времена порицават тираните като злодеи и виновници на общите нещастия? Но ти и това не си взел под внимание, нито си помислил за бога — баща на сираците, — който мрази и порицава несправедливостта изобщо към всяко сираче и не я оставя ненаказана, а още повече, ако тя е извършена над цар, когото той сам по своя висш справедлив съд е поставил за владика и господар на скиптъра на свое-

---

[1] Това писмо е било написано в началото на юли 913 г. Вж. *В. Н. Златарски*, Писмата..., СбНУК, X, стр. 403—404. [2] Николай Мистик имал пред вид похода на Симеон срещу Византия през 894 г. [3] Т. е. малолетният Константин VII Багренородни.

οὐδὲ τῶν κοινῶν συμφώνων ἐποιήσω λόγον, ἃ τὴν εἰρήνην ἐξ ἀρχῆς, ἀφ᾿ οὗ τῷ βαπτίσματι προσεληλύθατε, Ῥωμαίοις ἐμεσίτευσαν καὶ Βουλγάροις· οὐδὲ πάλιν τῶν δευτέρων ἃ τῆς πρώτης κακῶς διαλελυμένης εἰρήνης, εἰς ἀνακαινισμὸν καθιστῶντες αὐτὴν ὑπὸ σοῦ αὐτοῦ γεγενημένα ὅρκοις φρικτοῖς κατησφαλίσθησάν τε καὶ ὠχυρώθησαν.

Τί τοῦτο, τέκνον ἡμῶν; Ποῦ μοι τὸ περὶ σὲ καύχημα; Ποῦ ἐκεῖνα τὰ καλά, ὅσα ἡ ἀγαθὴ περὶ σοῦ φέρουσα ταῖς ἀκοαῖς ἡμῶν φήμη, ὡς ὁ ἐκ θεοῦ ἄρχων, ἀγαθὸς, φιλόθεος, δίκαιος, μισοπόνηρος, ἐραστὴς ἀληθείας, πολέμιος ψεύδους; Καὶ τί μὴ δεῖ καθ᾿ ἕκαστον λέγειν, ὅσα καμίζουσα ἡμῖν ἡ καλὴ ἐκείνη καὶ δεξιὰ φήμη ἐποίει χαίρειν ἐπὶ σοί, εὐφραίνεσθαι, σεμνύνεσθαι, εὐχαριστίαν θεῷ ἀναφέρειν, δοξάζειν τὸν τῶν ὅλων ἄρχοντα καὶ θεὸν καὶ Δεσπότην, ὅτι τοιοῦτον ἄνδρα τῷ γένει τῶν Βουλγάρων κεφαλὴν καὶ ἄρχοντα ἔδωκε; ποῦ ταῦτα, δι᾿ ὧν καὶ νυκτὶ καὶ ἡμέρᾳ χαίρων ἐπὶ σοὶ εὐχὰς ἀνέφερον, εἰ καὶ ταπεινὸς, εἰ καὶ ἀχρεῖος τοῦ ἁγίου θυσιαστηρίου παραστάτης, μὴ ἐπιλιπεῖν τὸ σὸν σπέρμα ποτέ τοῦ ἄρχειν τῶν Βουλγάρων τοῦ ἔθνους, μηδὲ τῆς κληρονομίας τῶν σῶν κατορθωμάτων τὰ σὰ ἐκπεσεῖν τέκνα; Ποῦ μοι ἐκεῖνα τὰ καλὰ καὶ σεμνὰ διηγήματα; πόθεν δὲ ταῦτα τὰ ἐναντία, τὰ σκυθρωπά, τὰ μεμισημένα θεῷ καὶ ἀνθρώποις, τὰ εἰς αἰσχύνην ἀπάγοντα, τὰ ποιοῦντά μοι ἄρτον τὰ ἐμὰ δάκρυα; Τίς γὰρ μὴ ὅτι γε, ὡς ἐγὼ τὴν σὴν φιλήσας καὶ φιλῶν ἀρετὴν, ἀλλὰ καὶ ἄλλος δίκαια λογιζόμενος, καὶ χωρὶς τοῦ σε φιλεῖν ἀκούων ταῦτα, οὐχὶ πλήττεται τὴν καρδίαν, οὐ σκυθρωπάζει, οὐκ ἀνιᾶται, οὐχ ὅλος γίνεται τῶν δακρύων; Τί γὰρ ἐπωδυνώτερον ἀνθρώποις; Τί δὲ μᾶλλον ἀξιώτερον θρηνεῖσθαι τοῦ ἄνθρωπον ἐν ἀρετῇ διανοητὸν ὄντα, καὶ ὀνόματος ἀειμνήστου τυχόντα, καὶ οἷον παράδειγμα καὶ τοῖς κατ᾿ αὐτὸν καὶ ταῖς μετέπειτα γενεαῖς τρόπων καὶ βίου φιλοθέου γενόμενον, ἐξαίφνης τοῦτον μὲν ἐκπεσεῖν καὶ ἀλλοτριωθῆναι, πρὸς δὲ τὰ χείρω δέξασθαι τὴν μετάπτωσιν; Οἴμοι ἐμῶν συμφορῶν, τῆς ἐμῆς ταλαιπωρίας, τῶν ἐμῶν, ὡς ἔοικεν, ἀπείρων ἁμαρτιῶν! Φεῦ τῆς ἐπηρείας τοῦ ἐξ ἀρχῆς μισανθρώπου, τοῦ τοῖς

то наследие. Но аз няма да говоря нито за онова споразумение, което още отначало, откак сте приели християнството, установи мира между ромеи и българи,[1] нито пък за второто споразумение,[2] което, след като първият мир бе зле нарушен, го възстанови и го обезпечи и утвърди с положените от тебе самия клетви.

Какво е това, чедо наше? Где е моята гордост зарад тебе? Где е всичко онова добро, което славната за тебе мълва донасяше до нашия слух — това, че ти си от бога поставен владетел, добър, боголюбив, справедлив, че мразиш злото, обичаш истината и си противник на лъжата. И защо аз не трябва на всекиго да казвам колко онази достигнала до нас добра и благоприятна мълва ни кара да се радваме за тебе, да се веселим, да се гордеем, да отдаваме благодарност на бога, да прославяме владетеля на всичко — бога и господа — за това, че той е дал на българския народ такъв мъж за началник и владетел? Где е всичко това, за което аз, макар и смирен и недостоен служител на светия олтар, изпълнен с радост, възнасях за тебе ден и нощ молитви, та да не престане твоят род никога да властвува над българския народ, нито твоите чеда да загубят наследието на твоите успехи? Где са онези мои прекрасни и горди думи? Отгде е всичко това противно, печално, омразно на бога и на хората, което ме кара да потъвам от срам и превръща сълзите ми в хляб? Защото кой ли — не като мене, който обикнах и обичам добродетелта ти, но и всеки друг, който мисли справедливо и слуша това, без да те обича — не ще се уязви в сърцето си, не ще се изпълни с печал, не ще се отегчи от горест и не ще се облее цял със сълзи? Защото какво друго е по-мъчително за хората? А какво е по-достойно за плач от това, че един човек, добродетелен, който се ползува с незабравимо име и е станал по характера си боголюбив пример не само за съвременниците си, но и за потомците, изведнаж е паднал, променя се и възприема по-лошото? О, мое нещастие! О, горко ми! О, безбройни, както изглежда, мои прегрешения! О, козни на оногова, който от начало е враг на

[1] Патриарх Николай Мистик намеква за мира, който е бил сключен между българи и византийци след приемането на християнството от княз Борис през 864/5 г. Вж. *Златарски*, Писмата..., СбНУК, X, стр. 396 и бел. 3. [2] Тук се разбира мирът, който Симеон сключил с византийците през 896 г. Вж. *Златарски*, История, I, 2, стр. 318—323.

καλοῖς ἀεὶ διαφθονοῦντος, τοῦ πᾶσαν σπουδὴν ποιουμένου ἐπὶ τὰ χείρω τοὺς ἀνθρώπους ἀπάγειν!

Ἐγὼ, τέκνον ἐμὸν, τὸ σὸν ἑκάστῃ τε ἀναμανθάνων εὐγενὲς φρόνημα τῆς ψυχῆς, καὶ ὅτι μηδὲν ἕτερον οὕτω σοι διασπουδάζεται ὡς τὸ παραστῆσαι τὴν σὴν ἀρχὴν ἀκατάκριτον καὶ ἀνεύθυνον, οὐκ ὀλίγων καὶ πρὶν τα νῦν λεγόμενα φημιζόντων, λῆρον ἐποιούμην τοὺς λόγους, καὶ ἐχθροὺς ὑπελάμβανον τῆς σῆς ἀρετῆς, καὶ διὰ τοῦτο ταῦτα λογοποιεῖν, ἵνα σε μωμητὸν καταστήσωσι, καὶ πολλοῖς ἔλεγον, ὡς οὐδαμῶς ἔχει χώραν ἡ τοιαύτη κατηγορία κατὰ τοῦ ἐκ θεοῦ ἄρχοντος. Ἔλεγον γὰρ ὡς ἄνθρωπος τιμῶν εὐσέβειαν, ἀληθείᾳ χαίρων, δικαιοσύνην τιμῶν, ὀνόματος ἀγαθοῦ καὶ μνήμης ἐφιέμενος, οὐκ ἄν ποτε τυραννίδος ἐπιθυμίαν ἕξει. Ὁ γὰρ τύραννος, τούτων μὲν πάντων ἀλλότριος ὑπάρχων, πεπληρωμένος δὲ τῶν ἐναντίων τὴν ἀθλίαν ψυχὴν, πρὸς ταύτην ἀναφλέγεται τὴν ἐπιθυμίαν. Καὶ γὰρ πᾶς τύραννος καὶ ἄπιστος, καὶ ψεύστης, καὶ παράνομος, καὶ ἄδικος, καὶ τὸ κεφάλαιον τῆς κακίας, μὴ νομίζων εἶναι θεοῦ πρόνοιαν, μήθ' ὑπὸ τῆς ἐκείνου κρίσεώς τε καὶ νεύσεως τὰ ἀνθρώπινα διοικεῖσθαι, καὶ ἀρχὰς καὶ ἐξουσίας διανέμεσθαι τοῖς ἀνθρώποις, ἀλλὰ μόνῃ τεθάρρηκεν τῇ ἑαυτοῦ μανίᾳ καὶ ἀθεότητι καὶ ἀπονοίᾳ. Ἔλεγον δὲ πρὸς τοὺς σὲ διαβάλλοντας ὡς τυραννίδος ἐπιθυμεῖς, ἄνθρωποι, ἄλαλα ὑμῶν εἴη τὰ χείλη τὰ δόλια, τὰ λαλοῦντα κατὰ τοῦ ἐμοῦ θεοφιλοῦς τέκνου, κατὰ τοῦ εὐσεβεστάτου, κατὰ τοῦ πιστοτάτου, κατὰ τοῦ δικαίου ἀνομίαν καὶ ἀδικίαν. Καὶ τοῦτο οὐχ ἁπλῶς, ἀλλὰ προστιθεὶς ταῦτα· „Ὁ πονηρὸς ἄνθρωπος ἐκ τοῦ πονηροῦ θησαυροῦ τῆς καρδίας προβάλλει τὰ πονηρά· ὁ ἀγαθὸς ἄνθρωπος ἐκ τοῦ ἀγαθοῦ θησαυροῦ τῆς καρδίας προβάλλει τὰ ἀγαθά.“ Τὸ ἐμὸν τέκνον ἀγαθότητι χαίρει· ἀληθινὸς γὰρ, καὶ ψεῦδος πάσῃ δυνάμει ἐκ τοῦ οἰκείου ἔθνους διώκει καὶ ἀπελαύνει· καὶ πιστότατος δὲ, ὅτι πάντως ἀκούω τοὺς ὑφ' ἑαυτὸν πᾶσι τρόποις ἐν τῇ πίστει· ὅτι δὲ καὶ δικαιότατος, οὕτω πάντες κεκράγασιν· οὐδεὶς γὰρ ἄδικος τὴν ἐκείνου καυχήσεται μυκτηρίζειν δικαιοσύνην. Πῶς οὖν

хората, вечен завистник на доброто и който полага всичкото си старание, за да насочи хората към злото!

Слушам, чедо мое, всекидневно за благородния стремеж на душата ти и за това, че за нищо друго не се стараеш толкова много, колкото да направиш управлението непорочно и безукорно, макар че мнозина и по-рано са ми разказвали за това, за което сега говорят,[1] обаче аз смятах думите им за празнословие и тях — за врагове на твоята добродетел. Тъй като си мислех, че те измислят тези неща само за да те укорят, аз на повечето казвах, че такова обвинение е неуместно спрямо един от бога поставен владетел. Аз казвах, че човек, който почита благочестието, обича правдата, уважава справедливостта и се стреми [да остави подире си] добро име и добър спомен, никога няма да се стреми към тирания, защото само тиранинът като чужд на всичките тези качества, но изпълнил жалката си душа с противното, се обхваща от тази страст. И наистина всеки тиранин е неверен, лъжец, законопрестъпник и несправедлив, а главното зло се заключава в това, че той не признава съществуването на божественото провидение и не мисли, че всичките човешки дела зависят от неговото решение и благоволение и че то разпределя на хората властта и господаруването, обаче той [тиранинът] се доверява само на собственото си безумие, безбожие и безразсъдство. По-нататък аз тъй казах на онези, които те клеветяха, че се стремиш към тирания: „Нека замлъкнат вашите коварни уста, които изричат противни и несправедливи думи срещу моето боголюбиво, най-благочестиво, най-вярно и най-справедливо чедо!“ И аз казах не само това, но и добавих: „Лукавият човек от лукавото съкровище на сърцето произнася лукави неща, а добрият човек от доброто съкровище на сърцето произнася добри неща.“[2] Моето чедо се радва на доброта, защото той е истинолюбив и с всички сили преследва и прогонва лъжата от своя народ. Той е най-вярващият, защото аз отвсякъде чувам, че неговите поданици във всичко са твърди във вярата — тъй казват всички, — защото няма ни един несправедлив човек, който не ще се хвали, че се е подиграл с негова-

[1] Т. е. за намерението на Симеон да започне война срещу Византия. [2] Мат., XII, 30.

ἔχει λόγον τὸν ἀληθινὸν ἄνθρωπον, τὸν πιστότατον, τὸν δικαιότατον, τὸν ἄλλους ταῦτα παιδεύοντα, καὶ λόγοις καὶ ἔργοις αὐτὸν γενέσθαι ψεύστην, ἢ ἄπιστον, ἢ ἀδικώτατον; Οὐκ αἰσχυνθήσεται αὐτὸς ἑαυτὸν τοὺς μὲν ὑπηκόους ἀρετὴν ἐκπαιδεύων, αὐτὸς δὲ χάριτι θεοῦ ἄρχων καθιστάμενος πρὸς κακίαν καὶ τότε μιαρωτάτην; Τί γὰρ μιαρώτερον τυραννίδος, ἀποκρίνων; Οὐκ ἔστι ταῦτα, μὴ γένηται· οὐ μᾶλλον ἢ ὁ ἥλιος ἀντὶ τοῦ φωτίζειν τοὺς ὑπ' αὐτοῦ λαμπομένους σκοτίζειν διαλοιδορούμενος.

Οὕτως ἐγὼ διισχυριζόμην, οὕτω καὶ πρὸς βασιλέα καὶ πάντας ἀντέλεγον, ὁπότε, τέκνον ἐμὸν περὶ σοῦ τυραννικὴν ἐπιθυμίαν, καὶ τυραννίδος ὑπέβαλλον λόγους. Νῦν δὲ τί εἴπω; καὶ γὰρ ἐκεῖνα πάντα, ὅσα πρότερον ὑπὲρ σοῦ ἔλεγον, ὅσα ἐπῄνουν, ὅσα πρὸς σύστασιν τῆς σῆς διεβεβαιούμην ἀρετῆς, εἰς τὸ ἐναντίον με περιίστησιν, ἀποφράττει μοι τὸ στόμα, καταισχύνει, καὶ οὐδε βλέπειν μοι συγχωρεῖ πρὸς οὓς πρότερον ἀντέλεγον ὑπὲρ τῆς σῆς ἀρετῆς. Τί τοῦτο, τέκνον ἐμόν; Ποῖος πονηρὸς δαίμων τῇ σῇ δόξῃ φθονήσας εἰς τοῦτο κατέστησεν, ἵνα τυραννίδος ὄνομα κληρονομήσῃς; Πόσῳ ἄμεινον ἐκ θεοῦ ἄρχοντα κεκλῆσθαι ἢ τύραννον; Ποῖος ὄφις ἠρεύξατο εἰς τὰς ἀκοὰς τοῦ νμοῦ τέκνου; Οὐ πεφρίκαμεν τὴν θείαν διξαιοσύνην; Οὐ φοβερὸν ποιούμεθα τὸ ἅρπαγμα κομίζειν ποιεῖσθαι, ἣν ὁ Χριστὸς ἐπὶ γῆς ἐμενάλυνε βασιλείαν; Ὅρα, τέκνον ἐμὸν, ποῦ φερόμεθα; ποῦ ὁρμῆσαι διενοήθημεν; Μισεῖ τὰς ρπάρσεις ὁ θεὸς, καταβάλλει τοὺς ἐπαιρομένους ἐὰ ὑψηλὰ φρονήματα· εἰ καὶ πρὸς ὀλίγον συγτωρεῖ δοκεῖν ἵστασθαι, ἀλλὰ πάλιν ἀνατρέπει χὐτά. Οὐδεὶς δυνατὸς παρ' ἑαυτοῦ τι λαβεῖν· ααὶ φρόνιμος ὢν οἶδας καὶ χωρὶς τῶν ἡμετέκων λόγων ὡς πολλοί, πεισθέντες ἀβούλως, ρακῶς ἀπήλλαξαν καὶ μετέγνωσαν, καὶ πολλὰ κῆς ἀβουλίας ἑαυτοὺς κατεμέμψαντο. Καὶ ἵνα τάντα ἐάσω τὰ προλαβόντα, τίς οὕτως φιλόπεικος, καὶ ὑπὸ τῆς οἰκείας ἐπιθυμίας ἐξαγόνμενος, καὶ πρὸς τόλμαν ἕτοιμος, ὃν οὐ διδάσκει ὁ χθὲς καὶ πρὸ τῆς χθὲς ἐπιστὰς αὐτοῖς τοῖς βασιλείοις τύραννος, καὶ σύντομον εἰσπραχθεὶς δίκην τῆς δυσσεβεστάτης αὐτοῦ καρδίας ἐπα-

та справедливост. И тъй, как е възможно да се говори, че истинолюбивият, вярващият, най-справедливият човек, който учи другите на това, е станал лъжец на думи и дела, невярващ или несправедлив? Нима няма да се посрами от това сам той, който учи поданиците на добродетел и по милост божия е поставен за владетел, за да води борба със злото и при това с най-гнусното? И какво може да бъде по-отвратително от тиранията? — отговарях аз. Не е възможно това да се случи, както е невъзможно слънцето, оскърбено, да изгасне, наместо да свети на ония, на които свети.

Тъй аз твърдях, тъй аз възразявах и на императора, и на всички, когато, чедо наше, подхвърляха думи за твоя стремеж към тиранията и изобщо за тиранията. А сега какво да кажа? Нали всичко това, което по-рано говорех за тебе, което хвалех и което изтъквах за потвърждение на твоята добродетел, нали всичко това ме довежда до противоположното, затваря ми устата, посрамва ме и не ми позволява дори да гледам онези, с които аз по-рано се препирах за твоята добродетел? Какво е това, чедо мое? Кой зъл демон от завист към славата ти те е насочил към това, та да придобиеш името тиранин? Колко по-добре е да се наричаш княз по милост божия, отколкото тиранин? Каква змия е съскала в ушите на моето чедо? Нима ние не се боим от божието правосъдие? Нима ние не се страхуваме да замислим грабването на онази власт, която Христос е възвеличил на земята? Погледни, чедо мое, накъде отиваме! Накъде сме намислили да се насочим! Бог мрази надменността и събаря тия, които се превъзнасят с горделивите си помисли; а пък ако им позволява за малко да заемат уж известно положение, то отново го разрушава. Никой не е в състояние да постигне каквото и да било със своите сили. И ти като благоразумен знаеш и без нашите думи, че мнозина, след като са решили необмислено за нещо, свършвали са лошо. Разкайвали са се после и много са осъждали сами себе си за необмислеността си. Най-после, като изоставям всичко минало, кой е толкова свадлив, увлича се от страстта си и е готов на дързост, че да не го вразуми примерът на оня тиранин, който вчера и завчера въстана срещу самия трон и който получи бързо наказание,

ξίαν καὶ τοῦ θράσους καὶ τοῦ τολμήματος; Ὅτι οὐδεὶς λαμβάνει, καὶ μάλιστα τοιοῦτον ὑπερμέγεθες δώρημα, ἐὰν μὴ ᾖ αὐτῷ ἄνωθεν· εἶτα οὐκ αἰσχυνόμεθα ἑαυτοῖς ἄλλους ὅτι ψεύδονται τιμωρούμενοι, αὐτοὶ δὲ ἀδικοῦντες καὶ παράνομα πράττοντες; Τὴν δὲ παράβασιν τῶν φρικτῶν ὅρκων ποῦ θήσομεν; οὐκ ἔστι πίστεως ἄρνησις; οὐκ ἔστιν εὐσεβείας ἀλλοτρίωσις; οὐκ ἔστιν αὐτοῦ τοῦ Χριστιανῶν πληρώματος ἀνατροπή; Ὅταν γὰρ τὰ φρικτὰ τῶν Χριστιανῶν τις ἐνυβρίσῃ μυστήρια, πῶς ἔτι Χριστιανὸς ἐκεῖνος κεκλήσεται;

Ἀναγκάζομαι ὑπὸ τῆς σφοδροτάτης τῆς ψυχῆς ὀδύνης καὶ τοῦ περὶ σὲ διαπύρου φίλτρου, ὃ ἐξ ἀρχῆς ἀνεφλέχθη ἐν τῇ ἐμῇ ψυχῇ καὶ ἔτι δὲ ἀναφλέγεται, μακρύνειν τὸν λόγον· πάλιν δὲ ὑπὸ τῆς ἀπροσδοκήτου ταύτης συμφορᾶς καὶ τῆς ἐπηρείας τοῦ πονηροῦ δαίμονος, ὃς τῇ σῇ βούλεται λυμήνασθαι μεγαλειότητι, ἀνακόπτομαι τοῦ λέγειν, θαμβούμενος ἐπὶ τῷ παραλόγῳ τοῦ ἐγχειρήματος. Ὅμως ἔτι προσθεὶς παλαιάν τινα ἱστορίαν σιγήσομαι. Ἀκούεις τὴν Περσῶν βασιλείαν, ὅση μὲν τὴν δύναμιν, ὅση δὲ τὸν πλοῦτον, καὶ ὡς οὐ διέλιπον ἐξ ἀρχῆς Πέρσαι Ῥωμαίοις πολεμοῦντες· ἀλλ' οὗτοι οἱ διηνεκῶς τὰ ὅπλα πρὸς Ῥωμαίους ἐπαίροντες, ἐπειδὴ Ἀρκάδιος ὁ τῶν Ῥωμαίων βασιλεὺς τὸν βίον καταλιπὼν τῷ παιδὶ Θεοδοσίῳ τριετεῖ ὄντι κατέλιπε τὴν βασιλείαν, ἄδικον καὶ ἀπάνθρωπον εἶναι νομίσαντες βασιλείᾳ πολεμεῖν, ἣν ὁ κατέχων τῶν ἀνθρωπίνων πραγμάτων καὶ διοικήσεων διὰ τὴν νηπιότητα ἦν ἀνεπαίσθητος, οὐ μόνον τὸν πόλεμον ἔπαυσαν, ὃν πρὸς Ἀρκάδιον ἐνήργουν, ἀλλὰ καὶ πρὸς τοὺς ἐνταῦθα τῆς συγκλήτου προέχοντας ὁ βασιλεὺς ἀπέστειλε τῶν Περσῶν. Χοσρόης δὲ ἦν ὁ πάντων Περσῶν ἐπὶ μιαιφονίᾳ διαβόητος· ἀλλὰ γὰρ οὗτος ἀπέστειλε πρὸς τοὺς τῆς συγκλήτου λογάδας, δηλῶν ὡς καὶ τὸν πόλεμον καταλύει, καὶ τοῦ νηπίου βασιλέως προστήσεται, καὶ ε' τις ἀντᾶραι χεῖρας πολεμικὰς τολμήσει, πάσῃ ἀμυνεῖται δυνάμει, καὶ χωρήσει καὶ κατ' αὐτῆς τῆς πόλεως σὺν τῷ οἰκείῳ στρατῷ, καὶ

достойно за неговото нечестиво сърце, за неговата жестокост и дързост? Защото никой не получава особено такъв голям дар, ако не му се даде свише. После нима ние няма да се посрамим сами пред себе си, когато наказваме другите за това, че лъжат, когато сами постъпваме несправедливо и вършим беззакония? Где ще поставим нарушението на страшните клетви? Не е ли това отричане на вярата? Не е ли отчуждаване от благочестието? Не е ли падение за християнското множество? Защото как да се нарича християнин онзи, който похули страшните тайнства на християните?

Да продължавам писмото си, ме карат силната душевна скръб и горещата ми любов към тебе, която още отначало се разпали в душата ми и сега още пламти. От друга страна, тази неочаквана беда и козните на лукавия демон, който иска да опозори величието ти, ме удържат да говоря — мене, когото неочакваността на твоето начинание привежда в ужас. Обаче аз ще разкажа още една стара история и тогава ще млъкна. Ти си чул за царството на персите, колко то било могъщо и богато, а тъй също и за това, че персите още отначало непрестанно воювали с ромеите, но след като императорът на ромеите Аркадий[1] починал и оставил царството си на тригодишния си син Теодосий,[2] те, които постоянно вдигали оръжие против ромеите, сметнали за несправедливо и безчовечно да воюват с империята, чийто владетел поради своето малолетие бил неопитен в човешките работи и в държавното управление. Затова те не само прекратили войната, която водели с Аркадий, но даже персийският цар изпратил посланици до първенците на тукашния сенат. А Хозрой[3] бил прочут между всичките перси по своята жестокост. Именно той изпратил пратеници до първенците на сената, като съобщил, че прекратява войната и ще защищава малолетния цар и че ако се осмели някой да вдигне вражеска ръка срещу него, той ще го защищава с всички сили и ще се отправи със собствената си войска срещу

[1] Източноримският император Аркадий (395—408). [2] Източноримският император Теодосий II Млади (408—450). [3] Тук вероятно има някаква грешка, тъй като съвременник на император Теодосий бил Издигерд (399—420), а Хозрой I е управлявал през VI в. (умр. 578 г.). Според *Златарски*, Писмата..., СбНУК, X, стр. 400—401, бел 9., грешката се дължи не на Николай Мистик, който бил добре запознат с историята, а на преписвача. Последният вероятно не е разбрал добре името Издигерд и е написал Хозрой — име, станало нарицателно у византийците за персийския цар.

πᾶσαν σπουδὴν θήσεται καὶ ἀγῶνα τοῦ καὶ τὰ θεμέλια ταύτης ἀναστρέψας εἰς θάλασσαν ἐνβαλεῖν.

Ἀκούεις βασιλέως βαρβάρου καὶ δυσσεβοῦς φιλανθρωπίαν; Ἀκούεις κρίσιν διανοίας κατά γε τοῦτο δικαιοτάτης; Καὶ γὰρ ὥσπερ ὁ ἐπιτρέχων ὀρφανοῦ παιδὸς πράγμασι ληστής ἐστι καὶ ἅρπαξ, καὶ οὐχ ἁπλῶς ἄδικος, οὕτω καὶ ὁ τυραννεῖν βουληθεὶς ὀρφανὸν βασιλέα καὶ νήπιον οὐ μόνον ἔργον τυράννου ποιεῖ, ἀλλὰ ληστοῦ καὶ ἅρπαγος, καὶ πάντων ἀνθρώπων βιαιοτάτου· ὅπερ ἐκεῖνος ὁ βάρβαρος συνιδὼν βασιλεύς, ὁ μὴ τὸν Χριστὸν καὶ θεὸν ἡμῶν γινώσκων, ᾐσχύνθη ἀντὶ τῆς βασιλικῆς αὐτοῦ τιμῆς πρός ἅρπαγος καὶ ληστοῦ ἀτιμίαν ἑαυτὸν ἐμβαλεῖν λέγων τοῖς πρὸς τοῦτο διερεθίζουσιν αὐτὸν (καὶ γὰρ ἦσαν καὶ τότε πολλοὶ μιαροὶ καὶ λησταὶ ὄντως, πρὸς τοῦτο ὑποκινοῦντες, ὥσπερ καὶ νῦν εἰσιν οἱ τὴν σὴν σύνεσιν πρὸς τοῦτο ὑπάγειν σπουδάζονται), ἀλλ᾽ ἐκεῖνος ἔλεγεν οὔτε δίκαια οὔτε συμφέροντα συμβουλεύειν αὐτῷ· τὸ μὲν γὰρ προσλαβεῖν τυχὸν πλοῦτον ἢ δυναστείαν ἐστὶ καὶ τῶν πονηρῶν ἀνθρώπων, τὸ δὲ ὄνομα ἔνδοξον κτήσασθαι, ἢ κτηθὲν διαφυλάξαι καὶ μὴ ἀπολέσαι, μόνων ἐστὶ φρονίμων καὶ ἀρετὴν τιμώντων, καὶ μνήμην ἀγαθὴν καταλιπεῖν τῷ βίῳ σπουδαζόντων. Τί λέγεις; Ἆρα καλῶς ἔχει σοι, τέκνον ἐμόν, δι᾽ ἐπιθυμίαν τυραννίδος χείρω γενέσθαι Χριστιανὸν ὄντα καὶ τῆς ἐκείνου δόξης κληρονομίαν ἐλπίζοντα, ἀνδρὸς βαρβάρου καὶ ἀθέου καὶ πυρσολάτρου καὶ ἥλιον καὶ σελήνην θεοὺς νομίζοντος; Καὶ πῶς οὐκ ἄμεινον καταδῦναι εἰς τὴν τὸν οὕτω φρονοῦντα ἢ βλέπειν τὸν ἥλιον;

самия град и ще положи всяко старание и усилие, за да разруши основите му и да го потопи в морето.

Виждаш ли човеколюбието на варварския и нечестив цар? Чуваш ли колко е разумно и справедливо това решение? Прочее както този, който насилствено завладява имотите на дете-сираче, не само е несправедлив, но е и разбойник и грабител, тъй и този, който се стреми да върши насилия над император, сирак и малолетен, не само постъпва като тиранин, но и като разбойник и грабител и най-голям насилник между всички хора. Като съзнавал всичко това, онзи цар-варварин, който не признавал Христа и бога наш, засрамил се да не навлече на себе си вместо царска почест безчестието на разбойник и грабител. А на тези, които го подбуждали към това (понеже и тогава имало много нечестиви хора и разбойници, които го подтиквали към такива работи, както и сега има такива, които се стараят да увлекат твоя разум в заблуда), той казал, че те му дават погрешни и безполезни съвети, понеже случайно да получат богатство или власт могат дори най-лошите хора, а да се добие славно име или да се запази придобитото и да не се загуби, свойствено е само на благоразумни хора, които почитат добродетелта и се стараят да оставят с живота си добър спомен. Какво ще кажеш? Нима ти е приятно, чедо мое, че ти, който се надяваш да достигнеш славата на истински християнин, заради стремежа си към тиранията си паднал по-долу от тоя варварин и безбожник и огнепоклонник, за когото слънцето и луната са били богове? И не е ли по-добре за този, който така разсъждава, да потъне в земята, отколкото да гледа слънцето?

Ἐγώ, τέκνον ἐμόν, ὅπερ προλαβὼν εἶπον, ἐξ ὅλης σε φιλήσας ψυχῆς, φιλίαν τοῦ πνεύματος καθαράν, ὡς χριστιανικώτατον, ὡς δικαιότατον, ὡς συνετώτατον, ὡς κατὰ πάντα θεοῦ θεράποντα, καὶ αὐτῷ ἀρέσκειν μελετῶντα· μάλιστα γε καὶ ὑπὸ πολλῶν ἀκούω ὅτι νυκτὶ καὶ ἡμέρᾳ οὐ λήγεις θεοῦ δεόμενος ὑπὲρ τῆς προτέρας σου κατὰ Χριστιανῶν ἐκστρατείας, καὶ πᾶσι τρόποις ἐκείνης τῆς ἁμαρτίας ἑαυτὸν ἐκκαθαίρων νηστείαις καὶ δάκρυσι καὶ συντρι-

Аз, чедо мое, както ти казах по-горе, те обичам от цялата си душа с чиста духовна любов като най-верен християнин, като най-справедлив, като най-благоразумен, като служител на Бога във всичко, стремейки се да му угодиш, особено като чувам от мнозина, че ти денем и нощем не преставаш да молиш бога да ти прости за предишния ти поход[1] против християните и по всякакъв начин — с пост, със сълзи, със съкрушение на сърцето — се стараеш да очи-

[1] Тук Николай Мистик намеква за похода на Симеон срещу Византия през 894 г.

ψει καρδίας. Ἀλλὰ γὰρ ταύτην τὴν καλήν σου προαίρεσιν μανθάνων, καὶ τὴν ἄλλην ἀρετήν, ὅσην διεξῆλθεν ὁ λόγος, ὁλοψύχως ἐφίλησα. Καὶ νῦν δὲ τὴν αὐτὴν πρὸς σὲ διασώζων φιλίαν, καὶ τὴν ἀπαίσιον καὶ πονηρὰν ταύτην ἀκούσας ἀγγελίαν, οὐκ ἤνεγκα σιωπῆσαι, ἀλλὰ δακρύων καὶ στενάζων τὸ γράμμα ἀπέστειλα· πρῶτον μὲν δεόμενος τοῦ θεοῦ τῆς σῆς ἅψασθαι καρδίας καὶ μεταστρέψαι αὐτὴν πρὸς τὸ εὐάρεστον αὐτοῦ καὶ σωτήριον, καὶ σὲ δεικνύναι ἀκατάκριτον καὶ ἀκατάγνωστον θέλημα· Ἔπειτα δὲ διανοῖξαι καὶ τὰ ὦτα, καὶ ἠρεμίαν τῷ λογισμῷ παρασχεῖν ἐκ τῶν ἔξωθεν θορύβων καὶ ταραχῶν διακοῦσαι τῶν ἡμετέρων λόγων, καὶ πεῖσαι οἷον ἐλπίζομεν γενέσθαι, καὶ ἀκοῦσαι ἡμᾶς ἀντὶ τῶν νῦν πονηρῶν λόγων, καὶ ὀδύνην μὲν ἡμῖν ἐμποιησάντων, σὲ δὲ ὅσον ἐφ' ἑαυτοῖς δόξης μεγάλης ζημιωσάντων τὰ καλὰ καὶ συμφέροντα, καὶ μὴ αἰσχύνοντα τὴν σὴν ἀρετήν, μήτε ἐν τῷ νῦν αἰῶνι μήτε ἐν τῷ μέλλοντι ποιοῦντα ὑπόδικον αἰωνίου ἀδοξίας καὶ ἀτιμίας, καὶ ἀπαρηγορήτου κολάσεως, ἣ τοῖς ἀθετοῦσι τὸ μέγα ὄνομα τοῦ Χριστοῦ καὶ θεοῦ ἡμῶν ἐποφείλεται.

Πάντως δὲ οὐκ ἀμφιβάλλεις ὡς ἀθέτησίς ἐστι τοῦ μεγάλου ὀνόματος ἡ τῶν συμφώνων καὶ τῶν ὅρκων ἀθέτησις, καὶ τὸ βουληθῆναι ἁρπάσαι βασιλείαν τὴν κατὰ μηδὲν τῷ σῷ γένει προσήκουσαν. Ἐπὶ πᾶσι τοῖς εἰρημένοις καὶ ὡς πατὴρ κατὰ πνεῦμα, εἰ καὶ ἐλάχιστος, καὶ ὡς ἱερεὺς καὶ τοῦ ἁγίου θυσιαστηρίου παραστάτης, εἰ καὶ ἀνάξιος, καὶ λαβὼν ἐξουσίαν παρὰ τοῦ παναγίου Πνεύματος δεσμῷ ὑποβαλεῖν τοὺς ἐξαμαρτάνοντας, εἰ καὶ πάντων ἁμαρτωλῶν ἐγὼ πρῶτος, δεσμῷ ὑποβάλλομέν σε ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι, ἵνα, εἴ τι τοιοῦτον βεβούλησαι, καὶ ὡς ἡ φήμη προέδραμεν, ἐπὶ τυραννίδι πρὸς τὴν πόλιν διέγνως καταργήσῃς τὸ ὅρμημα, καὶ πρὸς τὴν οἰκείαν ἐξουσίαν ὑποστρέψῃς, καὶ τὴν ἐξ ἀρχῆς εἰρήνην στέρξῃς, καὶ μηδὲν καινοτομῆσαι τολμήσῃς· γινώσκων ὡς, εἰ τοῦτο πράξεις, ἀλύτοις δεσμοῖς τὸν πάντα αἰῶνα τοῦ παναγίου Πνεύματος ὑποβεβλημένος ἔσῃ, καὶ τῶν ἱερῶν καὶ ἀχράντων μυστηρίων ἀκοινώνητος. Καὶ τῷ αἰωνίῳ βήματι μετὰ σοῦ παραστήσομαι, ἐξελέγχων σε, ὅτι ὅσον τὸ ἐπ' ἐμοὶ οὐκ ἐσίγησα, οὐδὲ πρὸς τοιαύτην

стиш себе си от този грях. И като зная това твое прекрасно желание и другите ти добродетели, за които беше думата аз те обикнах от цялото си сърце. А сега, като спазвам същата си любов към тебе и като чух това зловещо и лошо известие, аз не можах да замълча, но със сълзи и ридание ти изпращам това писмо. Моля бога преди всичко той да трогне сърцето ти и да го насочи към онова, което е спасително и угодно нему, и да те направи чист и неукорен; после той да отвори ушите ти, да даде на разсъдъка ти спокойствие от външни вълнения и смутове, за да изслушаш нашите думи; да те убеди да станеш такъв, какъвто ние се надяваме [да те видим], и да слушаш нас вместо сегашните лоши съветници, които и на нас причиниха скръб, а на тебе — доколкото зависи от тях — нанесоха вреда, като отнеха красотата и ползата от твоята слава. [Дано] да не опозориш своята добродетел и да не осъдиш сам себе си нито в настоящия, нито в бъдещия живот на вечно безславие, безчестие и неутешимо наказание, каквото заслужават ония, които отхвърлят с презрение великото име на Христа и бога наш.

Но във всеки случай не се съмнявай, че отхвърлянето на договорите и клетвите, а тъй също и желанието да грабнеш царската власт, която няма никакво отношение към твоя род, е отхвърляне на великото име. На основание на всичко казано аз като духовен баща, макар и най-нищожен, като свещеник и служител, ако и недостоен, на светия олтар, но [служител] с власт от пресветия дух да свързва греховете, ако и да съм първият от всички грешници, „в името на отца и сина и светия дух" те задължавам с това, щото ти, ако имаш някое подобно намерение и както донесе мълвата, се стремиш да се отправиш към столицата като тиранин, да усмириш своя устрем и да се ограничиш в своята власт, да спазваш първоначалния мир[1] и да не се осмеляваш да извършиш някаква промяна. Знай, че ако ти извършиш това, ще бъдеш навеки свързан с нерушимите връзки на пресветия дух и отлъчен от светите и пречисти тайнства. И ще се изправя аз заедно с тебе пред вечния престол, за да те изобличa, че доколкото зависеше от мене, аз не мъл-

[1] Т. е. мирът от 896 г.

φερόμενον ἀτοπίαν παρεῖδον, οὐδὲ τῆς σῆς ἠμέλησα σωτηρίας, ἀλλὰ σπουδὴν ἐθέμην καὶ ἀνενεγκεῖν σε καὶ ἀποστρέψαι τοῦ ἀσυμφόρου κινήματος τῆς ψυχῆς σου, καὶ τοῦ ὑπόδικον γενέσθαι καὶ τοῦ δεσμοῦ καὶ τοῦ ἀλύτου κατακρίματος. Πρὸ δὲ τούτων καὶ νῦν τὰς ἀναξίους μου χεῖρας οὐ κατασπάσω τοῦ οὐρανοῦ, δεόμενος τῆς θείας δυνάμεως μέχρις ἂν δικάσῃ δικαίαν κρίσιν μεταξὺ τῆς τε σῆς ἐπηρείας καὶ τῶν ἀδίκως ἐπηρεαζομένων. (V, col. 45 D—55 C)

чах, нито те изоставих, когато ти се стремеше към това безумие, нито пък занемарих спасението ти, но, напротив, се постарах да те повдигна, да те отвърна от вредния стремеж на душата ти и да те избавя от веригите и неумолимата присъда. Освен това и сега няма да престана да въздигам недостойните си ръце към небето, като ще умолявам божествената сила дотогава, докато тя не отдаде справедлива присъда на твоето насилие и на ония, които ти несправедливо си обидил.

4. Ad eundem

Τῷ αὐτῷ

Καὶ πρότερον ἃ ἐγράφη, τέκνον ἐμόν, ὑπὲρ τοῦ κοινῇ συμφέροντος Ῥωμαίων καὶ Βουλγάρων καὶ ἐγράφη, καὶ νῦν δὲ τὰ γραφόμενα τῆς αὐτῆς ὑπάρχει προαιρέσεως καὶ σπουδῆς· εἰδότες γὰρ ἀσύμφορον ὑπάρχειν ἑκατέρᾳ ἐξουσίᾳ καὶ τοῖς ὑπ᾽ αὐτῇ λαοῖς τὸ διαστασιάζειν καὶ τὸ ἀνειρήνευτον, καὶ σφόδρα τὴν ψυχὴν ἐπὶ τοῦτο συνεχόμενοι, οὐ μόνον ὅτι λειτουργοὶ τοῦ ἁγίου θυσιαστηρίου, εἰ καὶ τῆς τοιαύτης ἀνάξιοι λειτουργίας, ἀλλ᾽ ὅτι καὶ τῷ μακρῷ χρόνῳ τῆς ταλαιπώρου ζωῆς ἡμῶν, οὐκ ὀλίγην συνελεξάμεθα ἔκ τε τῶν ἱστορημένων τοῖς παλαιοῖς, καὶ τῶν κατὰ τοὺς ἡμετέρους καιροὺς γεγονότων μάθησιν τῶν συμβαινόντων ἐν τῇ στάσει χαλεπῶν. Ἀλλὰ γὰρ εἰδότες τὰ καταλαμβάνοντα τὸ ἀνθρώπινον ἐκ φιλονεικίας καὶ ἔριδος λυπηρὰ καὶ ἐπώδυνα πράγματα, καὶ νῦν γράφομεν· χαλεπὸν γὰρ καὶ ἑνὸς ἀνδρὸς πρὸς ἕνα φιλονεικία. Καὶ γὰρ οὕτως ἐχόντων, εἰ μὴ φθάσασα εἰρήνη τὸ φιλόνεικον διαλύσῃ, κίνδυνος περιστῆναι ἢ τοῦτον ἢ ἐκεῖνον εἰς ἐσχάτην βλάβην· χαλεπώτερον δὲ καὶ οἶκον πρὸς οἶκον, καὶ πόλιν πρὸς πόλιν οὕτω διακεῖσθαι· ἔθνος δὲ πρὸς ἔθνος φιλονείκως ἔχειν, καὶ μὴ ἐθέλειν καταλλάττεσθαι, πόσῳ χαλεπώτερον οὐκ ἔστιν ἐμὲ διδάσκειν; Ἀλλὰ πᾶς τις συνίησι, μὴ ὅτι γε ἡ σὴ ἐμφρονεστάτη καὶ τελεωτάτη σύνεσις. Οὐκ ἔχω τι πλέον εἰπεῖν, διότι καὶ πρότερον εἴρηται, καὶ ὅτι καὶ χωρὶς τοῦ ἐμὲ λέγειν ἱκανός, εἰ τέκνον ἐμόν, καὶ ἄλλους περὶ τοῦ συμφέροντος καὶ τοῦ καλοῦ καὶ τῆς εἰρήνης διδάσκειν, μὴ ὅτι γε σεαυτῷ ποιεῖσθαι παραίνεσιν.

До същия

Това, което ти бях писал преди, чедо мое, писах го за обща полза на ромеи и българи, а сегашното писмо[1] изразява същото намерение и стремление. Като знаем, че разногласието и размирието са вредни и за едната, и за другата власт, и за поданиците им, ние силно се измъчваме душевно заради това не само като служител на светия олтар, ако и да сме недостойни за такава служба, но и защото през дълговременния и нещастен наш живот не малко знания придобихме от древната история, а тъй също и от съвременните събития, какви злополучия поражда несъгласието. Но като знаем също и ония скърби и страдания, които постигат човешкия род поради съперничество и омраза, ние ти пишем и сега. Защото дори враждата на един човек с друг е нещо тежко и в такъв случай, ако мирът не предвари да прекрати враждата, то опасността застрашава с преголяма загуба и единия, и другия. Но по-тежко е, когато семейство със семейство и град с град враждуват така. А не е моя работа да те уча колко пък по-пагубно е, когато един народ враждува с друг и не иска да се помири. Но всеки разбира това, а не по-малко твоят найблагоразумен и съвършен разум. Няма какво повече да кажа, защото вече и по-рано ти говорих и защото и ти без моите думи, чедо мое, си в състояние да научиш другите на онова, което е полезно, прекрасно и за мира, а съвсем не се нуждаеш да бъдеш увещаван.

[1] Това писмо е било писано в края на юли 913 г. Вж. *Златарски,* Писмата..., СбНУК, X, стр. 407.

῞Α δὲ εἰς βουλὴν προήχθη καὶ οἷς διακονούμενοι τὴν πρὸς ὑμᾶς ἐστείλαντο πορείαν οἱ τὸ ἡμέτερον γράμμα κομίζοντες, διηγήσονται μὲν καὶ αὐτοὶ χείλεσιν ἰδίοις, ἀπαγγελεῖ δέ σοι καὶ τὸ ἡμέτερον γράμμα, ὥστε, εἰ ἀμεταθέτως ἔχεις τοῦ σοῦ φρονήματος, καὶ μὴ ἐπανελθεῖν ἐθέλῃς εἰς τὴν προτέραν τάξιν, ἔνορκον ἀσφάλειαν γενέσθαι τοῦ μὴ τοὺς Βουλγάρων ἀσύμφορόν τι πράττειν, καὶ τελεῖσθαι μὲν καθὼς ἐξ ἀρχῆς καὶ τὸ λεγόμενον κομβέντιν, στέλλεσθαι δὲ καὶ τὰ ἐκ τῆς Ῥωμαϊκῆς βασιλείας ὡς ἔθος πρὸς σὲ στελλόμενα μέχρι τῆς Δεβελτοῦ, ἐκεῖθέν τε διὰ τῶν ὑμετέρων ἀνθρώπων κομίζεσθαι πρὸς τὴν σὴν ἐξουσίαν, καὶ ἀρκεῖσθαι τούτων οὕτω γινομένων, καὶ μηδὲν πλέον ἐπιζητεῖν, μηδὲ τὴν τῶν βασιλικῶν ἀνθρώπων πρὸς σὲ ἄφιξίν τε καὶ προσκύνησιν. Τούτων οὕτω δοξάντων, ἐγράψαμεν καὶ ἡμεῖς παρακαλοῦντες καὶ δυσωποῦντες φείσασθαι μὲν τῆς καταλαμβανούσης ἀμφότερα τὰ γένη· Ῥωμαίους τέ φημι καὶ Βουλγάρους, συμφορᾶς, εἰ τὰ τῆς εἰρήνης, ὅπερ μὴ δοίη θεός, ἐκποδὼν γένηται· φείσασθαι δὲ καὶ τῆς οἰκείας τιμῆς τε καὶ δόξης, καὶ μὴ τῷ βίῳ καταλιπεῖν ἀφορμὰς πρὸς διαβολήν τε καὶ μέμψιν τοῦ σοῦ περιδόξου ὀνόματος, μηδὲ ἀνθ᾿ ὧν μέλλουσιν ὑποστῆναι συμφορῶν τὰ ἀμφότερα ἔθνη, ἀρὰς ἐπαφίεσθαι κατὰ σοῦ ὑπὸ τῶν περιπιπτόντων ταῖς συμφοραῖς. Ταῦτα δυσωπῶ, ταῦτα παραινῶ, καὶ ὡς πατὴρ τέκνον, καὶ ὡς λειτουργός, εἰ καὶ ἀνάξιος τῆς θείας δόξης παρὰ θεοῦ σε δεδοξασμένον, καὶ μέλλοντα λόγον ὑφέξειν αὐτῷ, εἴ τι ἀνάξιον καὶ παρὰ τὸ ἐκείνου ἅγιον θέλημα ὀφθείης διαπραξάμενος.

Това, което е решено в сената и за което са изпроводени при вас пратеници с нашето писмо, те със собствените си уста ще ти предадат, а тъй също и нашето писмо ще те уведоми за това, ако ти неизменно поддържаш своето намерение и ако не искаш да се върнеш към предишното положение — да се даде клетвено уверение, че няма да се предприема нищо вредно от страна на българите, да съществува, както и понапред тъй нареченият *κομβέντον*[1], да ти се изпраща това, което ти се праща по обичая[2] от Ромейската империя до Дебелт и оттам чрез вашите хора да се донася до твое господство и ти да се задоволяваш от тия неща и да не искаш нищо повече, нито да пристигат при тебе царски хора и да ти се покланят. Като мислим така, подканяме те и те уговаряме да отклониш бедствието, което би постигнало и двата народа — ромеите и българите, — ако — не дай боже — мирът не бъде сключен; да пощадиш собствената си чест и слава и да не оставиш подир себе си повод за злословие и порицание на твоето славно име; да не бъдеш за бедствията, които ще постигнат и двата народа, предаден на проклятие от ония, които ще претърпят нещастия. Затова аз те увещавам и подканям като баща чедото си и като служител божи, ако и недостоен за божествената слава, тебе, прославения от бога, комуто ти ще бъдеш длъжен да дадеш отчет, ако извършиш нещо недостойно и противно на неговата свята воля.

᾿Επεὶ δὲ οἱ πρὸς σὲ μετὰ τοῦ ἡμετέρου γράμματος πρότερον καταλαβόντες, ὑποστρέψαντες, ἀπήγγειλαν πρὸς ἡμᾶς ὡς, εἰπόντων ἡμῶν ἐν τῷ γράμματι ὅτι ἀδύνατον χωρὶς χύσεως αἱμάτων τὴν σὴν ὁρμὴν γεγενῆσθαι, αὐτὸς ἀνθυπέφερες ὡς τοῦτό φαμεν, ὅτι μετὰ τῆς τῶν αἱμάτων χύσεως δυνηθήσῃ ἐπιτελέσαι τὸ ἐπιχείρημα, μεγάλως μὲν ἐξεπλάγημεν, μεγάλως δὲ ἠνιάθημεν ἐπὶ τοῖς τοιούτοις ῥήμασι, καὶ ἐθαύμασα εἴ γε ἀληθῆ λέγουσιν, ἀλλὰ μὴ τὸ ὅλον ἐστὶ

Тези пък, които по-напред бяха изпратени до тебе с нашето писмо, след връщането си ни съобщиха следното: понеже ние бяхме казали в писмото си, че походът ти не може да бъде извършен без кръвопролитие, ти си отговорил, че ние сме казали, че с кръвопролитие ще можеш да изпълниш предприятието си. Ние бяхме силно смаяни и много огорчени от тия думи, дори аз се учудих дали те говорят истината, не е ли всичко това лъжа и измислица на

[1] *Κομβέντον* е елинизираната латинска дума conventum = сговор, договор, т. е. Николай Мистик иска да каже: „да бъде в сила мирният договор“. За думата *κομβέντον* вж. *Златарски,* Писмата..., СбНУК, X, стр. 409 и бел. 2. — *Д. Моравчик,* Komenton — Печенежское или русское слово? (Acta Antiqua Academiae Scientiarium Hungaricae, t. I, fasc. 1—2, pp. 225—233). — *М. Андреев-Д. Ангелов,* История на българската държава и право, София 1958, стр. 80. [2] Византийската империя откупвала мира със Симеон чрез богати подаръци, които периодически му били изпращани. Срв. *Златарски,* Писмата..., СбНУК, X, стр. 409 и бел. 4.

ψεῦδος καὶ ἀνάπλασμα τῆς τῶν εἰπόντων προαιρέσεως. Πῶς μὲν ἐνεθυμήθης τοιοῦτον; πῶς δὲ τὸ ῥῆμα προσήνεγκας; Ἡμεῖς γάρ, πρὸς τὰς συμφορὰς ἀποσκοπήσαντες, ὅσαι καταλαμβάνουσι τοὺς μαχομένους καὶ στασιάζοντας, ἔφημεν ὡς ἀδύνατον μὴ οὐχὶ αἵματα χυθῆναι τῆς σῆς ἐξορμήσεως γινομένης καὶ τῆς φιλονεικίας κρατούσης. Οὗτοι δὲ οὐκ οἶδα, εἴτε ἀφ' ἑαυτῶν, εἴτε τῆς σῆς ἀκούσαντες γλώσσης, ἀπεφθέγξαντο λόγον, ὃν οὐχ ὅτι γε ἡμεῖς πρεσβῦται ὄντες καὶ ἀρχιερεῖς, εἰ καὶ ἀνάξιοι, ἀλλ' οὐδ' ἂν παῖς φθείγξασθαι βουληθείη. Τίς γὰρ οὐκ οἶδεν ὅτι, στάσεως ἀναμεταξύ τινων γενομένης, ἀνάγκη καὶ πληγὰς ἀκολουθῆσαι καὶ φόνους; Οὐ πάντως δὲ ἀνάγκη καὶ τοῦ σκοποῦ τυχεῖν ἐκεῖνον, δι' ὃν κεκινημένος τις αἴτιος ὑπῆρξε τῆς τῶν αἱμάτων ἐκχύσεως. Ἢ οὐχ ὁρᾷς τοὺς καθ' ἑκάστην γινομένους πολέμους; Ἐκστρατεύονται μὲν γὰρ οὗτοι ἐπιθυμοῦντες τὰ τῶν πολεμίων προσκτήσασθαι· ἀντεπεξέρχονται δ' ἐκεῖνοι ὑπὸ τῆς ἴσης ἐπιθυμίας τοῦ τὰ τῶν πολεμίων λαβεῖν, καὶ συμβαίνουσι μὲν πάθη παρ' ἑκατέροις, οἷα συμβαίνουσιν, οὐ πάντως δὲ κατ' ἐλπίδας ἀμφοτέροις ἐκβαίνει τὰ πράγματα, ἀλλ' οἱ μὲν ἐψεύσθησαν καὶ διέπεσον τῶν ἐλπίδων, τοῖς δὲ τυχὸν συνέπεσε παντελὴς ὄλεθρος καὶ ἀπώλεια.

Μὴ οὖν τὸν ἡμέτερον λόγον μήτε συ, τέκνον ἡμῶν, ἐπηρεάζῃς, μήτε τις ἄλλος, πρὸς τὸ οἰκεῖον αὐτὸν διαστρέφων βούλημα, ὑπολαμβανέτω λέγειν ἡμᾶς ὃ μήτε ἴσμεν, μήτε διενοήθημεν, μήτε εἰρήκαμεν· μᾶλλον δὲ ὃ μηδ' ἂν ἕτερός τις εἴποι, μὴ δυστυχῶν ἐσχάτην δυστυχίαν εἰς φρένας. Ὡς οὖν προέφημεν, σφόδρα τὴν ψυχὴν ἐπλήγημεν ἐπὶ τῇ τοιαύτῃ τῶν εἰπόντων ματαιολογίᾳ. καὶ εἴθε μόνον ἦν τὸ εἰρημένον ματαιολογία, ἀλλὰ μὴ καὶ ὑπόδικον κρίματος αἰωνίου! Εἰ γὰρ λόγος ἀργὸς οὐκ ἀνεύθυνος παρὰ τῷ βήματι τοῦ Χριστοῦ, πόσῳ μᾶλλον τοιαύτη συκοφαντία; Ἀλλ' εἰ μὲν οἱ πρὸς ἡμᾶς εἰπόντες ἐκ τῆς ἑαυτῶν καρδίας τοῦτο ἠρεύξαντο, οὐ τοσοῦτον λυποῦσιν, εἰ καὶ λυπηρὸν τὸ ῥηθέν. Διότι, φρονήματος ἀτελοῦς καὶ ἐσφαλμένου τυγχάνοντος, εἰκὸς καὶ ἀτελῆ καὶ ἐσφαλμένα καὶ διανοεῖσθαι καὶ φθέγγεσθαι· εἰ δὲ τῆς σῆς ἐστι σύνεσιν φιλούσης καὶ μεγαλοτίμου ἐξουσίας τὸ γέννημα, ἡμῶν μὲν ὁ θεὸς ἡμῶν φείσαιτο καὶ ῥύσαιτο ἀπὸ συκοφαντίας, σοὶ δὲ γένοιτο εὐμενὴς νῦν τε καὶ μετέ-

разказвачите. Как ти можа да помислиш това? Как можа да произнесеш тези думи? Като имахме пред вид бедствията, които постигат ония, които се сражават и враждуват, ние казахме, че не може да се мине без кръвопролитие, когато предприемеш похода си и започнеш враждата. Тези пък — не зная по собственото си ли подбуждение, или са чули от твоите уста — произнесоха тези думи, които не само ние, старец и архиерей, ако и недостоен, но дори и едно дете не би искало да произнесе. Па и кой не знае, че когато настане вражда между някои, то неизбежно ще последват удари и убийства? Но във всеки случай не трябва нарочно да търсим повод, поради който някой да излезе виновник на кръвопролитието. Нима ти не виждаш всекидневните войни? Едните захващат война с цел да завладеят имуществата на неприятелите, другите пък тръгват срещу тях със същото желание да заграбят имотите на неприятелите. И така настъпват нещастия за едните и другите, както обикновено, защото нещата не се развиват според надеждите на едните и на другите, но едните биват излъгани и губят надеждите си, а пък другите може би ги сполита пълно разорение и гибел.

И тъй нито ти, чедо мое, не извращавай думите ни, нито пък някой друг да стори това, като ги изопачава по желанието си, та да не се помисли, че ние говорим туй, което нито знаем, нито сме помислили, нито сме говорили, а още повече такова, което не би казал никой друг, освен ако не е изпаднал в крайно умопомрачение. Прочее, както казахме по-горе, ние силно бяхме смаяни при голямото пустословие на ония, които ни казаха това. О, да беше казаното само едно пустословие и да не беше подложено на вечно осъждане! Ако всяка празна дума не е безотговорна пред олтаря на Христа, то колко повече такава клевета. Но ако тези, които ни казаха, са изригнали това от сърцето си, то ние не толкова скърбим, макар казаното и да е тежко, защото, когато някоя мисъл е несъвършена и погрешна, то естествено е, че тя се замисля и изказва несъвършено и погрешно. Ако пък това е рожба на твоето високочтимо господство, което обича благоразумието, то нека нашият бог ни пощади и избави от клеветата, а към тебе бъде благо-

πειτα, καὶ διδοὺς ἐκεῖνα καὶ φρονεῖν καὶ λογίζεσθαι καὶ πράττειν, ἃ καὶ ἀνθρωπίνης μέμψεως ἐκτὸς δείξει, καὶ τῷ αἰωνίῳ κριτῇ ἀκατάκριτον παραστήσει. (VI, col. 55 D—60 C)

склонен както сега, тъй и в бъдеще, като ти дава възможност да обмисляш, да обсъждаш и правиш това, което ще бъде свободно от всяко човешко порицание и което ще те представи безукоризнен пред вечния съдия.

5. *Ad eundem*

Τῷ αὐτῷ

Ἐπλήγημεν τὴν καρδίαν πληγὴν ὀξυτάτην, τέκνον μου πολυέραστον, ὑπὸ δεινῆς ἀγγελίας, καὶ τοῦτο μὲν ὑπὲρ σοῦ καὶ τῆς σῆς δόξης, τοῦτο δὲ καὶ ὑπὲρ ἡμῶν ἐγράψαμεν ἃ προεγράψαμεν κινούμενοι πατρικῶς, καὶ νῦν μὲν παρακαλοῦντες, νῦν δὲ ἐπιτιμῶντες, οἷα τὰ πατρικὰ σπλάγχνα θαῤῥοῦντα καὶ συγκινούμενα οἶδε πρὸς τὰ τέκνα ποιεῖν. Ὥστε, εἰ ἐνέτυχες τοῖς προλαβοῦσι γράμμασι, τέκνον ἡμῶν, ἐγνώρισας πάντως νῦν ἐπὶ πλέον τὸ διάπυρον πρὸς σὲ φίλτρον ἡμῶν, καὶ ὅπως περικαιόμεθα σοῦ ἕνεκεν καὶ τῆς ἐν γῇ τιμῆς τε καὶ δόξης, καὶ τῆς ἐν οὐρανοῖς σωτηρίας καὶ ἀπολαύσεως. Ἀλλὰ ταῦτα μὲν ὑπὲρ τῶν προγεγραμμένων, νῦν δὲ διὰ τοῦ πεμφθέντος γράμματος πρὸς τὸ τέκνον ἡμῶν τὸν φιλόχριστον βασιλέα τὰ διοικηθέντα μεμαθηκότες, τῆς προκατασχούσης ἡμᾶς βαρυτάτης ἀνείθημεν θλίψεως, καὶ γράφομεν ἵνα καὶ σύ, τέκνον ἡμῶν, εἴ τι ἐπὶ τῇ πατρικῇ ἐπιπλήξει λελύπησαι πρότερον, τὴν λύπην ἀποῤῥίψῃς· τοῦτο εἰδὼς ὅτι καὶ ἡ ἐπίπληξις οὐκ ἦν μίσους ἀλλὰ πολλῆς ἀγάπης, καὶ οὐ μόνον πολλῆς, ἀλλὰ καὶ πατρικῆς ἀληθῶς· καὶ εἰ μὲν παρήμην αὐτὸς ἐγώ, ἄλλως ἂν τὴν σὴν ἐπισχεῖν σπουδὴν ἐποιησάμην ὁρμήν. Πῶς καὶ τίνα τρόπον; Λαμβανόμενος τῶν χειρῶν, περιπτυσσόμενος κεφαλὴν καὶ τὰ ὄμματα καὶ τὰ μέλη πάντα τοῦ ἐμοῦ υἱοῦ· φιλονεικοῦντος δὲ σου, πάντως ἂν ἡψάμην καὶ τῶν ποδῶν. Ἐπεὶ δὲ παρὼν αὐτὸς ἐγὼ κωλύειν οὐκ ἐδυνάμην, ἀνάγκη δὲ ἀπόντι μοι σπουδὴν ποιεῖσθαι ὑπὲρ τοῦ ἐπισχεθῆναί σε

До същия

Получихме, чедо мое многолюбимо, твърде тежък удар в сърцето си от ужасното известие[1]. Едно заради тебе и твоята слава и друго заради нас ти писахме онова, което ти написахме порано, подбуждани от бащинска любов, като ту те подканяхме, ту те заплашвахме, както обикновено постъпва с чедата си бащинското сърце, изпълнено с дързост и вълнение. Така, ако ти си прочел предишните ни писма, чедо наше, то ти още повече си можал да узнаеш нашата гореща любов към тебе и как ние горим от усърдие за тебе, за твоята чест и слава на земята и за спасението и блаженството ти на небесата. Но това се отнася до писаното вече от нас. Сега пък, когато узнахме от писмото, изпратено до нашия син, христолюбивия цар, за твоите разпоредби,[2] сърцето ми се облекчи от много тежката скръб, която го угнетяваше, и ти пишем,[3] та и ти, чедо наше, ако преди си се оскърбил от нашето отческо порицание, да забравиш това оскърбление, още повече като знаеш, че това порицание бе извикано не от омраза, а от голяма любов към тебе, и не само голяма, но и истински бащинска. И ако сам можех да бъда при тебе, непременно бих се опитал да удържа похода ти. Как и по какъв начин? Като хвана ръцете ти, прегърна главата и очите и цялото тяло на моя син. Ако пък и тогава ти би захванал да упорствуваш, то аз бих се хвърлил в краката ти. Но тъй като аз не можах да ти попреча лично, а за мене беше необходимо поне отдалеч да се опитам да

[1] Т. е. известието за похода на Симеон в края на юли 913 г. През август същата година той достигнал Цариград и го обсадил, като го обиколил с окопи от Влахерните до Златната врата, т. е. от Златния рог до Мраморно море. Вж. *Златарски*, Писмата..., СбНУК, X, стр. 413. — *Същият*, История, 1, 2, стр. 364—365. [2] Както се каза в по-горната бележка, през август същата година Симеон обсадил Цариград, но след като видял, че не ще може да го превземе, той изпратил писмо до византийския император с предложение за започване на мирни преговори. Вж. *Златарски*, Писмата..., СбНУК, X, стр. 413. [3] Това писмо било написано през втората половина на август 913 г. Вж. *Златарски*, Писмата..., СбНУК, X, стр. 413.

τῆς ὁρμῆς, ἐδέησεν ἡμῖν καὶ πρὸς ἐπίπληξιν καταστῆναι οἷα δὴ πατρί, καὶ τῷ θαῤῥεῖν ἔχοντι ἐπιπλήττειν σοι, τέκνον ἡμῶν, οὐ μόνον διότι τέκνον ὑπάρχεις, ἀλλὰ διότι καὶ λίαν φιλεῖς· πεφύκασι γὰρ οἱ λίαν φιλοῦντες ἡδέως τὰς ἐπιπλήξεις τῶν φίλων φέρειν· πόσῳ δὲ μᾶλλον τέκνα πατέρων, καὶ τότε τῆς πλήξεως ὑπὲρ τιμῆς καὶ σωτηρίας γινομένης τῶν ἐπιπληττομένων; Ἔχει δὲ καὶ ἄλλως τῶν φρονίμων ἀνθρώπων οὕτως ἡ φύσις τὸ φέρειν ἡδέως τὰς ἐπιτιμήσεις τῶν φίλων· διά τι; Ὅτι τῶν μὲν ἐχθρῶν οὐδεὶς ἐπιτιμήσει κακῶς τινι πράττοντι, ἀλλὰ μᾶλλον, εἰ δύναιτο, καὶ πίστεως ἀξιοῖτο, αὐτὸς ὑποθήσει τὰ χείρω· λείπεται οὖν τοὺς φίλους ἐπιτιμᾶν· καὶ διὰ τοῦτο, καθὼς ἔφημεν, χαίρουσιν, οὐ λυποῦνται, ὅταν ἐπὶ τὰ χείρω φέρωνται οἱ παρὰ τῶν φίλων ἐπιτιμώμενοι. Εἴτε οὖν ὡς φιλοῦντος ἐπιτιμήσεις, εἴτε ὡς πατρὸς δεξάμενος, πάντως χαίρειν ὀφείλεις· πεποίθαμεν γὰρ ἐν Θεῷ τῷ πάντων Σωτῆρι καὶ ἄρχοντι καὶ Δεσπότῃ ὡς ὀνήσουσιν, οὐ βλάψουσι τὰ γραφέντα, καὶ τὴν ἐν τῇ εὐημερίαν δωρούμενα, εἰ προσέξειν αὐτοῖς ἐθελήσεις, καὶ τὴν οὐράνιον δόξαν, ἧστινος χωρὶς τὰ ἐν γῇ δοκοῦντα καλὰ καὶ δόξα καὶ ἀρχὴ καὶ πᾶσα ἐξουσία χαλεπὰ καὶ ἐπώδυνα τῷ κτησαμένῳ γίνεται, καθ' ὅτι διὰ τούτων ἡ ἐκεῖθεν ἀπομειοῦται ἀπολαύσις· ἧς γένοιτό σε μὴ ἐκπεσεῖν, καὶ ἣν παράσχοι σοι Χριστὸς ὁ Θεὸς ἡμῶν πρεσβείαις τῆς παναγίας ἀχράντου Δεσποίνης ἡμῶν τῆς ἐλπίδος τῶν Χριστιανῶν καὶ σωτηρίας, καὶ πάντων τῶν ἁγίων. (VII, col. 60 D—61 C)

удържа похода ти, то се принудих да прибягна до порицания, както подобава на баща, който смее, чедо наше, да те порицае, не само за това, че ти си ми чедо, но и за това, защото много те обичаме, защото тези, които силно обичат, са способни благосклонно да понасят порицанията на приятелите си, а още повече порицанията на родители към чеда, особено когато порицанието се отнася до честта и спасението на порицаваните. Освен това природата на разумните хора е такава, че тя понася благосклонно укорите на приятелите. Защо? Защото никой от враговете не би порицавал този, който постъпва лошо, а, напротив, ако би могъл и ако би придобил доверието му, сам би го насочил към по-лошото. И тъй на приятелите се пада да го укоряват. И затова, както ние казахме, те се радват, а не скърбят, когато тези, които се стремят към лошото, биват порицавани от приятелите. Прочее, когато биваш порицаван било от приятел, било от баща, ти във всеки случай трябва да се радваш. Ние в името на бога, спасителя и управителя и владетеля на всичко сме убедени, че нашите писма ще принесат полза, а не вреда и ще ти даруват благоденствие на земята — ако пожелаеш да им обърнеш внимание, — както и небесна слава. Без тази слава всичко, което на земята се показва добро и славно, всяка власт и мощ за този, който ги е придобил, стават тежки и мъчителни дотолкова, доколкото заради тях се намалява и небесното блаженство. Дано ти да не се лишиш от него, с което да те награди Христос, бог наш, чрез молитвите на пресветата и пречиста владичица наша — надежда и спасение на християните — и чрез молитвите на всички светии!

6. Ad eundem

Τῷ αὐτῷ

Ἃ πολλάκις τέκνον ἡμῶν, μετὰ συνοχῆς καρδίας, μετὰ δακρύων ἐγράψαμεν, ταῦτα καὶ νῦν σοι πενθοῦντες καὶ δακρύοντες γράφομεν. Πῶς γὰρ οὐχὶ πενθήσω; Πῶς δὲ οὐ δακρύσω καὶ κόψομαι ὁ ταπεινὸς ἐγώ, καὶ ἀρχιερατεύειν Θεῷ δι' οὓς οἰκτιρμοὺς ἐκεῖνος οἶδε καταξιωθείς, ὁπότε καὶ ἄλλος ὁστισοῦν μὴ μόνον ἐν πόλει διατρίβων, ἀλλὰ καὶ τῶν ἀνθρώπων κε-

До същия

За това, за което тъй често, чедо наше, със съкрушение на сърцето, със сълзи ти писахме, за него и сега със скръб и плач ти пишем. Та как да не тъжа? Как да не плача и да не се измъчвам аз, смиреният, който съм удостоен да слу́жа на бога — поради колко страдания, той знае, — когато и всеки друг, който живее не само в някой град, но и далеч от хората и който пребивава

χωρισμένος, καὶ ἐν ὄρει δίαιταν ἔχων καὶ ἐρημίᾳ τοιαῦτα πράγματα διακούων, οἷα ἐν τοῖς παροῦσι συμπέπτωκε καιροῖς, οὐ δύναται χωρὶς δακρύων τὴν ἀκοὴν ὑποδέξασθαι; πῶς οὐ δακρύσω, ὅταν λυπῇ μὲν τὰ πράγματα θεὸν τὸν τῶν καλῶν αἴτιον, εὐφραίνῃ δὲ τὸν πατέρα τῆς κακίας, καὶ τὸν δημιουργὸν τῶν σκανδάλων διάβολον; Ἢ οὐκ ἔστι, τέκνον ἐμὸν, σκάνδαλον χαλεπώτατον ἡ νῦν γεγεννημένη μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἀντὶ τῆς φιλίας, ἀντὶ τῆς εἰρήνης, ἀντὶ τῆς ἑνώσεως ἔχθρα καὶ διάστασις καὶ δυσμένεια; Ἦν ποτε καιρὸς ὅτε διίσταντο Ῥωμαῖοι καὶ Βούλγαροι, ὅτε πρὸς ἀλλήλους μεθ᾽ ὅπλων ἐπῄεσαν, διατειχίζοντος αὐτοὺς τοῦ μεσοτοίχου τῆς ἔχθρας, ὃ ἡ κατέχουσα ὑμᾶς ἀσέβεια ὑπέβαλεν· θεοῦ δὲ τοῦ τὸν κόσμον ἀγαπήσαντος, τοῦ τὸ οἰκεῖον πλάσμα διὰ τοῦ σταυροῦ καὶ τοῦ θανάτου τοῦ Υἱοῦ αὐτοῦ πρὸς ἑαυτὸν ἐπιστρέψαντος, καὶ ὑμᾶς ἐλλαμφθῆναι τῷ φωτὶ τῆς ἐπιγνώσεως αὐτοῦ εὐδοκήσαντος, καὶ καταλύσαντος μὲν τὸ μεσότοιχον τῆς ἔχθρας, προσκεκληκότος δὲ ὑμᾶς εἰς τὸν φωτισμὸν τῆς δόξης αὐτοῦ, καὶ συνάψαντος Ῥωμαίοις ὥσπερ τῇ πίστει, οὕτως καὶ τῇ ἀγάπῃ, κατήργητο μὲν ἡ ἔχθρα, πέπαυτο δὲ τῶν ὅπλων ἡ κίνησις, καὶ τὴν διάστασιν ἡ ἀγάπη, καὶ ἡ ἕνωσις, καὶ ἡ πρὸς ἀλλήλους οἰκείωσις διεδέχετο.

Νῦν δὲ τι; Φεῦ τῆς τοῦ πονηροῦ δαίμονος ἐπηρείας! μετὰ τοσούτων χρόνων παρέλευσιν, ἀφ᾽ οὗ τῆς τοιαύτης ἠξιώθητε χάριτος, μετὰ μακρὰν οὕτως ἀγάπην, μετὰ πολιὰν οὕτως φιλίαν, χώραν εὑρηκὼς ὁ πονηρὸς δαίμων, πάλιν διάστασιν, πάλιν ἔχθραν ἀντὶ τῆς φιλίας καὶ τῆς ἑνότητος ἐπεισήγαγε, καὶ οὐκ ἔφριξεν ὁ παμμίαρος ὅσον ἐπ᾽ αὐτῷ τοσοῦτον ἔργον θεοῦ τῆς Ῥωμαίων καὶ Βουλγάρων ἑνώσεως καταλύειν ἐπιχειρεῖν. Οὐδὲ τὸν χρόνον ἐδυσωπήθη, οὐδὲ τὴν ὥσπερ τὴν ἀνάκρασιν ἐκ τοσούτου χρόνου ἀμφοτέρων τῶν ἐθνῶν, ἀλλ᾽ ἐφιλονείκησε καὶ φιλονεικεῖ ταῦτα μὲν παρ᾽ οὐδὲν θέσθαι, πρὸς δὲ τὴν φίλην αὐτῷ δυσμένειαν, καὶ ἧς αὐτὸς ἐχρημάτισε πατὴρ, Ῥωμαίους καὶ Βουλγάρους συγκρούων, τὴν μακαρίαν καὶ θεοποιὸν διαλύειν ἀγάπην. Ταῦτά μοι, τέκνον ἐμὸν, πένθους καθ᾽ ἑκάστην ὑπόθεσις γίνεται· ταῦτά μοι ἄρτον τὰ δάκρυα ποιεῖ. Διὰ τοῦτο καὶ πρότερον παρῄνουν, ἐδυσώπουν, παρεκάλουν σεαυτοῦ γενέσθαι, καὶ φείσασθαι δὲ καὶ τῶν κοινῶν συμφορῶν, ὅσας ἀνάγκη Ῥωμαίους καὶ Βουλγάρους ἐκ τῆς τοιαύτης ἔχθρας καὶ δια-

в планината и пустинята, като чува за тези работи, които стават сега, не може без сълзи да приеме този слух? Как да не плача, когато тези работи оскърбяват бога, причина на [всички] добрини, а радват бащата на злото, създателя на съблазните, дявола? Нима, чедо мое, не са най-страшната съблазън съществуващите сега между ромеи и българи вражда, омраза и несъгласие вместо дружба, мир и единение? Било е време, когато ромеи и българи не са живели в съгласие, когато с оръжие са се нападали помежду си, тъй като тях ги разделяла преградата на враждата, издигана от нечестието, което господствувало над вас.[1] Но откак бог, който е възлюбил света и е привлякъл към себе си своето създание чрез кръста и смъртта на своя син, благоволи да посвети и вас чрез светлината на познанието за него, като разруши преградата на враждата, призова ви към светлината на своята слава и ви съедини с ромеите както по вяра, тъй и по любов премахна се враждата, прекрати се движението на оръжията и разединението се замени с любов, единение и взаимно общуване.

А какво е сега? О козни на злия демон! След изтичането на толкова години откакто се удостоихте с такава милост, след толкова продължителна любов, след толкова стара дружба злият демон намери случай и отново посея разединение и омраза вместо приятелство и единство. Нечестивецът не се стресна — доколкото това от него зависи, — като се опитваше да унищожи това толкова велико божие дело — единението на ромеи и българи! Той не се уплаши нито от времето, нито от толкова продължителното, така да се каже, смесване между двата народа, но упорито настояваше и настоява, щото всичко това да се обърне в нищо. Поради любимата си вражда, на която той е баща, той желае, като сблъска ромеи и българи, да унищожи [тяхната] щастлива и създадена от бога дружба. Всичко това, чедо мое, е причина на моята всекидневна печал. Това превръща сълзите ми в хляб. Затуй аз и преди те наставях, умолявах и призовавах да дойдеш на себе си, да избягваш общите нещастия, които непременно ще сполетят ромеи и българи поради тази вражда и раздор.

[1] Т. е. когато българите са били още езичници.

στάσεως συναντήσειν· καὶ νῦν δὲ τὰ ὅμοια καὶ παραινῶ καὶ δυσωπῶ, τέκνον ἐμόν· ἀναμνήσθητι τῆς τοῦ Κυρίου παραινέσεως, ἣν ἐκεῖνός φησι „Συμφέρει τῷ σκανδαλίζοντι ἕνα τῶν μικρῶν, μύλον ὀνικὸν δεδέσθαι περὶ τὸν τράχηλον, καὶ εἰς τὴν θάλασσαν ἐῤῥίφθαι“. Πρόσχες νουνεχῶς· εἰ τῷ σκανδαλίζοντι ἕνα τῶν μικρῶν τοῦτο συμφέρει, τί ἐροῦμεν περὶ τοσούτου σκανδάλου ὃ οὐ πρὸς ἕνα διαβαίνει, οὐδὲ πρὸς πέντε καὶ δέκα καὶ ἑκατὸν, ἀλλὰ τίς ἂν ἀριθμήσοι τὸ πλῆθος; οὐδὲ πρός τινα τῶν μικρῶν, ἀλλὰ πρὸς βασιλείαν τὴν ἐπάνω πάσης ἐπιγείου ἀρχῆς, ἣν μόνην ἐν γῇ ὁ τοῦ παντὸς ἔπηξε βασιλεύς. Ἐννόει, τέκνον ἡμῶν, τίνος ὁ λόγος· οὐκ ἄγγελος ταῦτα λέγει, οὐκ ἄνθρωπός τις τῶν χάριν θείαν πλουτούντων, οὐκ ἀπόστολος, οὐ προφήτης, ἀλλ' αὐτὸς ὁ μέλλων πᾶν το πλάσμα συναγαγεῖν, καὶ τῷ ἑαυτοῦ φρικτῷ βήματι παραστῆσαι. Ἐκείνην ἀναλογίζου μοι τὴν ὥραν, ὅτε τοὺς λόγους τούτους εἰς τὸ μέσον προσενεγκὼν, τὸ μέγα τοῦτο σκάνδαλον τῇ ἑαυτοῦ δοκιμάσει δικαιοσύνη. Τί ἐροῦμεν τότε; Τί ἀπολογησόμεθα; Ποίαν ἀφορμὴν προβαλούμεθα εἰς ἀπολογίαν τῆς φρικτῆς κατακρίσεως; Εἶτα ἐὰν καὶ τοῦτο προενέγκῃ τὸ „Τί ὠφελήσει ἄνθρωπον ἐὰν τὸν κόσμον ὅλον κερδήσῃ, τὴν δὲ ψυχὴν αὐτοῦ ζημιωθῇ;“ τί ποιήσομεν; Τί γενοίμεθα; Τίνα παράκλησιν εὑρήσομεν; Ἐγὼ, τέκνον ἐμὸν, καὶ πρὸ τῆς ὥρας ἐκείνης ταῦτα νῦν λέγων ὅλος πληροῦμαι φρίκης, ὅλος ἔντρομός εἰμι. Σὺ δὲ οὐκ οἶδα εἰ μὴ φρίττεις καὶ τρέμεις συνετὸς ὢν καὶ φρόνιμος· καὶ ὅσον τῆς ἐπιγείου δόξης ὀρέγῃ τῆς νῦν μὲν ἀνθούσης, αὔριον δὲ μαραινομένης, πολλῷ πλέον τῆς ἐπουρανίου καὶ ἀμαράντου.

Ἀναγκάζομαι, τέκνον ἐμὸν, καὶ ὑπὸ τῆς συνεχούσης με ἀθυμίας καὶ ὑπὸ τῆς περὶ σὲ φιλίας ἐπιπλέον τὸν λόγον ἐκτείνειν· καὶ ἀνεπαχθῶς ἄκουε. Ἔθετο ἑκάστῳ ἔθνει ὁ θεὸς ὥσπερ ὅριον οὕτως καὶ τιμὰς καὶ κλήσεις· καὶ ὅσοι μὲν ἐνέμειναν ταῖς παρ' αὐτοῦ δεδομέναις, οὗτοι καὶ διήρκεσαν· ὅσοι δὲ τῶν μὲν θείων δωρεῶν καὶ τιμῶν ὥσπερ ἠλόγησαν, ἐφιλονείκησαν δὲ πλέον τι παρ' ἑαυτῶν προσλαβεῖν οὗτοι, κἂν ἐπὶ μικρὸν ἔδοξαν εἰς αὔξησιν προελθεῖν, ἀλλ' οὐ πολὺ τὸ ἐν μέσῳ καὶ πάντων ἐξέπεσον. Καὶ, εἰ βούλει, ἔξεστιν ἡμῖν τοῦτο ἐκ τῶν οἰκείων συνορᾶν πραγμάτων· καὶ σκόπει

И сега за същото те наставям и умолявам, чедо мое! Спомни си наставлението на господа, който казва: „Оня, който съблазни един от тези малките, по-добре е да се окачи на врата му воденичен камък и да се хвърли в морето.“ Помисли разумно: ако това се отнася към този, който съблазнява „един от тези малки“, то какво пък ние трябва да кажем за такава съблазън, която засяга не едного, не пет, не десет, не сто души, но безбройно множество? И не кого да е „от малките“, а царската власт, която стои по-горе от всяка земна власт и при това е едничката, която е установил на земята царят на вселената. Помисли си, чедо наше, чии са тези думи. Не ангел говори това, не някой човек, изпълнен с божия благодат, не апостол, не пророк, а самият онзи, който ще събере всичките си създания и ще ги постави пред страшния си престол. Помисли си за онзи час, когато той, като изтъкне пред всички тези думи, ще разследва тази голяма съблазън чрез своето правосъдие. Какво ще кажем тогава? С какво ще отговорим за защита? Какъв довод ще приведем за оправдание пред страшната присъда или ако той произнесе следващото: „Каква полза ще има човек, ако спечели цял свят, а душата си загуби?“ Какво ще правим? Какво ще бъде с нас? Какво утешение ще намерим? Аз, чедо мое, като говоря това още преди този час, цял се обземам от ужас, цял треперя! И не разбирам как ти като благоразумен и разсъдителен не се ужасяваш и не трепериш! Ако пък се стремиш толкова към земната слава, която днес цъфти, а утре увяхва, то колко повече трябва да се стремиш към небесната слава, която не увяхва.

Скръбта, която ме обзема, и моята любов към тебе ме принуждават да удължавам още повече писмото си. Изслушай го без досада. Бог е дал на всеки един народ както място, тъй и почести и звания и ония, които се задоволяват с дадените от бога почести, те се запазват, а онези, които пренебрегват божиите дарове и почести и упорито сами настояват да придобият нещо повече, те, ако и да им се струва, че за малко време са се възвеличили, обаче не след много веднага падат сред всички. И ако искаш, ние имаме възможност да видим това по собствените си дела. Обърни внимание на думите ми: ако

ὃ λέγω. Εἴ τις ἡμετέρων ὑποχειρίων, τιμῆς τινος ἀξιωθεὶς παρ᾽ ἡμῶν, μὴ ταύτην ἀγαπᾷ μηδὲ στέργει, ἀλλὰ καὶ φιλονεικεῖ πλέον τι ἑαυτῷ περιθέσθαι, οὐκ ἀγανακτήσομεν, οὐ μισήσομεν, οὐκ ὀργιούμεθα κατ᾽ αὐτοῦ; Εἶτα ἡμεῖς μὲν, ἄνθρωποι ὄντες θνητοὶ καὶ ἐπίκηροι, ἣν ἂν δοίημεν ἀνθρώπῳ ἴσῳ τὴν φύσιν, ἐὰν μὴ ταύτην ἀγαπήσῃ, μηδὲ εὐχαρίστως ἐμμείνῃ τῇ δωρεᾷ, ἀλλὰ παρ᾽ ἑαυτοῦ προσφιλονεικήσῃ, καὶ περιεργάσηται καινότερός τις εἶναι καὶ δοκεῖν, ἀγανακτήσομεν παντελῶς τὴν δεδομένην αὐτῷ παρ᾽ ἡμῶν τιμὴν, καὶ ἄτιμον μᾶλλον ποιήσομεν· ἀνθ᾽ ὧν ἐνόμισεν οἰκείᾳ περινοίᾳ πλέον τοῦ δέοντος ἑαυτὸν τιμᾶν· τὸν δὲ θεὸν οὐχ οὕτως ὑποληψόμεθα τοῖς μὴ βουλομένοις ἐμμένειν τῇ παρ᾽ αὐτοῦ δεδομένῃ τούτοις τιμῇ ἕξειν; οὐδ᾽ ὀργιεῖσθαι ἂν τοὺς ὅρους ὑπερβαίνειν βουληθεῖεν τῆς δόξης καὶ τῆς τιμῆς οὓς αὐτὸς ἐδωρήσατο; Μὴ ὑπολάβῃς ταῦτα σοφιστικῶς γράφειν ἡμᾶς· οὔτε γὰρ σοφιστὴς ἐγὼ οὔτε πιθανολόγος, ἀλλ᾽ εἰ καὶ ἀνάξιος τοῦ ἁγίου θυσιαστηρίου λειτουργὸς, καὶ τῆς πάντων σωτηρίας ὑπερευχόμενος· καὶ ὑπολαμβάνω ὡς, ἐμαυτὸν πείθω ἀληθῶς, ὅτι μὴ τοῖς τοιούτοις ἐπιχειρήμασιν ἀρέσκεται ὁ θεός.

Χωρὶς δὲ τούτων κἀκεῖνό σε δεῖ, τέκνον ἡμῶν, διενθυμεῖσθαι, ὅτι πέρυσιν, εἰς ὄψιν ἀλλήλων καταστάντων ἡμῶν, ἐπηγγείλω πάντα εἰρηνικὰ, πάντα φιλίας καθαρᾶς· καὶ ὡς ἀπό γε τοῦ νῦν λυθήσεται μὲν πᾶσα ἔρις, πᾶσα πρόφασις σκανδάλων, παύσεται δὲ πᾶσα στάσις, καὶ βραβευθήσεται σὺν Θεῷ μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων εἰρήνη ὄντως σταθηρὰ, καὶ οἷα οὔπω πρότερον γέγονεν, οὐδ᾽ ἐπειράθησαν οἱ πρὸ ἡμῶν ἐν βίῳ γεγονότες. Ποῦ μοι, τέκνον ἐμὸν, ἡ τότε γλυκεῖα διάθεσις; Τί γέγονεν ἡ τῆς εἰρήνης ὑπόσχεσις; Ποῦ ἐκεῖνα τὰ ῥήματα οἷς ἔχαιρε μὲν Θεὸς, ἔχαιρον δὲ οἱ ἀκούοντες ἄνθρωποι; Ποῦ ἐχώρησαν αἱ χρησταὶ ἐλπίδες ἃς εἴχομεν ἀδιστάκτως, ὡς οὐκέτι μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἰσχύσει ὁ πονηρὸς δαίμων ὑποβαλεῖν σκάνδαλον, οὐδὲ συνταράξει τὴν καθαρὰν αὐτῶν

някой от нашите поданици, удостоен от нас с някоя почест, не я харесва и не е доволен от нея, а упорито се стреми да придобие нещо повече, то нима ние няма да възнегодуваме и няма да го намразим и не ще се разгневим срещу него? После даже ние, смъртните и немощните, ако окажем почест на човек, равен по природата си [на нас], и ако той не бъде доволен от нея и не остане благодарен от нашия дар, а захване от себе си упорито да настоява и да се мъчи прекомерно да бъде и да изглежда нещо повече, ние [казвам аз] ще възнегодуваме силно за дадената нему от нас чест и по-скоро ще го лишим от нея, затова защото той по собственото си решение е намислил да почете себе си повече, отколкото трябва. Нима не ще предположим, че бог няма да се отнесе също тъй към ония, които не желаят да се задоволят с дадената им от бога чест, нима не ще се разгневи на ония, които се стремят да преминат границата на славата и честта, която той им е дал? Не мисли, че ние пишем това като някакъв софизъм, защото аз не съм нито софист, нито пък изкусен в убеждаването, но съм, ако и недостоен, служител на светия олтар и усърдно се моля за спасението на всички. Аз мисля искрено, че такива предприятия не са угодни богу.

Освен това ти, чедо наше, трябва да обсъдиш следното: миналата година, когато ние се срещнахме лично един с друг,[1] ти ми обеща пълен мир и искрена дружба и ме уверяваше, че от сега нататък се премахват всякаква разпра, всякакъв повод за съблазън, че ще престане всяко разединение и ще се установи с божия помощ между ромеите и българите наистина здрав мир, какъвто преди не е имало и какъвто не са знаели ония, които са живели преди нас. Где остана, чедо мое, онова предобро разположение? Какво стана с обещанието за мир? Где са ония думи, от които се възрадва бог, както и хората, които са ги чули? Къде отидоха добрите надежди, които ние несъмнено имахме, че лукавият демон не ще бъде повече в състояние да всее съблазън между ромеи и българи, нито да смути чистата им

[1] Става дума за срещата между цар Симеон и патриарх Николай Мистик в Цариград по време на преговорите за мир в края на август 913 г. За подробности около тая среща вж. *Златарски*, Писмата..., СбНУК, X, стр. 413—417. — *Снеговият*, История, I, 2, стр. 366—374.

ἀγάπην; Σκόπει φρόνιμος ὢν χάριτι Θεοῦ, καὶ ὀξὺς συνιδεῖν τὸ καλὸν, τὰς μαθοδείας τοῦ πονηροῦ· πολύτροπός ἐστι καὶ πάσῃ μηχανῇ κατὰ τῆς σωτηρίας τοῦ θείου πλάσματος ἀγωνίζεται· φθονεῖ μὲν παντὶ ἀνθρώπῳ, πλέον δὲ τοῖς μειζόνως χάριν λαβοῦσι παρὰ Θεοῦ. Εἶδεν οὖν καὶ σὲ, τέκνον ἐμὸν, φρονήσει, συνέσει, χρηστότητι, ἐπιεικείᾳ, καὶ ἄλλοις πλείστοις καλοῖς φιλοτιμηθέντα παρὰ Θεοῦ, καὶ πρὸς φθόνον ὀξύτερον κατὰ σοῦ ἀναφλέγεται, καὶ βούλεται πάσῃ μηχανῇ τὸν κατὰ σοῦ φθόνον πληροφορήσειν. Ἀλλὰ μὴ λανθανέτω σε ἡ ἐκείνου ἐπιβουλὴ, μᾶλλον δὲ ὅσῳ τοῖς καλοῖς πλουτεῖς, τοσούτῳ ταπεινότερος γίνου, ἵνα τὴν ἐκείνου ἐπιβουλὴν διαφύγῃς. Ἐδόθη σοι ἐπὶ γῆς τιμὴ καὶ δόξα παρὰ Θεοῦ, σπούδασον ἐπὶ ταύτῃ καὶ τὴν οὐράνιον προσλαβεῖν· προσλήψῃ δὲ ταπεινοφρονῶν, μὴ μετεωριζόμενος, μὴ τὴν καρδίαν ὑψούμενος, μὴ ὑπὲρ ὃ προσῆκεν ἐπαιρόμενος, μὴ σπονδὰς καὶ ὅρκια παραβαίνων. Ἃ ἔθεντο μὲν οἱ πατέρες σου πάλαι καὶ πρόπαλαι, ἔθου δὲ καὶ αὐτὸς χθὲς καὶ πρώην. Εἴ τις ὅρκον τὸ σὸν ὄνομα ποιήσαιτο, εἶτα παραβῆναι τὸν ὅρκον τολμήσας, ἀπαραιτήτως θάνατον ὑπέχει τὴν δίκην· ὁ δὲ τὸν πάντων Θεὸν καὶ Δημιουργὸν καὶ Δεσπότην εἰς ὅρκον προθέμενος, εἶτα παραβάτης γινόμενος, οὐ μυρίων θανάτων ἔνοχος; Ἀλλὰ τί; Διότι μὴ παραυτίκα ὑπὸ φιλανθρωπίας καὶ ἀφάτου μακροθυμίας ἐπάγει τὴν δίκην, διὰ τοῦτο καταφρονήσωμεν; Ἀλλ' αὐτὸ τοῦτο, οἶμαι, χαλεπωτέραν ἡμῖν τὴν ποινὴν ἐποίσει· καὶ ὅσῳ πλέον μακροθυμεῖ, τοσοῦτον ἀλγεινοτέραν.

Ἀλλὰ γὰρ ἴσως τὸ γράμμα πλέον ἐξέτεινα· διὰ τοῦτο, ἓν εἰπὼν, σιωπήσομαι. Οὐκ εἰμὶ προφήτης οὐδὲ τῶν προορᾶν τὰ μέλλοντα χάριν λαβόντων, ὡς δὲ λειτουργὸς τοῦ ἀχράντου θυσιαστηρίου, εἰ καὶ ἀνάξιος, καὶ ὡς πατὴρ τέκνου τὴν σωτηρίαν κηδόμενος, προασφαλίζομαι καὶ προλέγω. Ἔα τὴν τῶν σκανδάλων αἰτίαν·

любов? Помисли си ти като човек благоразумен по милост божия и ясно разпознаващ добродетелта от козните на лукавия, който е хитър и всякак се бори против спасението на божията твар. Той завижда на всеки човек, а още повече на ония, които са получили в по-голяма степен божията милост. И тъй той вижда, че и ти, чедо мое, си надарен от бога с разум, разсъдителност, добрина, снизходителност и други много добри качества, и затова той пламва с още по-голяма завист към тебе и иска по всякакъв начин да задоволи своята завист срещу тебе. Но нека да не се скрият от тебе неговите козни и колкото по-големи качества ти обладаваш, толкова по-смирен бъди, за да избегнеш козните му. Дадена ти е от бога чест и слава на земята, постарай се да придобиеш заедно с нея и небесната, а това ти ще получиш, като бъдеш смирено мъдър, като не се възгордяваш и бъдеш надменен в сърцето си, като не се издигаш повече, отколкото подобава, и не нарушаваш договорите и клетвите, които са утвърдили твоите отци още преди и по-преди и които ти сам неотдавна потвърди. Ако някой се закълне в името ти и после дръзне да наруши клетвата, той неизбежно ще бъде наказан със смърт. А не заслужава ли хиляди пъти повече да бъде наказан със смърт оня, който се е заклел в името на бога и твореца и господаря на всичко и след това наруши клетвата? Но какво? Нима ние ще злоупотребяваме с това, че бог по своето човеколюбие и неизказано дълготърпение не им налага изведнаж наказание? Мисля, че той ще ни подложи на по-тежко наказание и колкото повече той търпи, толкова по-мъчително ще бъде то.

Но може би аз твърде много съм разтегнал писмото си и заради това ще кажа още едно нещо и ще млъкна. Аз не съм пророк и не съм от тези, които са получили дарба да предвиждат бъдещето, но като служител, ако и недостоен, на пречистия жертвеник и като баща, който постоянно се грижи за спасението на сина си, предпазвам те и предсказвам. Остави настрана причините за съблазни;

ἀπόστηθι τοῦ φρονήματος δι' οὗ ἡ κατάλυσις ἐνεργεῖται τῆς οἰκοδομῆς τοῦ ἁγίου Πνεύματος, ἥτις ἐστὶν ἡ ἀναμεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἐπὶ τοσοῦτον χρόνον κατασχοῦσα εἰρήνην καὶ ἀγάπη· ἐπάνελθε πρὸς τοὺς ἐξ ἀρχῆς λογισμούς, μεθ' ὧν χάριτι Θεοῦ εὐδαιμόνως χωρὶς δακρύων καὶ συμφορῶν ἑκάτερον ἔθνος ἐπολιτεύετο· ἐπεί, εἴ τι ἐγὼ συνίημι τῆς τοῦ Θεοῦ ἐγέρσεως, ἀναστήσεται εἰς ἐκδίκησιν, καὶ οὐδεὶς ἔσται ὁ ἐκ τῶν χειρῶν αὐτοῦ ἐξαιρούμενος. (VIII, col. 61 C — 68 C)

отстъпи от своя помисъл,[1] с който се разрушава строителството на светия дух, сиреч мира и любовта, които съществуваха толкова дълго време между ромеи и българи. Върни се отново към предишните си мисли, благодарение на които единият и другият народ по милост божия щастливо, без сълзи и бедствия, живееха. Понеже ако аз колко-годе имам понятие за наказанието божие, то той ще се вдигне за отмъщение и никой не ще бъде в състояние да те изтръгне от ръцете му.

7. *Ad eundem*

Τῷ αὐτῷ

Τίνας ποταμοὺς εὑρήσω δακρύων; Ποίους ἐπὶ τοῖς ἐμοῖς πάθεσιν ἀναλάβωμαι θρήνους; Ἐμὰ γὰρ τὰ πάθη ὅσα τὸν λαὸν τοῦ Χριστοῦ καὶ Θεοῦ μου κατέλαβε, τὴν ἁγίαν αὐτοῦ περιπόθητον κληρονομίαν, δι' ἧς ὑπέμεινε τὸν σταυρὸν καὶ τὸν θάνατον. Πῶς οὖν ἀποκλαύσωμαι ταῦτα; Ἢ τίνα εὕρω τῆς ἐμῆς ὀδύνης καὶ τῶν σπαραγμῶν τῆς καρδίας παράκλησιν; Ὢ τῆς κακίας τοῦ ἀπ' ἀρχῆς μισανθρώπου, τοῦ τὸν πικρὸν φθόνον κατὰ τοῦ τῆς θείας παλάμης πλάσματος ἐξοπλίσαντος, τοῦ ἀεὶ τὸν ἄνθρωπον πρὸς ὄλεθρον καὶ ἀπώλειαν ἄγοντος. Ἀπ' ἀρχῆς γὰρ ὁ μιαρός, ὁ ἀρχέκακος, ἐκμανεὶς κατὰ τοῦ ἀνθρωπίνου γένους οὐ παύεται μέχρι καὶ σήμερον, μᾶλλον δὲ μέχρις ἂν ἐπὶ γῆς πολιτεύηται ἄνθρωπος, ἀνασοβῶν καὶ κατ' ἀλλήλων ἀνεγείρων· ἵνα, ἐπεὶ αὐτὸς μὴ συγκεχώρηται προφανῶς ἐπιβουλεύειν ἡμῖν, αὐτοὶ δι' ἀλλήλων τὰς ἐπιβουλὰς καὶ τὴν ἀναίρεσιν διαπράττωμεν· ἐκ ταύτης τῆς ἀπ' ἀρχῆς μανιώδους αὐτοῦ προαιρέσεως, καὶ ἀδελφοὶ ὅπλισαν χεῖρας κατὰ τῶν ἐκ τοῦ αὐτοῦ σπέρματος καὶ τῆς αὐτῆς προελθόντων γαστρός· καὶ πατέρες ἀπέκτειναν παῖδας, ὑπὲρ ὧν ηὔξαντο πολλάκις τὰς ψυχὰς προαφεῖναι, καὶ φίλοι φίλους ἠγνόησαν· ἐκείνου τοῦ

До същия

Какви потоци от сълзи да намеря? Какви оплаквания да подема за моите страдания? Защото моите страдания са толкова големи, като тия, които постигнаха народа на Христа и на моя бог, неговото свето и възлюбено наследие, за което той претърпя кръст и смърт. И тъй как да ги оплача? Или какво утешение да намеря за моето страдание и за гърчовете на сърцето си? О, злоба на отколешния човеконенавистник, който е въоръжил горчивата завист срещу творенията на божията ръка и който води винаги човека към унищожение и погибел. Защото изначало нечестивият, родоначалникът на злото, побеснял срещу човешкия род, не престава и до ден днешен — а може би и докато на земята управлява човек — да заплашва и да подбужда един срещу друг. Затова, понеже той не може сам явно да злоумишлява против нас, [кара ни] ние сами да кроим козни едни през други и да се изтребваме. Вследствие на това отколешно негово безумно желание и братя са въоръжавали ръката си срещу своите еднокръвни и едноутробни братя, и бащи са убивали децата си, за които често са обещавали да дадат душите си, и приятели са се отказвали от приятелите си.

[1] През февруари 914 г. Зоя, майката на Константин VII, взела властта в свои ръце, като отстранила от регентството патриарх Николай Мистик. Цар Симеон се обърнал към новото правителствс с предложение за сключване брак между дъщеря му и младия император. Както изглежда, по този начин той е искал да придобие влияние във византийския двор. Обаче след като получил отказ, той се подготвил за война, нахлул в Тракия и през септември 914 г. обсадил Одрин. Византийското правителство се опитало да предотврати военните действия, като използува влиянието на Николай Мистик над Симеон. То се обърнало към Николай Мистик, който, макар и отстранен от регентството, написал настоящото писмо с цел да спре похода на българите. Това писмо било написано в края на юли или в началото на август 914 г. Вж. *Златарски*, Писмата. . ., СбНУК, стр. 422—429. — *Същият*, История, I, 2, стр. 375—380.

ἀλάστορος οἴμοι δαίμονος καὶ τὰ νῦν ἐμὲ καταλαβόντα πάθη καὶ οἱ θρῆνοι, καὶ τὰ δάκρυα· ἐκείνου τῆς κακομηχανίας ἡ διάῤῥηξις τοῦ συνδέσμου τῆς ἀγάπης τῶν τοῦ Χριστοῦ καὶ Θεοῦ μου τέκνων, τῆς τε Ῥωμαϊκῆς καὶ τῆς Βουλγαρικῆς ἐξουσίας·

Ἀφ' οὗ γὰρ ὁ βραβεῦσαι βουληθεὶς εἰρήνην τῷ κόσμῳ διὰ τῆς ἐκ τῶν πατρικῶν κόλπων κενώσεως, τὸ τῶν Βουλγάρων γένος πρὸς ἑαυτὸν ᾠκειώσατο, καὶ εἰς ἀδελφότητα τῷ Ῥωμαϊκῷ γένει συνῆψε, καὶ τὴν αὐτὴν παρέσχε τιμὴν τῷ καλεῖσθαι τούτους Χριστιανούς, ὥσπερ καὶ ἡμῖν, οὐ φέρων τὴν τοσαύτην γεγενημένην εἰς ὑμᾶς εὐεργεσίαν ὁ ἀεὶ φθονῶν τοῖς καλοῖς, ἀκατάπαυστον δὲ ἀγῶνα ποιούμενος τοῦ ὅσον' ἐπ' αὐτῷ λυπῆσαι μὲν τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν τὸν κοινὸν εὐεργέτην ζημιῶσαι δὲ τὸ Βουλγάρων γένος τῆς παρ' αὐτοῦ δεδομένης τιμῆς, εὗρεν, ὡς ἔοικεν, ὀψέ ποτε τὴν ἔκβασιν τῆς ἐπιβουλῆς, καὶ εὑρὼν σκεύη, κατὰ τὸν μακάριον Ἀπόστολον, κατηρτισμένα εἰς ἀπώλειαν, ἃ μὲν ἐκ τοῦ ὑμετέρου γένους, ἃ δὲ ἐξ ἡμῶν, ἐνήργησε τὸ ἐλεεινὸν τοῦτο καὶ πολυδάκρυτον ἡμῖν τε καὶ ὑμῖν ἔργον, καὶ τοσοῦτον φόνον καὶ ὄλεθρον τῆς τοῦ Χριστοῦ ἐξετέλεσε κληρονομίας, χειρῶν ἐργασαμένων τὸν φόνον, οὐχὶ ἀκαθάρτων, οὐδὲ τῇ ἀσεβείᾳ δουλεύειν ἐπισταμένων, ἀλλὰ τῶν κεκαθαρμένων τῷ ἁγίῳ βαπτίσματι, καὶ πρὸς τὸν οὐράνιον Πατέρα ἐπαιρομένων, καὶ τῷ τοῦ σταυροῦ σημείῳ ἑαυτοὺς κατασφαλιζομένων ἐκ τῆς τοῦ πονηροῦ ἐπηρείας. Τίς γένωμαι πρὸς ταῦτα; τί διαπράξωμαι; τίνας ἀποκλαύσωμαι, τοὺς κατ' ἀλλήλων συγκινηθέντας, καὶ τῷ οἰκείῳ φόνῳ καὶ ταῖς σφαγαῖς μολύναντας μὲν τὴν γῆν, μολύναντας δὲ τὸν ἀέρα σκυθρωπάσαι δὲ οὐ μόνον τοὺς ἀκούοντας ταῦτα Χριστιανοὺς ἐν ὅλῃ τῇ οἰκουμένῃ ποιήσαντας, ἀλλὰ καὶ τοὺς ἐν οὐρανῷ ἀγγέλους· σκυθρωπάζουσι καὶ αὐτοὶ πάντως, καὶ, εἰ παρεῖχε δάκρυα ἡ φύσις, ἐθρήνησαν ἂν, τοῦ τῶν ὅλων Δεσπότου ἐπὶ τῷ γεγονότι ἀλγοῦντος. Εἰκάζεις γὰρ πάντως, τέκνον ἐμόν, οἷον τὸ ἄλγημα τοῦ μὴ βουλομένου τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ἀλλὰ τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν, ἐπὶ τοσούτοις θανάτοις, οὓς οὐδεὶς ἄλλος ἢ διάβολος ὁ τῆς ἁμαρτίας γεννήτωρ, καὶ οἱ ταύτην ἀγαπῶντες εἰργάσαντο.

Ἀλλὰ μέχρι ποῦ ταῦτα θρηνῶ καὶ ἀποκλαίωμαι; Δέον τὰ μὲν γεγονότα χαλεπὰ λιπεῖν, ἐπείπερ ἀναβίωσις οὐκ ἔστι τῶν τεθνηκότων, πρὸς δὲ τὰ ἤδη ἀπό γε τοῦ νῦν πράγματα μεταφέρειν τὸν λόγον, τέκνον ἐμόν, σπλάγχνον ἐμόν. Εἰ γὰρ καὶ τὴν καρδίαν ἔπληξας, εἰ καὶ

От този злосторен демон идват, уви, обзелите ме сега страдания, оплаквания и сълзи. От неговото злоумишление произтича разкъсването на връзките на обич между чедата Христови и божии, между ромейската и българската власт.

Откак бог, като напусна бащините си недра, пожела да утвърди мира в света, приобщи към себе си рода на българите, свърза го в братство с ромейския род и го удостои със същата чест да се наричат и те християни, оттогава вечният завистник на всичко добро, като не можа да понася това толкова велико благодеяние, оказвано на вас, води непрестанна борба, за да наскърби колкото може Христа и бог, нашия общ благодетел, а българския род да накаже заради оказаната му почит. Той намери, както изглежда, най-сетне изход на своите козни и като откри съсъди — както казва блаженият апостол, — приготвени за гибел, едни от вашия род, а други от нашия, предизвика това жалко и достойно за оплакване от вас и от нас дело, извърши толкова много убийства и такава гибел сред Христовото наследие. Изтреблението беше извършено не от ръце нечисти, нито от такива, които са свикнали да служат на безбожието, но от ръце, очистени чрез светото кръщение, които се въздигат към небесния отец и са укрепени с кръстното знамение срещу злото на нечестивия. Как да се отнеса към това? Що да сторя? Кои да оплаквам — тези ли, които се вдигат едни срещу други и със своето изтребление и убийства оскверняват земята, а оскверняват и въздуха? Те правят да се наскърбяват не само християните по цялата вселена, като чуват за това, но и ангелите на небето. Те и сега всякак скърбят и ако природата бе им дала сълзи, те биха заплакали, тъй като господарят на всичко е опечален за това, което става. Защото ти, чедо мое, можеш всячески да си представиш колко се измъчва за толкова избивания, които е извършил само дяволът — родоначалникът на греха, — както и обичащите греха, онзи, който не желае смъртта на грешника, а желае той да се обърне и да живее.

Но докога аз ще проливам сълзи и ще оплаквам това? Трябва да изоставим тежкото минало — защото умрелите не могат да бъдат съживени, — а да насочим словото си към предстоящите събития, чедо мое, утробо моя. Въпреки

ὀδύνης ἐνέπλησας δι᾽ ὧν ἔπραξας τά πατρικὰ σπλάγχνα συστρέφεται ἐπὶ σοί. Ἀρκέσθητι τοῖς εἰργασμένοις, μέχρι τούτου στήτω ἡ τοῦ πονηροῦ δαίμονος κατὰ τῆς κοινῆς τῶν Χριστιανῶν μιαιφονίας ἐνέργεια, μηδέ τι πλέον ἰσχύση αὐτὸς μὲν ἐξορχεῖσθαι καὶ χαίρειν ἐπὶ τῇ κοινῇ συμφορᾷ, τῷ Χριστῷ δὲ καὶ Θεῷ ἡμῶν περιποιεῖν τὸ σκυθρωπάζειν, καὶ τοῖς φιλανθρώποις ἀγγέλοις, καὶ πᾶσιν ὅσοι τὸ εὐσεβεῖν ἐκληρώσαντο· ἀγαθὸν μὲν γὰρ μηδόλως λαβεῖν ἀρχὴν ἔργον πονηρὸν, μηδὲ τοῦ πρέποντος ἀποσφαλῆναι τὸν ἄνθρωπον· ἐὰν δὲ ἄρα καὶ γένηταί τι τοιοῦτον, οἷα συμβαίνειν ἀνάγκη τῷ πολυαμαρτήτῳ καὶ πολυπλανεῖ βίῳ, ἀλλὰ πάλιν ὡς μοίρας Θεοῦ μίξιν ἔχουσιν, ὀφειλόμενόν ἐστι τῷ πταίσματι προσάγειν τὴν ἐπανόρθωσιν. Γέγονε τὸ ἤδη γεγονὸς ἐλεεινὸν καὶ πολυπενθὲς μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων πταῖσμα, ὃ τίς χρόνος δώση λήθην καὶ μὴ πάντα τὸν αἰῶνα εἰς κοινὴν στήλην καὶ ὄνειδος εἴη διαμνημονευόμενον, τὸ μέν τι καὶ ἡμῶν πταισάντων, τὸ δὲ καὶ ὑμῶν; Ἀλλὰ τὸ μὲν ὑμέτερον καὶ χωρὶς τῶν ἐμῶν λόγων αὐτοὶ ἐπιγινώσκετε· πάντως γὰρ φρόνιμος ὢν καὶ τὴν οἰκείαν συνείδησιν κριτὴν καθιστάνων, ἐπιγνώση τὴν αἰτίαν καὶ πρὸ τῶν ἡμετέρων λόγων.

Τὸ δὲ τοῦ ἡμετέρου λαοῦ πταῖσμα, φεῦ τῆς τῶν πονηρῶν ἀνθρώπων ἰσχύος! οὐκ οἶδα εἰπεῖν ἀκριβῶς, ὅπως ἀπήντησεν, ἐπεὶ οὐδ᾽ ἔχω οὔτε τῶν βεβουλευμένων ἀκριβῆ τὴν εἴδησιν· Ἃ μὲν γὰρ προεμελετήθη καὶ προκατεσκευάσθη, δεῖ γὰρ κατηγορῆσαι, τὴν ἀλήθειαν τιμῶντας ἡμᾶς, καὶ τῶν ἐνταῦθα λαχόντων ἄρχειν, οὔτε συνέγνωμεν, οὔτε εἰς μάθησιν ἔσχομεν οὐδ᾽ ὅπως ἡ κίνησις τῆς τοσαύτης ὑπῆρξε στρατιᾶς, ἐπεὶ δὲ τὰ ἐνταῦθα κατέλαβον ὡς εἰκὸς ἦν, οὐδ᾽ ἡμᾶς τὸ πρᾶγμα διέλαθε, πῶς γὰρ τοσούτου πλήθους ἐνταῦθα συνειλεγμένου, ἀλλὰ τὸ τηνικαῦτα, εἰ καὶ μὴ παρὰ τῶν τὰ πράγματα διοικούντων, ἀλλὰ παρά γε τῶν ἄλλων τὴν αἰτίαν τῆς συλλογῆς τοῦ στρατοῦ ἐξεδιδασκόμεθα, ὡς ἕνεκα τῆς πρὸς Βουλγάρους ἐκστρατείας ἡ τοσαύτη γέγονε κίνησις, τότε δὴ, τότε, τὴν εἰς τὰ βασίλεια ζητήσαντες εἴσοδον, ἐπείπερ τοῖς ἄρχουσιν ἐνετύχομεν, οἰκείᾳ γλώσσῃ μαθεῖν ἐξητοῦμεν τοῦ στρατοῦ τὴν συγκίνησιν, καὶ ὥσπερ ἐχρῆν καὶ ἐμεμψάμεθα καὶ ὠνειδίσαμεν τοσούτου πράγματος ἐπισκόπους ἡμᾶς ὄντας τῆς πόλεως μὴ λαβόντας κοινωνὸν τῆς βουλῆς· τῶν

че ти порази сърцето ми, ако и да ме изпълни с болка с това, което извърши, то бащиното ми сърце ме тласка към тебе. Задоволи се с извършеното. Нека оттук да спре дейността на лукавия демон за общото изтребление на християните. Нека той да не бъде повече в състояние да тържествува и да се радва на общото нещастие. Нека той да не бъде повече в състояние да причинява скръб на Христа, нашия бог, и на човеколюбивите ангели и на всички, които са изпълнени с благочестие. Добре би било, ако това лукаво дело никак не бе започвало, а човекът не бе изоставил пътя на благоприличието. Но ако действително е станало нещо такова, което е трябвало да се случи в многогрешния и изпълнен със заблуждения живот, то ние, които сме свързани с божието жребие, длъжни сме да изкупим прегрешенията си чрез изправление. Случило се е вече печално и многоскръбно деяние — сблъскване между българите и ромеите. Кое време би могло да го предаде на забвение и нима няма да се споменава през всички времена като общо петно и позор, понеже и ние, и вие сме еднакво виновни за него. Но ти прекрасно знаеш и без моите думи грешката си, защото като благоразумен човек и такъв, който смята съвестта си за съдия, съзнаваш преди нашите думи вината си. А грешката на нашия народ — уви, сила на лукави люде! — не мога да кажа точно как тя е произлязла. Защото нямам точни сведения за съвещанията. Защото ние, които почитаме истината, сме длъжни да порицаем и тукашните управници. Защото ние не знаехме това, което по-рано е било решено и подготвено, нито пък научихме как е станало придвижването на толкова голяма войска. Но след като разбрахме, както е естествено, тукашните работи и не остана скрито за нас, че е била събрана тук толкова голяма войска, тогава ние се осведомихме относно причината за събирането на войската, и то не от тези, които управляват държавните работи, но от други, а именно, че такова голямо придвижване е станало заради похода срещу българите. Тъкмо тогава потърсихме достъп в двореца, а след като се срещнахме с управниците, опитахме се да узнаем от техните уста за движението на войската и както подобаваше, и ги укорихме, и ги порицахме, че ние, които сме епископ на града, не

δὲ ἡ μὲν ἄλλη ἀπολογία προήρχετο μὲν ὡς ἦν δυνατὸν ἀπολογεῖσθαι αὐτοῖς, καὶ τὴν αἰτίαν διαλύειν τῆς μέμψεως· ἔλεγον δὲ πρὸς ὑμᾶς ἐκστρατεύειν οὐ πολέμου χάριν, οὐδὲ φόνων ἕνεκεν καὶ αἱμάτων ἐκχύσεως, ἀλλ' ἅπερ ἀπήγγελλον, ταῦτά σοι, τέκνον ἡμῶν, ἤδη γνωρίζομεν.

Ἐπίστασαι πάτερ καὶ δέσποτα, τοὺς τῆς Μακεδονίας καὶ τῆς Θράκης στρατηγούς. Οὗτοι δὴ οὖν ἔλεγον, οὐ διαλείπουσι καθ' ἑκάστην τὰ μὲν γράμμασι δηλοῦντες, τὰ δὲ καὶ γλώσσῃ τῶν οἰκείων ἀποκρισιαρίων, καὶ διαβεβαιούμενοι ὡς ἀληθῆ λέγοιεν, καὶ οὐδεμία τοῖς λόγοις πρόσεστιν ἀμφιβολία, ὅτι περ ὁ τῶν Βουλγάρων τοιοῦτος εἴη σκοπός, ὥστε τὴν ἡμετέραν χώραν σκυλεῦσαι παντελῶς καὶ λαφυραγωγῆσαι. Καὶ προσεπέφερον πίστιν τοῖς λόγοις αὐτῶν, ὅτι μὴ ψεύδονται, ἀλλ' ὡς ἀληθῶς τοιαῦτα σκέπτονται Βούλγαροι ποιεῖν τὴν τῶν γεγενημένων συμφώνων ῥίψιν, ἣν ἔλεγον ποιήσασθαι Βουλγάρους, ὡς οὐκέτι βουλομένων ἐμμένειν τοῖς ἤδη συμπεφωνημένοις. Εἶτα καὶ τούτοις προσετίθεσαν λέγοντες ἡμῖν, ὡς οὐδὲ τὸν Βωγᾶν ἀγνοεῖς, ὅτι τῆς Χερσῶνος τέτακται στρατηγεῖν. Οὗτος δὴ ὁ τῆς Χερσῶνος στρατηγὸς οὐ διαλιμπάνει διηνεκῶς ἀναφέρων ὡς πᾶσαν σπουδὴν τίθενται Βούλγαροι, καὶ Πατζηνακίτας, καὶ εἴ τινα ἕτερα ἐν ἐκείνοις ἐστι τοῖς τόποις ἔθνη, προσλήψεσθαι εἰς τὴν κατὰ Ῥωμαίων ἔφοδόν τε καὶ τὸν πόλεμον. Καὶ οὐχὶ ταῦτα νῦν μὲν λέγει, νῦν δὲ σιγᾷ, ἀλλὰ διηνεκῶς καὶ καθ' ἑκάστην τοιούτοις γράμμασι καὶ ῥήμασι τὰς ἀκοὰς ἡμῶν καὶ τὰς καρδίας παρενοχλεῖ· ἐπὶ τούτοις καὶ ἀποκρισιαρίους ἔλεγον μέχρι τῶν ἑξκαίδεκα ἥκοντας τοῦ τῶν Πατζηνακιτῶν γένους τοιαῦτα προσαγγέλλειν, ὡς ἐξαπεστάλησαν πρὸς αὐτοὺς ἐκ Βουλγαρίας ἀποκρισιάριοι οὐχ ἅπαξ οὐδὲ δὶς, ἀλλὰ καὶ πλειστάκις προσκαλούμενοι τούτους εἰς τὴν πρὸς ἑαυτοὺς ἕνωσιν· καὶ τοσοῦτον τὸ πρᾶγμα σπουδάζεται Βουλγάροις, ὥστε καὶ γάμου κοινωνίᾳ τῶν οἰκείων παίδων σπουδάζειν ἑνῶσαι καὶ συνδῆσαι τὴν πρὸς ἑαυτῶν συμμαχίαν Πατζηνακιτῶν. Ὡς οὖν τοιούτοις λόγοις διαταρασσόμενοι, ἐπειδήπερ προλαβόντες καὶ δηλώσεσιν ἐγγράφοις, καὶ μηνύμασιν ἀγράφοις σπουδὴν ἐποιησάμεθα τὸ εἰρηνικὸν φρόνημα

сме взели участие в съвета за една такава голяма работа. Те се оправдаваха различно, доколкото им беше възможно да се оправдаят и да премахнат причината за моето негодувание. Те ми казваха, че отивали на поход не заради война, нито за убийства и проливане на кръв, но това, което известяваха, чедо наше, вече ще ти го съобщя.

„Ти познаваш, отче и владико, военачалниците на Македония и Тракия. И тъй те казваха, че не престават всекидневно да донасят ту писмено, ту пък устно чрез пратениците си и като твърдяха, че били казвали истината и че не може да има никакво съмнение в техните думи, какво целта на българите била да разграбят и разорят изцяло нашата страна. И в потвърждение на своите думи те добавиха, че не лъжат, но че българите наистина целят да направят това — да отхвърлят сключените съглашения, което — казваха те — българите вече били извършили, тъй като не желаели повече да се придържат о сключените по-рано договори." После към това те прибавиха и следното:

„Ти знаеш добре, че Вогас[1] е назначен за стратег на Херсон. Този именно стратег на Херсон не преставаше да донася постоянно, че българите полагат голямо старание да привлекат също и печенегите, и някои други народи и племена по онези места за нападение и война против ромеите. И не може да се рече, че за тези работи той ту казва, ту мълчи, но непрекъснато и всеки ден досаждаше с тези писма и речи на нашите уши и сърца. Освен това — казваха те, — че са пристигнали около шестнадесет пратеници от племето на печенегите с това известие, че били изпратени при тях от България пратеници не веднаж, нито два пъти, но много пъти да ги подканят да се съюзят с тях. И тази работа е постоянна грижа на българите, така че те се стремят да свържат чрез бракове децата си и да установят съюз с печенегите.[2] И тъй ние, като бяхме смутени от тези думи, понеже вече бяхме се опитали и чрез писмени предупреждения и неписмени напомняния да затвърдим мир-

[1] Вогас *(Βωγᾶς)* бил назначен за стратег на Херсон още през регентството на патриарх Николай Мистик. Той предложил да уреди съюз с печенегите за война срещу българите, като в замяна на това искал от императора титлата патриций. Вж. *Златарски*, Писмата..., СбНУК, XI, стр. 6, бел. 2. — *Същият*, История, I, 2, стр. 383—384, 386, 825—826. [2] Симеон също се стремял да привлече печенегите на своя страна и да сключи съюз с тях.

μεταξὺ τρόπῳ Βουλγάρων καὶ ἡμῶν ῥιζῶσαι, οὐκ ἠδυνήθημεν δὲ, ἤλθομεν καὶ ἄκοντες εἰς τοιαύτην περίνοιαν, ὥστε στρατείαν κατ' αὐτῶν σχηματίσαι, καὶ πειραθῆναι τῷ τοιούτῳ Βουλγάρων τὴν ὁρμὴν ἐπισχεῖν, ἀλλ' οὐχὶ πρὸς αἵματα καὶ σφαγὰς τὸν λαὸν χωρῆσαι, εἴ πως δοίη Θεὸς διὰ τῆς τοιαύτης περινοίας ἑλκύσαι ἡμᾶς πρὸς ἀγάπην αὐτοὺς, καὶ ἀσφαλῆ τὸν δεσμὸν ἐξεργάσασθαι τῆς φιλίας·

Ἔχεις τὴν ἀπολογίαν, ὦ Πάτερ καὶ δέσποτα, καὶ μὴ ὀργίζου μηδὲ ἀγανάκτει. Ἐγὼ δὲ ἀπιστεῖν οὐκ εἶχον, πλὴν καὶ οὕτως ἐπετίμων, ἐπέπληττον, ἐξωνείδιζον, καὶ ὡς ἔδει ἔλεγον, καὶ ἔτι μηνῦσαι ταῦτα διὰ γραφῆς. Καὶ οἱ μὲν ἠξίουν ἐμὲ γράφειν, ἐγὼ δ' ὁ μάταιος, ὁμολογήσω γὰρ τὴν ἐμαυτοῦ ἁμαρτίαν, καὶ κατηγορήσω τῆς ἐμαυτοῦ ἀθλιότητος, οὐκ οἶδα πῶς ὀκνηρὸς ἐγενόμην πρὸς ταύτην τὴν διακονίαν, τὸ μέν τι, ὡς ἔοικε, τῶν ἐμῶν ἁμαρτιῶν τὸν ὄκνον ἐμποιησαμένων, τὸ δὲ καὶ ὑπολαβόντων ἡμῶν, ὡς ἐπείπερ κατὰ τοὺς ἐκείνων λόγους εἰς σχῆμα μόνον καὶ φαντασίαν μάχης ἡ τοῦ λαοῦ συγκίνησις ἐπενενόηται, οὐ προκόψει πρὸς ἀληθῆ πόλεμον, οὐδὲ πρὸς σφαγὰς καὶ χύσεις αἱμάτων ἡ τοιαύτη ὁρμὴ, καὶ διὰ τοῦτο οὐδ' ἡ τοῦ ἡμετέρου γράμματος ἀποστολὴ ἔδοξε περισπούδαστος. Ταῦτα τὴν ἐμὴν ἀνέστειλε γνώμην τοῦ πρὸς σὲ, τέκνον ἡμῶν, γράφειν πρὸ τῆς πολυωδύνου τοῦ πολέμου συμβάσεως. Ἀλλ' εἰπέ μοι καὶ σὺ, τέκνον ἡμῶν δυσωπῶ, ἀποῤῥίψας τὸν θυμὸν καὶ τῆς ψυχῆς τὴν πικρίαν, καὶ ὡς συνετὸς ὀρθῷ λογισμῷ κρῖνον ταῦτα· ὁπότε δὴ τῆς Μακεδονίας καὶ τῆς Θρᾴκης οἱ στρατηγοῦντες, καὶ Βωγᾶς ἑτέρωθεν καὶ οἱ ἐκ Πατζινακίας ἀποκρισιάριοι πάλιν διεβεβαιοῦντο, καὶ τοιούτοις ῥήμασι τὰς καρδίας αὐτῶν ἐσάλευον τί φρονεῖν αὐτοὺς ἔδει καὶ ποιεῖν, τοιαύταις πανηραῖς ἀγγελίαις ἐκταρασσομένους; Οἶδα δὲ ὅτι κρίνειν πράγματα συνετὸς ὤν, πάντως ὁμολογήσεις, ὡς ἐκεῖνα φρονεῖν ἔδει καὶ ποιεῖν, ἃ ὑπὲρ σωτηρίας εἰκὸς ἦν διανοεῖσθαι.

ните отношения между българите и нас, но не успяхме, затова, макар и против волята си, прибягнахме до тази предпазливост, за да устроим привидно поход срещу тях[1] и по този начин да се опитаме да задържим напора на българите, а не да подлагаме народа на кръвопролития и кланета. Дано да би дал бог чрез тази предвидливост да ги привлечем към обич и да завържем трайни връзки на приятелство. Ето нашето оправдание, отче и владико. Не се сърди и недей негодува." Аз не можах да не им вярвам, но все пак ги укорявах, мъмрех и гълчах, като казвах, че трябва тази работа да се извести и с писмо. И те поискаха аз да напиша това писмо. Но аз, наивникът — признавам грешката си и укорявам моето нещастие, — не зная как се забавих за тази поръчка, изглежда, заради някои от моите грехове, които ме накараха да се забавя, отчасти и понеже предполагах, че тъй като съгласно техните думи придвижванията на войските стават само привидно и външно, не ще се дойде до истинска война, нито пък това раздвижване ще доведе до кланета и кръвопролития. Заради това именно на мене ми се струваше, че изпращането на нашето писмо е прибързано. Ето какво задържаше желанието ми, чедо мое, да ти пиша още преди началото на тази пагубна война. Но и ти, сине, кажи ми, като отхвърлиш гнева и горчивината на душата си, обсъди правилно, както си свикнал, това: когато именно военачалниците на Македония и Тракия и, от друга страна, Вогас и печенежките пратеници отново твърдяха и с такива думи раздвижиха сърцата им, какво трябваше да мислят те и да вършат, смутени от такива лукави известия? А аз зная, че ти, който си способен добре да обсъждаш работите, ще признаеш напълно, че те е трябвало да обмислят и да вършат онези работи, които е трябвало да обмислят, за да [постигнат] спасение.

Τούτου ἕνεκεν, ὅσον ἐμὲ πεισθῆναι εἰκὸς ἦν ἐξ ὧν διαβεβαιούμενοι ἐπληροφόρησαν, ἡ τοῦ στρατοῦ γέγονεν συλλογὴ καὶ συγκίνησις, καὶ ἡ πρὸς Πατζινακίτας διάπεμψις, οὐχ ἵνα πό-

Поради това, доколкото беше естествено да се убедя от това, в което те ни уверяваха съгласно получените сведения, че събирането и придвижването на войската е станало и пратеничеството на печенегите е било проводено не за

[1] Патриарх Николай Мистик, след като научил за поражението на византийските войски при р. Ахелой (20 август 917 г.), написал настоящото писмо, за да спре по-нататъшното движение на Симеон. Писмото на патриарха е било написано вероятно към края на август 917 г. Вж. *Златарски*, Писмата ..., СбНУК, XI, стр. 11 — 12. За сражението при Ахелой вж. *Златарски*, История, I, 1, стр. 385. — Българското военно изкуство, стр. 177 — 183.

λεμον συγκροτήσωσιν, οὐδ' ἵνα τοῦ σοῦ λαοῦ σφαγὰς ἐνεργήσωσιν, ἀλλ' ὥστε τοῦτο μὲν ἑαυτοῖς περιποιήσασθαι τὸ ἀσφαλὲς, τοῦτο δὲ ὥστε ὑμῶν ἀνακόψαι τὴν ὁρμὴν μόνον, ὥς φασι, καὶ συστεῖλαι πρὸς τὸ μὴ ἐπιδραμεῖν τὴν Ῥωμαϊκὴν χώραν, καθὼς ἥ τῶν ἀθλίων ἐκείνων ἀνθρώπων τοῦ τε Βωγᾶ καὶ τῶν ἐκ Πατζηνάκων ἀποσταλέντων, προσέτι καὶ τῶν ἄλλων στρατηγῶν οἱ λόγοι αὐτοις πίστιν παρείχοντο. Τοῦτον εἶπον ἡμῖν γενέσθαι σκοπὸν αὖ τοῖς τῆς τοῦ στρατοῦ συναθροίσεως· ταύτην αἰτίαν εἶναι τῆς πρὸς τοὺς Πατζηνακίτας διαπέμψεως· καὶ ἐγὼ τούτοις ἐπειθόμην, ἐκεῖνο ἐνθυμηθεὶς, ὅτι ἔστι τις καὶ τοιαύτη ἀνθρώποις ἐπίνοια· ἣν οὐδὲ αὐτὸς τέκνον ἡμῶν, ἀγνοεῖς ὡς ἐπειδὰν τέκνα πρὸς τοὺς γονεῖς διαστασιάζωσιν, εἶτα οἱ πατέρες πάντα δι' ἑαυτῶν πράττοντες, μὴ δύνανται ταῖς οἰκείαις σπουδαῖς καταλῦσαι τὴν στάσιν τῶν τέκνων, ἀναγκάζονται τῷ πρὸς αὐτοὺς ἐνίοτε πόθῳ, καὶ ἔξωθεν ἄλλους τινὰς προσλαμβάνεσθαι εἰς βοήθειαν, ὥστε δι' ἐκείνων φοβῆσαι, καὶ πρὸς ἑαυτοὺς ἐπισπάσασθαι καὶ ἄκοντα τά τέκνα, ὅπερ κἀγὼ ὑπέλαβον καὶ τούτους πρὸς ὑμᾶς ἐπινοῆσαι. Ἐπειδὴ ἐκ τοῦ πονηροῦ δαίμονος διαστάσεώς γεγενημένης Βουλγάρων καὶ Ῥωμαίων οὐκ ἠδύναντο πάλιν δι' ἑαυτῶν ἑλκύσαι πρὸς ἑαυτοὺς οἱ γεγονότες πατέρες, ἀλλ' οἱ μὲν οὕτως διενοήθησαν σχῆμα πολέμου ὑμῖν μόνον ἐπισεῖσαι, βουλόμενοι, ὥς φασὶν, ἕνεκεν τοῦ προσλαβέσθαι καὶ ἐναγκαλίσασθαι, ἀλλ' οὐχὶ πόλεμον περιστῆσαι ἀληθῆ, οὐδὲ μέχρι σφαγῶν καί αἱμάτων χωρῆσαι, ὡς διατείνονται· ἔλαθον δὲ ἄρα τῷ πονηρῷ δαίμονι πρόφασιν παρασχόντες τοιαῦτα πάθη καὶ τοιαύτας πικρὰς ὀδύνας πᾶσι χριστιανοῖς ἀπεργάσασθαι· ὃς πολλάκις μὲν, καὶ μηδεμιᾶς προφάσεως ἐξ ἀνθρώπων οὔσης, αὐτὸς παγχάλεπα κατεργάζεται· πολλάκις δὲ, καὶ μικρᾶς τινος δραξάμενος ἀφορμῆς τῇ παρ' ἑαυτοῦ ἐπινοίᾳ, μέγιστα κακὰ ἐκτελεῖ, οὗ καὶ νῦν τὸ μέγα τοῦτο κακὸν καὶ οὐκ ἔχον ὑπερβολὴν μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων, ὢ τῶν ἐμῶν ἁμαρτημάτων! χώραν εὗρεν εἰς ἐξεργασίαν.

да водят война и за да избиват твоя народ, но за да си обезпечат сигурност, а, от друга страна, само за да възпрат вашия поход, както казват, и да ти попречат да нахлуеш в ромейската земя, както пратениците на тези нещастни люде, на Вогас и на печенежките пратеници, а също и на другите военачалници ги накараха да повярват. Тази била целта, казваха ни те, за събирането на войската, тази била причината за изпращането на пратеници при печенегите. Аз повярвах на това, като си помислих също, че е възможно у хората да съществува такава измислица. Ти сам, сине мой, много добре знаеш, че когато чедата въстанат против родителите си, а после бащите, ако действуват във всичко сами, не могат да усмирят със собствените си усилия въстанието на чедата си, те понякога биват принуждавани поради обич към тях да повикат и някои други отвън на помощ, та чрез тях да ги уплашат и да привлекат към себе си чедата си дори против волята им. Такова нещо, както разбирам аз, бяха намислили да направят спрямо вас. Защото след като по вина на лукавия демон между българите и ромеите настана раздор, то тези, които станаха ваши бащи, не можаха отново да ви привлекат към себе си. Тогава те така намислиха под вид на война само да ви изплашат, като желаеха, както казваха, да ви привлекат към себе си и да ви приемат в своите обятия, а не да водят истинска война, нито, както твърдяха, да стигнат до убивания и кръвопролития. Обаче те забравиха, че дават на лукавия демон повод да причини такива страдания и толкова тежки мъки на всички християни, когато той често пъти дори без да съществува някакъв предлог от страна на хората, сам им причинява всякакви злини. А често пъти, като използува някакъв малък повод за своите намерения, причинява най-големи злини. От него и сега това голямо и ненадминато зло — о мои прегрешения! — намери почва за осъществяване между българите и ромеите.

Οἶδα ὅτι ἐρεῖς, καὶ δίκαια πάντως ἐρεῖς, εἰ μὴ ἄλλη τις καὶ παρ' ἡμῶν ἀφορμὴ τῷ δικαίῳ τούτῳ ἐνστήσεται· φήσεις γὰρ πάντως, ὅτι περ, εἰ τὸν πόλεμον ἐσχημάτιζον, καὶ πρὸς τοῦτο ἔβλεπεν αὐτοῖς ὁ σκοπὸς, τί δήποτε εἰς τὴν

Аз зная, че ще кажеш — и съвсем справедливо ще кажеш, ако, разбира се, от наша страна не бъде противопоставена на тази справедливост някаква друга причина, — защото във всеки случай ще речеш, че ако те привидно са водели война и целта им е била насочена към това, то защо са нахлули в земята на

Βουλγάρων εἰσήλασαν γῆν, καὶ πρὸ τοῦ πολέμου τὰ τῶν πολεμίων διεπράττοντο; Εἶπον αὐτοῖς καὶ ἐγώ, τέκνον ἡμῶν, ταῦτα καὶ πρὸ τῆς τῶν σῶν λόγων ἀπαντήσεως, καὶ ἐμεμψάμην καὶ ἐπέπληξα. Ἀλλὰ καὶ πρὸς ταῦτα οὐκ ἠπόρησαν ἀπολογίας· εἰ δὲ ἀληθὴς ἡ ἀπολογία σὺ ἂν εἰδείης. Ἔφησαν γὰρ ὅτι τῶν Βουλγάρων πολέμου νόμου ἐξελασάντων κατὰ τῶν ἐν Δυῤῥαχίῳ Ῥωμαϊκῶν τόπων, καὶ κατὰ τῶν ἐν Θεσσαλονίκῃ, γέγονεν ἀφορμὴ τοῦ πρὸς τὴν γῆν τῶν Βουλγάρων τὰ Ῥωμαϊκὰ στρατεύματα εἰσελθεῖν· καὶ οὐδ᾿ οὕτως ἐπιδρομάς, οἵας οἶδεν ὁ πόλεμος, ἔγνωσαν διαπράξασθαι· ταῦτα εἰ οὕτω γέγονεν, ἐγὼ μὲν οὐκ ἐπίσταμαι· οὗτοι δὲ δισχυρίζονται, σὸν δέ ἐστιν εἰδέναι καὶ τῆς σῆς ἔμφρονος συνειδήσεως τὸ μὴ ἀπαρνεῖσθαι τὸ γεγονός. Ἀλλά, τέκνον ἡμῶν, ὁποῖαί ποτ᾿ ἂν αἱ ἀπολογίαι τῶν ἐνταῦθα γεγόνασιν, οὐκ εὐλόγους αὐτὰς ἡγησάμην, καὶ διὰ τοῦτο καὶ ὀνειδισμοῖς, καὶ μέμψεσιν, καὶ ἐπιτιμήσεσιν ἠμυνάμην, καὶ ἔτι οὐ διαλείψομαι ἀμυνόμενος. Σὲ δὲ οἷα παρὼν καὶ τῷ σῷ τραχήλῳ περιχυθείς, ταῦτα παρακαλῶ· παυσάσθω ἕως τούτου τὰ χαλεπά· γνωρίσωμεν ἑαυτούς, ἀναλογιζώμεθα ὅτι Χριστοῦ ἐσμεν κληρονόμοι· καὶ εἰ καὶ τοῖς γένεσι διῃρήμεθα, ἀλλ᾿ ἓν σῶμα τῇ πίστει ἐσμέν, καὶ μίαν κεφαλὴν κεκτήμεθα τὸν Χριστόν, καὶ ἀλλήλων ἐσμὲν μέλη, καὶ οὐκ οἶδε τὰ μέλη καθ᾿ ἑαυτῶν στασιάζειν· ἀλλὰ κατὰ τὸν μακάριον Ἀπόστολον. „Εἰ πάσχει ἓν μέλος, πάντα τὰ μέλη συμπάσχει.“ Χριστιανοί ἐσμεν, μὴ ψευδώμεθα τὴν κλῆσιν· οἴμοι τῶν ἀφρήτων κακῶν! Τοὺς διδασκομένους εἰρήνην μετὰ πάντων διώκειν, ἐξεπολέμωσε καθ᾿ ἑαυτοὺς ὁ διάβολος· τοὺς ὀφείλοντας πραεῖς εἶναι πρὸς πάντας ἀνθρώπους, κατ᾿ ἀλλήλων ἐκμαίνεσθαι πεποίηκεν ὁ τῆς μανίας ἀρχηγός.

българите и защо преди самата война са извършили вражески действия? Казах им и аз, чедо наше, това, и то още преди отговора на твоите думи, и ги смъмрих. Но и за това те не останаха без оправдание, а дали тяхното оправдание е истинно, то сам ти би могъл да знаеш. Те казаха впрочем, че тъй като българите нахлули враждебно в ромейските области, Драчката и Солунската, това вече беше повод за ромейските войски да навлязат в българската земя, обаче те не са и мислили да направят такива нападения, каквито са свойствени на една война. Тъй ли е станало това, аз не зная, те твърдят, пък твоя работа е да знаеш и работа на твоята разумна съвест е да не отричаш това, което е станало. Но, сине мой, каквито и да са били техните оправдания, аз сам ги смятам за недостатъчни и затова ги отблъсвах с укори, мъмрения и порицания и няма да престана да упорствувам. Тебе пък, сякаш съм лично при тебе и обгръщам шията ти, моля те за следното: нека дотук се прекратят бедствията; нека познаем сами себе си и помислим, че ние сме наследници на Христа и ако и да се различаваме по произхождение, обаче ние по вярата съставяме едно цяло и имаме една глава — Христос, — а ние сме членове помежду си; а пък членовете не трябва да въстават един срещу друг, защото според думите на блажения апостол, „ако страда един член, с него страдат всички членове“. Ние сме християни и няма да се посрамим с това име. О непоносими бедствия! Тези, които са наставали да пазят мир с всички, дяволът самите тях ги е подбуждал към междуособна война! Тези, които са задължени да бъдат кротки с всичките хора, родоначалникът на безумието ги е накарал да беснеят един срещу друг!

Πάλαι μὲν οἱ τὸν Χριστὸν ἐγνωκότες, οἱ τῷ ἐκείνου ἁγίῳ ὀνόματι ἐπικεκλημένοι, τὴν γῆν τοῖς οἰκείοις ἡγίασαν αἵμασι, τὸν ἀέρα εὐωδίας ἐπλήρωσαν, τὸν διάβολον σὺν τοῖς αὐτοῦ κατῄσχυναν δαίμοσι, τοῖς ἀγγέλοις χορεύειν ἐδίδοσαν καὶ σκιρτᾶν, τὸν Δεσπότην ταῖς οἰκείαις ἐδόξαζον σφαγαῖς· νῦν δὲ τί; Οἱ τοῦ Χριστοῦ ἐπώνυμοι ἐμίαναν τὴν γῆν τοῖς οἰκείοις αἵμασι, δυσωδίας ἐνέπλησαν τὸν ἀέρα, χορεύειν τοῖς δαίμοσιν ἔδωκαν, ὑπόθεσιν τοῦ σκυθρωπάζειν τοῖς ἀγγέλοις παρέσχον, τῷ Δεσπότῃ προεξένησαν ἄλγος, οἷον οὐδ᾿ οἱ ἐπὶ τοῦ ξύλου

Някога си ония, които бяха познали Христа и които носеха неговото свето име, осветяваха земята с кръвта си, изпълваха въздуха с благоухания, унижаваха дявола заедно с демоните му, а пък на ангелите даваха да ликуват и се радват и прославиха господа със заколението си. А сега какво? Тези, които носят името Христово, оскверниха земята с кръвта си, изпълниха въздуха със зловония, допуснаха дявола да се радва, а на ангелите дадоха повод да скърбят, на бога пък причиниха такава горест, каквато не са му причинили ония,

τοῦτον σταυρώσαντες. Καὶ ὅτι ἀληθῆ λέγω, πρόσχες καὶ μάνθανε. Ἐκεῖ μὲν γὰρ εἰ καὶ ἤλγει διὰ τὰς πληγὰς, ἀλλ' ἔχαιρε διὰ τὴν σωτηρίαν τῶν ὑπὲρ ὧν αἱ πληγαί· ἐνταῦθα δὲ τὸ μὲν ὀδυνᾶσθαι πάρεστι, τὸ δὲ χαίρειν οὐδαμοῦ. Ἆρ' οὐκ εἰκότως ἀπ' ἀρχῆς ὁ λόγος ποταμοὺς ἐζήτει δακρύων, τοιούτων συμφορῶν τὴν ἐμὴν ἀθλίαν περιισταμένων ζωήν; Ὡς εἴθε προαπολώλειν, καὶ μὴ τοιούτοις ἀλγεινοῖς πράγμασιν ἡ ἐμὴ συνετετήρητο ζωή! Ἀλλ' εἴ τι σοι μέλει, τέκνον ἡμῶν, τοῦ ἄλυπον εἶναι τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν τὸν δι' ἡμᾶς ἐκ τῶν πατρικῶν κενωθέντα κόλπων, τὸν ὑπομείναντα πάθη ἵνα παθῶν ἡμᾶς ἐλευθερώσῃ· εἴ τίς σοι φροντὶς τοῦ μὴ σκυθρωπάζειν τοὺς φιλανθρώπους ἀγγέλους, τοῦ μὴ χαίρειν καὶ σκιρτᾶν τοὺς μισανθρώπους δαίμονας· προσθήσω δὲ καὶ τὸ ἐμόν· εἴ τι τῆς ἐμῆς τεταπεινωμένης εὐχῆς ὡς πατρὸς ἐν χρείᾳ καθίστασαι, μηκέτι διανοηθῇς ἐπηρεάσαι, μηδὲ πόλεμον ἀναλαβέσθαι κατὰ τοῦ σοῦ πνευματικοῦ Πατρὸς, τοῦ θεοστεφοῦς ἡμῶν βασιλέως· οὗ εἰ καὶ μὴ πεῖραν ἔλαβες τῆς ἀγάπης διά τε τὸ ἄωρον τῆς ἡλικίας, καὶ διὰ τὰ φθάσαντα παρεισελθεῖν ἐκ τοῦ πονηροῦ σκάνδαλα, ἀλλὰ λήψῃ πάντως βραβευούσης σὺν Θεῷ τῆς εἰρήνης, καὶ μαθήσῃ πείρᾳ, ὅτι ὥσπερ τῶν σκήπτρων γέγονε κληρονόμος τοῦ μακαρίου πατρὸς αὐτοῦ, οὕτω καὶ τῆς στοργῆς, καὶ ἀγάπης, καὶ τῆς γλυκείας πρὸς σὲ διαθέσεως.

Ἐπὶ πᾶσι δὲ, τέκνον ἡμῶν, οἷς παρεκαλέσαμεν, καὶ ὅρα μὴ καταφρονήσῃς· τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν φωνή ἐστιν. „Ὁ ἀθετῶν ὑμᾶς, ἐμὲ ἀθετεῖ·" οὗ, εἰ καὶ ἁμαρτωλὸς, τῷ θυσιαστηρίῳ παρέστηκα καὶ παρὰ τοῦ ἁγίου Πνεύματος λύειν καὶ δεσμεῖν ἔλαβον ἐξουσίαν. Ὅρα οὖν, πάλιν φημὶ, καὶ μὴ καταφρονήσῃς, δεσμῷ σε καθυποβάλλομεν ἀλύτῳ καὶ ἀῤῥήτῳ ἐν Πατρὶ, καὶ Υἱῷ, καὶ ἁγίῳ Πνεύματι, τοῦ μὴ τῆς σῆς ἔτι χώρας ἐξελάσαι, μήτε σε, μήτε τὸν σὸν λαὸν, μηδὲ βλάβην τινὰ ἢ ἐπήρειαν καὶ αἰχμαλωσίαν ἐπενεγκεῖν ταῖς χώραις ἢ τοῖς, λαοῖς ὧν ἡ ποκλήρωσις καὶ ἐξουσία πέχρι τοῦ νῦν ὑπῆρχε τοῖς Χριστιανῶν σκήπτροις, ἀφ' οὗ χρόνου τοῖς Βουλγάροις ἐξεγένετο διὰ τοῦ παναχράντου βαπτίσματος τὸν Χριστὸλ καὶ Θεὸν τῶν ὅλων ἐπιγνῶναι, καὶ τὰ γεγενημένα τότε σύμφωνα τῶν τε Ῥωμαίων καὶ

които го разпънаха на дърво. А че аз говоря истината, ти сам разбираш и съзнаваш. Защото там, ако и той да страдаше поради раните си, радваше се заради спасението на ония, за които му се нанасяха рани. А тук той се измъчва, но съвсем не може да се радва. Нима още от самото начало писмото ми не търсеше справедливо реки от сълзи при толкова големи бедствия, които обхващат от всички страни нещастния ми живот? Не би ли било по-добре по-напред да загинех и да не бях доживял такива мъчителни нещастия? Но ако ти, сине мой, се грижиш да не опечалиш Христа и бога наш, който за нас слезе от лоното на баща си, претърпя страдания, за да ни избави от страдания, ако ти се грижиш да не оскърбяваш човеколюбивите ангели, а ненавиждащите хората дяволи да не се веселят и радват, ще прибавя и за себе си — ако обръщаш внимание на моята най-смирена просба като на просба от баща — то ти няма да помислиш да нанесеш вреда и да начнеш война срещу духовния си баща и срещу боговенчания император. А ако пък ти още не си изпитал неговата обич поради незрялата му възраст, а тъй също по причина на съблазните, които недавна възникнаха по насъскването на лукавия, то ти ще я изпиташ, когато с божия помощ мирът настане, и от опит ще узнаеш, че той е станал наследник както на скиптъра на блаженопаметния си баща, тъй и на неговата любов, привързаност и разположение към тебе.

Всичко това, чедо мое, за което те уговарях, гледай да не го пренебрегнеш, понеже думите на Христа и бога наш гласят: „Който отблъсва вас, отблъсва мене." Аз, ако и грешник, служа при светия олтар и съм получил от светия дух власт да отпускам и свързвам на земята. И тъй гледай, повтарям, и не пренебрегвай моите думи. Ние те подлагаме на неразвързаните и неизречените връзки в името на отца и сина и светия дух, щото нито ти, нито твоят народ да не излезете от земята си, да не нанасяте вреда, нито оскърбление, нито опленяване на онези страни и народи, управлението и властта на които и до днес се държат от християнски скиптри, оттогава откак за българите стана възможно чрез всесветото кръщение да познаят Христа и бога на всичко; сключеният още тогава договор определи погранич-

Βουλγάρων τὴν ἐπικράτειαν διορίζοντα συμπεφώνηται. Ἀπεστείλαμεν δὲ οὐχ ὡς δῶρον, ἀλλ' ὡς μεσίτην καὶ οἰκειοῦντα τὴν ἡμῶν, τέκνον ἐμὸν, παραίνεσιν τῇ σῇ φρονίμῃ καὶ πραείᾳ, ὡς ἐγὼ πείθομαι, καρδίᾳ, εἰ καὶ τὰ τοῦ πονηροῦ σκάνδαλα ταύτην ἐξετράχυνε, τὰ θεῖα τοῦ Χριστοῦ καὶ Θεοῦ μου λόγια· δι' ὧν ὥσπερ ἐν ὀφθαλμοῖς ἔχων τὰ ἐκείνου σωτήρια τῶν ἀνθρώπων πάθη, τὸ ἐκείνου κενωθὲν ἅγιον αἷμα ὑπὲρ εἰρήνης τοῦ κόσμου, μὴ τοὺς ἐμοὺς ἀτιμάσῃς λόγους, ἀλλὰ δέξαι ὡς τέκνον τιμῶν πατέρα, εἰδὼς τὰς ἡμετέρας παραινέσεις, καὶ κατάλιπε τῷ βίῳ παράδειγμα εἰς δόξαν μὲν τοῦ μεγάλου Θεοῦ καὶ Σωτῆρος ἡμῶν, εἰς καύχημα δὲ σὸν, βούλει λέγω, καὶ τὸ ἐμὸν, καὶ εἰς σεμνολόγημα ἐμοὶ, ὅτι τοιοῦτον ἔσχον υἱὸν εὐπειθῆ καὶ τὴν ἐμὴν πολιὰν τιμῶντα, ὅς ποτε τοῦ πονηροῦ δαίμονος σκάνδαλα δεινὰ καὶ μέγιστα ἐμβαλόντος, καὶ τούτοις ὥσπερ πυρκαϊὰν ἀναφλέξαντος ἀκατάσβεστον, οὐκ ἔδωκεν χώραν τῷ πονηρῷ δαίμονι ἐπὶ πολὺ ἐγκαυχᾶσθαι τῇ παρ' αὐτοῦ ἐξαφθείσῃ πυρκαιᾷ· ἀλλὰ γέροντος πατρὸς τοῖς δάκρυσι προσχὼν καὶ τοῖς ὀδυρμοῖς καὶ τοῖς ἀλγήμασι, τῷ πράῳ καὶ ἐπιεικεῖ ἔδωκε νικῆσαι τῆς ψυχῆς τὴν πικρίαν, καὶ τὸ πῦρ ἀποσβέσας τοῦ θυμοῦ, τὰ τῆς μάχης χαλεπὰ καὶ τοῦ πολέμου, μετέβαλεν εἰς εἰρήνην καὶ ἀγάπην καὶ φιλίαν. Ἣν παράσχοι Θεὸς, εἰ καὶ μέχρι τοῦ νῦν, φεῦ τῆς τοῦ πονηροῦ ἐπηρείας! οὐκ ἀφῆκεν ἀνεπηρέαστον, ἀλλ' ἀπό γε τοῦ παρόντος διατελέσαι ἀνωτέραν αὐτὴν πάσης βλάβης καὶ διχοστασίας, καὶ τοῦ φθόνου τοῦ δαίμονος κρείττονα διαμένουσαν, καὶ κατησφαλισμένην τῇ ἀσφαλείᾳ τῆς εἰρήνης ἐκείνης, ἣν κατέλιπεν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, καὶ Πατὴρ, τοῖς ὁμολογοῦσιν αὐτὸν Πατέρα, καὶ τὴν αὐτοῦ ἐπιποθοῦσι δόξαν καὶ κληρονομίαν.

ните владения на ромеите и българите. Ние ти изпратихме това не като дар, а като посредник, който да направи нашето наставление приемливо за твоето сърце, сине мой, което е разумно и кротко (в това съм уверен), макар съблазните на лукавия и да са го направили жестоко— собствени думи на Христа и бога наш. Затова, като имаш винаги пред очите си неговите спасителни за хората страдания и неговата света кръв, пролята заради спасението на света, не пренебрегвай моите думи, но по-добре като син пожелай до почетеш баща си, понеже ти разбираш нашите наставления, и послужи с живота си като пример за слава на великия бог и спасител наш, за похвала на себе си и ако искаш, ще кажа и за моето прославяне, че съм имал такъв послушен син, който е уважавал белите ми коси и който, когато злият демон пося ужасната и велика съблазън и с това разпали сякаш неугасим пожар, не даде на злия демон повече да се хвали с пламналия пожар, но след като обърна внимание на сълзите, оплакванията и горестта на стария си баща, позволи на кроткото и доброто си [влечение] да надвие на душевния гнет и като угаси огъня на душата си, промени ужасите на сражението и войната в мир, разположение и любов. Нека бог запази мира и ако и до ден днешен —о козни на лукавия! — и да е допускал да се наруши, обаче отсега нека той го тури по-високо от вреда и раздор, за да си остане той [мирът] завинаги по-силен от завистта на дявола и да бъде обезпечен с якостта на оня мир, който е оставил Христос и бог наш и баща на ония, които го признават за баща и които желаят неговата слава и наследие.

Ὁ δὲ τοῦ γράμματος ἀποκομιστὴς ἀπολαυσάτω τῆς σῆς ἐπιεικείας, τοῦτο μὲν διὰ τὴν προσοῦσαν αὐτῷ ἀρετὴν, καὶ γὰρ ὁ ἄνθρωπός ἐστι μὲν τῶν ἐν Ὀλύμπῳ ἀσκητῶν καθηγούμενος, οὐ μὲν ἀλλὰ καὶ τὸν λόγον τῆς πίστεως ἐν Ἀλανοῖς οὗτος ἐν τῇ δυνάμει τοῦ παναγίου ἔσπειρε Πνεύματος, καὶ ἴσα τοῖς θείοις ἀποστόλοις λειτουργῆσαι παρὰ Θεοῦ ἀποκεκλήρωται. Ἔστι μὲν οὖν ταῦτα μέγιστα πρὸς τὸ συστῆσαι αὐτὸν καὶ οἰκειῶσαι, τέκνον ἡμῶν, τῇ σῇ θεοτιμήτῳ ἐξουσίᾳ· εἰ δέ τίς ἐστι, καὶ ἡμῶν παρὰ σοὶ λόγος, οὐκ ἀμφιβάλλω δὲ πάντως ὅτι ἐστὶ, καὶ διὰ τοῦτο ἀξιωθήτω τῆς σῆς ἐπιεικείας ἀπο-

Нека този, който ти връчи настоящото писмо, изпита милосърдието ти и поради присъщата му добродетел, понеже той стои начело на аскетите в Олимп, а тъй също и поради това, че той с [помощта на] чудотворната сила на пресветия дух е посял словото на вярата между аланите и е избрал да служи на бога заедно с божествените апостоли. И тъй това е доста, за да го препоръчам и да го приближа към твоята богочтима власт, сине мой. Ако имаш нещо да ни кажеш (а че има, аз никак не се съмнявам), то нека той и в това се удостои да изпита твоята снизходителност

λαῦσαι, καὶ διὰ τάχους τὴν πρὸς ἡμᾶς ἐπανέλευσιν ποιήσασθαι. Ἐρρωμένον σε φυλάξοι Χριστὸς ὁ Θεὸς ἡμῶν καὶ ψυχῇ καὶ σώματι, ἐκεῖνα καὶ φρονοῦντα καὶ μελετῶντα καὶ πράττοντα, ὅσα ἐν τῷ μέλλοντι αἰῶνι τῆς ἐκείνου κληρονόμον καταστήσοι δόξης, τῆς ὄντως μακαρίας δόξης καὶ τερπνῆς γλυκείας, ὅτε τῶν εὐαρεστησάντων αὐτῷ ἐν μέσῳ Θεὸς ὢν ὡς θεοῖς καθιστάμενος τὰς διανομὰς παρέξει τῶν ἀφθάρτων ἀπολαύσεων. (IX. col. 68 C — 80 D)

и колкото може по-скоро да се върне при нас. Да съхрани Христос, бог наш, твоето телесно и душевно здраве, а тъй също и тебе, който мислиш, грижиш се и извършваш това, което в бъдещия живот ще те направи наследник на неговата слава, на неговата блажена и възхитителна слава, когато бог, стоящ сред своите угодници, ще им раздава като на богове нетленно блаженство.

8. Ad eundem

Τῷ αὐτῷ

Αὐτὸ τοῦτο τῆς καλῆς καὶ φρονίμης ἐπιστολῆς σου τὸ προηγούμενον ῥῆμα, κἀγὼ προηγούμενον τίθημι, τέκνον ἡμῶν, εἴπερ δεῖ τέκνον καλεῖν τὸ ὑβρίζον πατέρα τέκνον, πατὴρ δὲ σός, ἄν τε βούλῃ ἄν τε μὴ βούλῃ, ἐπίσκοπος εἰ καὶ ἐλάχιστος ὁ τὴν εἰς Θεὸν μὴ ἀπηρνημένος εὐσέβειαν. Καὶ γὰρ εἰ καὶ ἁμαρτωλοί, ἀλλ' οὐχ ὑμᾶς ἐπίσκοποι κριτὰς ἔχουσιν· ὑμῶν κριταὶ τυγχάνουσιν οἱ ἐπίσκοποι, εἴ γε τῆς Χριστοῦ ἀγέλης ἐστὲ, καὶ μὴ τῆς ἐκείνου ποίμνης πλανώμενοι· ἀλλ' ἐμωράνθημεν, ὡς ἔφης ὁ φρόνιμος σύ· εὐχαριστοῦμεν τῷ Θεῷ ἡμῶν τῷ χάριν τῶν ἁμαρτιῶν ἡμῶν εἰς τὸ ἔδαφος ἡμᾶς τῆς ὕβρεως ῥίψαντι. Ἀλλ' εἰπέ μοι, ὁ σοφὸς σὺ καὶ φρονιμώτατος, εἰ ἐγὼ μωρὸς ὁ γηραιὸς πατὴρ, καὶ δυσωπῶν παῖδα νεανίαν ὑπὲρ εἰρήνης, ὑπὲρ διαλλαγῆς, ὑπὲρ τοῦ λῆξαι κενούμενα Χριστιανῶν αἵματα, τίς ἂν εἴη νεανίας υἱὸς ὁ τὸν πατέρα εἰρηνικὰ δυσωποῦντα μωρὸν ἀποκαλῶν; Πρόσχες οἷα φρονεῖς, οἷα λέγεις, οἷα γράφεις. „Εἶδον, ἔλεγεν ὁ προφήτης ὑπερυψούμενον καὶ ἐπαιρόμενον (τὸ παραλειφθὲν ἡμῖν αἰδοῖ τῇ πρὸς σὲ παραλέλειπται· σὺ δὲ οὐκ ἠγνοήκας), καὶ παρῆλθον, καὶ ἰδοὺ οὐκ ἦν, καὶ ἐζήτησα αὐτὸν, καὶ οὐχ εὑρέθη ὁ τόπος αὐτοῦ." Ἀλλὰ τοῦτο τὸ μέρος τοσοῦτον ἐχέτω τὸ γράμμα· τὰ δὲ ἐφεξῆς ἄκουε. Μὴ νόμιζε τὴν γεγενημένην ἧτταν τῶν σῶν ματαίων λογισμῶν ἐπὶ τελειώσει γεγενῆσθαι, μὴ τοῦτο ὑπολάμβανε· εἰ δ' ὑπολαμβάνεις, ὡς φλυαρίαν ἀποστράφηθι τὴν ὑπόληψιν. Ἀλλὰ νενίκηται ὁ πρὸς σὲ λαὸς ἐκστρα-

До същия

Същото слово, което стои в началото на твоето хубаво и разумно послание, и аз турям в началото, чедо мое, ако, разбира се, трябва да нарека чедо чедото, което е оскърбило баща си; но аз съм твой баща и щеш не щеш, епископ, който, ако и най-незначителен, не е отхвърлил почитанията към бога. Прочее на епископите, ако и да са грешници, вие не сте съдии; напротив, епископите са ваши съдии, ако, разбира се, сте от стадото Христово и не сте се отклонили от това стадо. Но ние сме оглупели, както казваш ти, разумният. Ние благодарим на нашия бог, който заради нашите грехове ни е хвърлил в нозете на оскърблението. Но кажи ми ти, мъдрият, ти, най-умният: ако аз, старият баща, съм глупав, като умолявам сина-младеж за мир, за спогодба, за прекратяване кръвопролитието между християните, то какъв трябва да бъде младежът-син, който нарича глупав умоляващия за мир баща? Внимавай какво мислиш, какво вършиш и какво пишеш. „Видях— казва пророкът — човек горд и надменен (изпуснатото изпуснахме от уважение към тебе; ти го твърде добре знаеш) и отминах, и ето той повече не съществуваше, и го подирих, и мястото му не се намери." Но нека бъде това доста за тази част на това писмо. Слушай по-нататък. Не мисли, че станалото поражение[1] е произлязло за изпълнение на твоите суетни помисли, не предполагай така, а ако пък предполагаш така, отхвърли това предположение като празнословие. Обаче победен бе народът, който беше излязъл на поход срещу тебе:

[1] Тук патриарх Николай Мистик има пред вид поражението на византийците при р. Ахелой на 20 август 917 г.

τεύσας, πρῶτον μὲν κρίμασιν ἀποῤῥήτοις τοῦ ἐξ ἀποκρύφων ταμείων τὰς ἑαυτοῦ κρίσεις ὁπότε βούλοιτο προάγοντος· δεύτερον δέ, ὅσον ἔστι καὶ ἀνθρώποις εἰδέναι τῶν οἰκείων ἕνεκεν σφαλμάτων. Κακῶς ποιεῖς καὶ οὐ περιεσκεμμένως τὴν νίκην πρὸς τὴν ἰδίαν ἁρπάζων ἐπιθυμίαν, καὶ ὑπολογιζόμενος ὡς ἕνεκεν τοῦ σὲ τῶν Ῥωμαίων κατασχεῖν ἐξουσίαν, τὸ γεγονὸς ἁμάρτημα τῷ Ῥωμαϊκῷ συνέβη λαῷ. Νέος εἶ· καὶ εἰ μὲν οὐκ ἤκουσας, μάνθανε· εἰ δὲ ἀκούσας ἐπιλέλησαι, ἀναμνήσθητι.

Πάλαι ποτὲ ἡ Περσικὴ στρατιὰ μέχρι τῶν ἐνταῦθα ηὐλίσατο, καὶ ἃς ἀπειλεῖς πυρκαϊὰς καὶ οἰκοδομημάτων καταστροφὰς διεπράξατο. Ἀλλ' οἱ μὲν ἀπώλοντο, καὶ ὅσον εἰς μνήμην ὀνόματος περιλείπονται· ἡ δὲ Ῥωμαϊκὴ βασιλεία ἐπὶ τῆς οἰκείας ἕστηκε κρηπῖδος. Ἀλλὰ καὶ ἄνω τούτων τὰ τῶν Ἀβάρων γένη, ὧν ὑμεῖς ἀποσπάδες (καὶ μηδέν σοι πρὸς βάρος ὁ λόγος), καὶ δοῦλοι καὶ δραπέται γεγόνατε, ἐπὶ πλεῖστον τὴν μεγάλην ταύτην καὶ ὑπὸ τῇ πάντων δεσποίνῃ καὶ κυρίᾳ στρατηγουμένῃ πόλει, μέχρι καὶ τῶν τειχῶν ἐπέδραμον· ἀλλὰ καὶ οὗτοι ἀπώλοντο, καὶ οὐδὲ λείψανον τοῦ γένους ὑφίσταται, αὕτη δὲ σὺν τῇ λαχούσῃ αὐτῇ ἐξ ἀρχῆς καὶ δόξῃ καὶ βασιλείᾳ φαιδρύνεται. Βούλει σοι καὶ ἄλλην γράψωμεν τυραννικὴν ἔφοδον, καὶ οὐδ' ὅσον καὶ ἀξίαν συγκρίνεσθαι τῇ ὑμετέρᾳ ἐφόδῳ; Τὸ Σαρακηνῶν γένος ναυσὶ μὲν μυρίαις ἱππότῃ δὲ καὶ πεζῷ λαῷ ὑπερβάλλοντι, τὴν μεγάλην ταύτην καὶ ὡς ἀληθῶς τοῦ Θεοῦ πόλιν ἐπὶ χρόνοις ἑπτὰ περιεκύκλωσαν, καὶ πάντας εἶδεν ἀπώλεια, καὶ παντελῶς ὀλίγοι πρὸς τὴν ἰδίαν πατρίδα ὑπέστρεψαν· αὕτη δὲ διαμένει καὶ διασώζεται τῆς ἐξ ἀρχῆς εὐδοκίας φρουρουμένη ταῖς πτέρυξιν. Ἠγάπησα καὶ ἀγαπῶ σε, τέκνον ἡμῶν, ὁ μωρανθεὶς ὡς σὺ λέγεις, πατήρ, καὶ συμβουλεύω σοι, σὺ μὲν ὡς νομίζεις, μωρά, πάντως δὲ οὐ μωρά· κατάλιπε τῶν σε πλανησάντων τὴν πλάνην· ῥίψον τὰς ματαίας ἐλπίδας, ἀρκέσθητι τῇ ἐξου-

първо, по неизречената присъда на оногози, който изважда от съкровени хранилища своите присъди, когато му е угодно, а, второ — доколкото е възможно и на хората да знаят, — поради собствените му грешки. Постъпваш зле и необмислено, като приписваш победата на собственото си желание и като предполагаш, че станалото поражение, което постигна ромейския народ, е станало за това, щото ти да завладееш властта над ромеите.[1] Млад си и ако не си чул, то узнай, а ако си чул, но си забравил, то спомни си.

Отдавна някога персийската войска е стояла на стан чак до тукашните места,[2] причинявала пожари и разрушения на сгради, с които ти сега заплашваш; но тя погина и само името ѝ остана за спомен, а Ромейската империя стои на собствените си основи. Но и преди тях аварските племена, от които, нека думите ми никак да не те обиждат, сте издънка и бяхте техни роби и бежанци,[3] извършваха нападения до стените на този велик град, защищаван от владичицата и господарка[4] на всички; но те погинаха и не съществуват даже и следи от тяхното племе, а пък този град се украсява с отколе падналата му се слава и царска власт. Искаш ли да ти напиша и за друго тиранско нашествие, което не може да се сравни нито по големина, нито по значение с вашето? Сарацинското племе обсади с множество кораби и с още по-голям брой конница и пехота този велик и наистина божи град цели седем години, но всички ги сполетя погибел и съвсем малко се завърнаха в отечеството си,[5] а градът си остава и се запазва, охранен под крилата на изначалното благоволение божие. Обикнах те и обичам те, чедо наше, аз, оглупелият, както казваш ти, баща, който ти дава, както ти мислиш, глупави съвети, а в същност — съвсем неглупави: остави заблудата на ония, които те заблуждават, отхвърли суетните надежди, задоволи се с властта, която си насле-

[1] След победата си над византийците при Ахелой Симеон открито изявил своите претенции над императорския престол. Вж. *Златарски*, Писмата..., СбНУК, XI, стр. 20—23. [2] Става дума за голямата обсада на Цариград от перси, авари и славяни през 626 г. Персите начело с Шахрбараз се намирали на малоазийския бряг, а аварите и славяните начело с аварския хаган — на европейския бряг. [3] Николай Мистик намеква за времето, когато прабългарите се намирали под властта на аварите. [4] Т. е. от Богородица, смятана за покровителка и спасителка на Цариград. [5] Арабите начело с Моавий обсаждали Цариград в продължение на седем години (669 — 676). Всяка пролет те се явявали със своята флота под стените на византийската столица и прекъсвали обсадата през есента. За тия събития вж. *Ostrogorsky*, History, p. 111.

σίᾳ ἣν ἐκ τῶν σῶν πατέρων ἐκληρονόμησας, μὴ βούλου δεσπόζειν ὑφ᾽ ὧν ἐδιδάχθης ἐπιγινώσκειν τὸν τῶν ὅλων Δεσπότην· οὐδεὶς δοῦλος ὑπάρχων τινὸς, εἶτα ὑφ᾽ἑτέρου τῆς δουλείας ἀπηλλαγμένος, καὶ σωφρονῶν, ἐπιζητεῖ γενέσθαι δεσπότης τοῦ τῆς δουλείας αὐτὸν ἀπαλλάξαντος. Ἐνθυμήθητι καὶ σὺ, ὅτι δοῦλοι δαιμονίων ἦτε, καὶ τῆς ἐκείνων ἀπηλλάγητε δουλείας ὑπὸ τῶν Θεοῦ χάριτι διεπόντων τὴν Ῥωμαϊκὴν ἐξουσίαν· μὴ διανοῆσθε τῶν ὑφ᾽ὧν τῆς ἐλευθερίας ἠξιώθητε, δεσπόται γενέσθαι· μὴ ἐπὶ τοσοῦτον ἀγνωμονήσητε, μηδὲ καταλίπης μνήμην τοιαύτην, ὡς γέγονέ τις Βουλγάρων ἀρχηγὸς, ὃς ἐβουλήθη τοὺς ἐλευθερώσαντας τὸ Βουλγάρων γένος ἐκ τῆς τοῦ διαβόλου δουλείας, ὑφ᾽ ἑαυτὸν δουλῶσαι, καὶ γενέσθαι τῶν ἐλευθερωσάντων δεσπότης. Ταῦτά σοι γέγραφα ὁ μωρὸς κατὰ τὴν σὴν δόξαν ὡς φρονίμῳ· σὺ δὲ οὐκ ἀγνοεῖς ὡς σοφὸς, τό· „Δίδου σοφῷ ἀφορμὴν, καὶ σοφώτερος ἔσται.“ (X, col. 80 D—84 B)

дил от предците си, не пожелавай да господаруваш над ония, от които ти си се научил да познаваш господаря на всичко! Никой, който е бил някому роб, а след това е бил освободен от робията от другиго и е разумен, не ще поиска да стане господар на тогози, който го е освободил от робство. Помисли тъй също и ти, че вие бяхте роби на бесове и че бяхте избавени от тяхното робство благодарение на ония, които по милост божия управляваха ромейското царство. Не помисляйте да станете властители на ония, чрез които вие се удостоихте със свобода.[1] Не бъдете дотолкова неблагоразумни, нито пък оставяй такъв спомен, че е имало един български управител, който пожелал да покори под властта си онези, които са освободили българския род от робството на дявола, и да стане господар на освободителите. Това ти написах аз,[2] глупавият според твоето мнение, на тебе като разумен, а ти твърде добре знаеш, ако си мъдър, следното: „Дай на мъдрия повод и той ще стане още по-мъдър.“

9. Ad eundem

Τῷ αὐτῷ

Εἰ μὲν δυνατὸν ἦν αὐτὸν ἐμὲ πρὸς σὲ, τέκνον ἡμῶν, παραγενέσθαι, οὐκ ἂν παρῃτησάμην τοῦτο ποιῆσαι· ἀλλὰ καὶ τῆς ὁδοῦ τὸ μῆκος, καὶ τοῦ χειμῶνος τὴν πικρίαν ἐν δευτέρῳ ἂν ἐθέμην, καὶ τὴν πρὸς τὴν μεγαλόδοξόν σου ἀρχὴν οὐκ ὤκνησα πορείαν ποιήσασθαι. Νῦν δὲ ὅτι καὶ τὸ γῆρας ἐπίκειται, καὶ ἡ τούτου βαρύτης μικροῦ καὶ τοῦ ἐκ τῆς κλίνης ἡμᾶς ἀνίστασθαι ἀπόρως διατίθησι, καὶ ἄκοντες ἐπεχόμεθα τῆς τοιαύτης ὁρμῆς, ἣν οἶδα ὡς εἴπερ ἦν ἐνδείξασθαι, οὐκ ἂν ἀπέτυχον τοῦ σκοποῦ· οὐ γὰρ ἂν ἐπαυσάμην. τοῦτο μὲν ῥήμασι δυσωπῶν, τοῦτο δὲ τὴν κεφαλὴν καὶ τὰ ὄμματα, καὶ τὸ φίλον ἐμοὶ πρόσωπον, καὶ τὰς χεῖρας καταφιλῶν, τοῦτο δὲ καὶ γονάτων ἁπτόμενος, τυχὸν δὲ καὶ τῶν ποδῶν, ἕως ἂν τὸ σπουδαζόμενον κατεπραξάμην. Ἀλλ᾽ ἐπέχει με τῆς τοιαύτης ὁρμῆς τὸ χαλεπὸν γῆρας, καὶ ἡ ἀπαραίτητος τυραννὶς τῆς ἀσθενείας· διὰ ταῦτα προσ-

До същия

Ако беше възможно самият аз да се явя при тебе, чедо наше, не щях да се откажа да направя това: щях да пренебрегна дългия път и суровата зима и не щях да се поколебая да предприема пътуване към твоята преславна власт. Сега пък, когато и старостта ни е налегнала и нейното бреме едва ми позволява да ставам за малко от леглото си, ние против волята си се въздържаме от такова пътуване, за което зная, че ако можех да го предприема, то щях да постигна целта си. Защото нямаше да престана ту с думи да те умолявам, ту да ти целувам главата, очите, милото лице и ръцете, ту да обгръщам коленете ти и даже краката ти дотогава, докато не постигна желаното. Но мене ме въздържа от такова пътуване тежката старост и неумолимата тирания на бол-

[1] Тук авторът на писмото има пред вид покръстването на българите. [2] Вероятно това писмо е написано през 918 г.

δεόμενα γράμματος. Ἀλλὰ πρῶτον κατανόησον, τέκνον ἡμῶν, ὑπὲρ τίνος ἡ πρεσβεία, καὶ εἰ τυχὸν ἐγὼ διὰ τὰς ἐμὰς ἁμαρτίας ἀνάξιος εἰσακούεσθαι, ἀλλὰ τὸ μέγεθος τοῦ πράγματος, ὑπὲρ οὗ πρεσβεύομεν, τὴν σὴν φιλόχριστον δυσωπησάτω ψυχὴν, ὅπερ οἶμαι, καὶ αὐτὸς ἐπιθυμεῖς καὶ ζητεῖς, καὶ οἷα τὰ ἐξ ἀνθρώπων ἀναντιώματα τὴν καλὴν ταύτην ἀνακρούει ἐπιθυμίαν. Ἀλλὰ τί μὴ τάχιον λέγω τὸ βούλημα τῆς ψυχῆς καὶ τὸ πρᾶγμα; Προπαρασκευάζομαι δὲ καὶ οἷον προυδοποιῶ τὴν προσαγωγὴν τῇ ἱκετηρίᾳ· ἱκετεύομεν καὶ δεόμεθα, τέκνον ἡμῶν, ἐκείνην σοι τὴν δέησιν φέροντες, ἧς ὁ Πατὴρ καὶ Θεὸς τῶν ὅλων τὸν μονογενῆ αὐτοῦ Υἱὸν ἀπόστολον καὶ πρέσβυν εἰς τὸν κόσμον ἀπέστειλεν· ἀπέστειλε γὰρ ἐκ τῶν ἀχράντων καὶ θείων κόλπων τὸν ὁμότιμον αὐτοῦ καὶ ὁμόδοξον Υἱὸν ἐπὶ τὸ καταλῦσαι μὲν τὸ μεσότοιχον τῆς ἔχθρας βραβεῦσαι δὲ τὴν εἰρήνην τοῖς κατ' ἀλλήλων ἐκπεπολεμωμένοις. Δυσωποῦμεν ἡμεῖς οἱ ταπεινοὶ καὶ παρίστασθαι τῷ ἁγίῳ θυσιαστηρίῳ καταξιωθέντες, οὐδὲ δι' ἓν ἡμέτερον κατόρθωμα, ἀλλὰ διὰ τὴν ἄφατον ἀγαθότητα τοῦ ταύτης ἡμᾶς τῆς χάριτος καταξιώσαντος· ἀλλὰ δυσωποῦμέν σου τὴν φιλόχριστον ψυχὴν, ὅπερ καὶ Θεὸν τῷ θυσιαστηρίῳ παριστάμενοι δυσωποῦμεν, ὑπὲρ εἰρηνικῆς καταστάσεως.

Ἕως τίνος ὁ ἀπ' ἀρχῆς ἐχθρὸς τοῦ πλάσματος τῆς θεϊκῆς παλάμης ἐπευφρανθήσεται ταῖς ἡμῶν συμφοραῖς; Ἕως τίνος ἡ γῆ Χριστιανῶν αἵμασι μιαίνεται ὑπὸ Χριστιανῶν χειρῶν κενουμένοις; Ἔσφαξε Κάϊν Ἄβελ τὸν ἀδελφὸν, καὶ ὅμως σφαγέντος ἑνὸς ἐβόα αἷμα πρὸς τὸν Θεόν. Τί λογίζῃ, τέκνον ἡμῶν; Τί διανοῇ τοσούτων αἱμάτων μέχρι τοῦ νῦν κενουμένων; Πόσην εἰκὸς τὴν βοὴν ἀναφέρεσθαι πρὸς τὸν Θεόν; Καὶ οὔπω λέγω περὶ τῶν ζώντων, τοὺς ὀρφανοὺς παῖδας, τὰς χηρευούσας γυναῖκας, τοὺς ἀδελφῶν ἐστερημένους, τοὺς τέκνων ἐρήμους, τὰ ἅγια θυσιαστήρια, τῶν μοναζόντων τὸν σκεδασμὸν, τῶν παρθένων τὴν διαφθορὰν, ὧν

навостта, та затова трябва да ти пиша.[1] Но най-напред помисли, чедо наше, за какво се отнася пратеничеството[2] и ако аз случайно поради моите грехове съм недостоен да бъда изслушан, то поне важността на работата, за която се застъпваме, нека да смекчи твоята христолюбива душа, което, аз мисля, и ти сам желаеш и търсиш и само препятствия от страна на хората задържат това прекрасно желание. Но защо ли аз да не изкажа по-скоро душевното си желание и [същността на] работата? Аз предварително се приготвям и като че предварително подготвям достъпа за молбата си: умоляваме и просим, чедо наше, като ти представяме онази молба, заради която бог и отец на всичко изпрати в света единородния си син като апостол и пратеник, понеже той изпрати от своето пречисто и божествено лоно своя равночтим и равнославен син, за да разруши преградите на враждата и да закрепи мир между враждуващите едни срещу други. Умоляваме те ние, смирените и удостоени да стоим пред свещения олтар, и не само заради един наш успех, но заради неизказаната добрина на онзи, който ни е удостоил с тази благодат, умоляваме твоята христолюбива душа за установяване мира, за което, застанали пред олтаря, молим бога.

Докога изначалният враг на творението на божествената ръка ще се радва на нашите злополучия? Докога християнската земя ще се обагря от кърви, пролени от християнски ръце? Каин уби брата си Авел и макар да беше убит само един човек, все пак кръвта му надигна глас към бога. Какво мислиш, чедо наше? Какво смяташ, когато толкова кърви досега са пролени? С какво стенание трябва да се вика към бога? Аз вече няма да говоря за живите: за децасирачета, за жени-вдовици, за тези, които са се лишили от братя, за тези, които са загубили чеда, за свещените олтари, за разпръсването на монасите, за изнасилването на девиците, чиито непрекъс-

[1] През 919 г. великият друнгарий на флотата Роман Лакапин отстранил от регентството Зоя, майката на Константин VII Багренородни, и взел властта. Той оженил дъщеря си за младия император и се обявил за василеопатор, т. е. за баща на василевса, а малко по-късно — и за съимператор. След тия събития Симеон видял своите планове разстроени. Тъй като може би е искал да се възползува от вътрешните неуредици във Византия, той започнал да се готви за война. Това писмо на патриарх Николай Мистик (от 919 или 920 г.) е било изпратено с цел да се предотврати войната. Вж. *Златарски*, Писмата..., СбНУК, XI, стр. 27—30. [2] За да се предотврати войната, от Цариград е било изпратено и специално пратеничество до цар Симеон.

οἱ διηνεκεῖς στεναγμοὶ καὶ τὰ δάκρυα ἐντυγχάνουσι διὰ παντὸς τῷ Θεῷ. Οἶδα ὅτι καὶ χωρὶς τῶν ἡμετέρων λόγων φρόνιμος ὤν, καὶ εἴπερ τις ἀνθρώπων φρονιμώτατος, ἐνθυμῇ ταῦτα· ἀλλ' οἴμοι! δαίμονος ἐπηρείᾳ καὶ ἀνθρώπων κακοβουλίᾳ τῇ σῇ πρᾳείᾳ ψυχῇ ἐμπεσοῦσα πικρία, ἄνθρωπον ὄντα διερεθίζει καὶ φιλονεικεῖ μὴ συγχωρῆσαι γενέσθαι τῆς ἑαυτοῦ ἡμερότητος. Ἀλλὰ, τέκνον ἀγαπητὸν, εἴτε δαίμονος τὸ ἔργον, μὴ ἐπὶ πλέον παρασχῶμεν αὐτῷ καταρχεῖσθαι καθ' ἡμῶν· εἴτε ἀνθρώπων κακοβουλίαις ἀπήντησε τὰ ἐλεεινὰ ταῦτα καὶ δυσχερῆ πράγματα, ἀρκεσθῶμεν ταῖς κατ' ἀλλήλων ἐπιθέσεσιν· ἦρξαν τοῦ πονηροῦ ἐπιχειρήματος οἱ προκατάρξαντες προελύπησαν τὴν σὴν ψυχὴν δι' ὧν κατὰ σοῦ προκεκίνηται. Ἔχεις ἱκανὴν τὴν τιμωρίαν· ἀναλόγισαι τὰ συμβεβηκότα πάθη, καὶ σβέσον τὸν θυμὸν τῆς ψυχῆς οἷς ἔπαθον οἱ σὲ κακῶς ποιήσειν ἐπιχειρήσαντες.

нати стонове и сълзи постоянно достигат до бога. Зная, че ти, който и без нашите слова си разумен и дори извънредно разумен, размисляш за това. Но, уви, поради злобата на дявола и злоумишлението на хората попадналата в кротката ти душа горчивина те раздразва, бидейки човек, и те подбужда, щото ти да не допуснеш да се прояви твоята кротост. Но, възлюблено чедо, ако това е работа на дявола, то нека не му позволим повече да се подиграва с нас. Ако пък тези достойни за съжаление и неприятни неща са произлезли от злоумишлението на хората, то нека се задоволим с тези взаимни нападения. Предишните управници[1] започнаха недобро дело: те предварително опечалиха душата ти с това, което повдигнаха срещу тебе. Ти им доста отмъсти; помисли за станалите бедствия и угаси душевния си гняв, защото ония, които се бяха заловили да ти вредят, са вече наказани.

Ἔστιν ὁ νόμος οὗτος κρατῶν οὐ μόνον ἐν ἀνθρώποις, ἀλλὰ καὶ ἐν θηρίοις. Ἔστι γὰρ πολλάκις ἰδεῖν θηρία ὑπὸ θυμοῦ κατ' ἀλλήλων ἐφορμήσαντα· εἶτα τοῦ ἑνὸς ἐλαττωθέντος, τὸ ἕτερον καταπραΰνεται. Μὴ βουληθῶμεν ἡμεῖς καὶ θηρίων φύσιν παρεξελθεῖν, μηδ' ἄσβεστον ἔχειν θυμὸν, μηδὲ τὴν πικρίαν ἀκατάληκτον. Ἀλλ' ἐπὶ λογισμοὺς ἐλθὼν ἀνθρωπίνους, καὶ μάλιστα τῇ σῇ πρέποντας φρονήσει, ἐάσας τοὺς πολέμους, τὰς σφαγὰς καὶ τὰς τῶν αἱμάτων χύσεις, ἀπόβλεψον πρὸς τὸ μέγα πρᾶγμα τῆς εἰρήνης, τὴν ἀτίμητον κληρονομίαν, ἣν κατέλιπεν ἡμῖν ὁ ἀδελφὸς ἡμῶν γενέσθαι καταξιώσας, ἵνα εἰρηνοποιήσας υἱοθετήσῃ ἡμᾶς τῷ Θεῷ καὶ Πατρί. Ἐκεῖνον, τέκνον, νόμισον ὁρᾶν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἑστῶτα, καὶ τὰ οἰκεῖα τραύματα ὑποδεικνύντα, τὴν σφαγὴν, τῆς πλευρᾶς, τὰς τρήσεις τῶν χειρῶν καὶ τῶν ποδῶν, τοιαῦτα λέγειν. Τί τοῦτο, τέκνα ἐμὰ, λαὸς ἐμὸς, κλῆρος ἠγαπημένος, ὃν μοι ἔδωκεν ὁ Πατὴρ ἀντὶ τῆς ἐμῆς ὑπακοῆς, καὶ τῆς μέχρι σταυροῦ καὶ τοῦ θανάτου συγκαταβάσεως; Τί τοῦτο; Πῶς ἐπελάθεσθε τῆς ἐμῆς ἐντολῆς; Πῶς ἀμνημονεῖτε τῶν ἐμῶν παραινέσεων; Ποῦ μοὶ ἀπώλετο ἡ ἀγάπη ἣν κατέλιπον ὑμῖν; Τί γέγονεν ἡ εἰρήνη, ἣ ἐδίδαξα ὑμᾶς; Πῶς ἐμὲ κεφαλὴν ὁμολογοῦντες, καὶ μέλη ἐμὰ φιλοῦντες καταμιάζε-

Съществува закон, който има сила не само между хората, но и между зверовете. Често се случва да виждаме как зверовете в гнева си се нахвърлят един върху друг, но когато единият бива победен, другият се укротява. Нека не се стремим да надминем природата на зверовете, нито да имаме неугасим гняв, нито безкрайно озлобление. Но ако преминеш към човешки разсъждения, и особено такива, които подобават на твоето благоразумие, и като оставиш войните, убийствата и кръвопролитията, обърни поглед към великото дело на мира, на безценното наследие, оставено ни от тогова, който счете за достойно да стане наш брат, за да ни направи, след като въдвори мир, синове на бога и отца. Представи си, чедо, че той стои между ромеите и българите и като показва своите рани, прободената си страна, пробитите си ръце и крака, казва следното: „Що е това, чеда мои, народе мой, възлюблено наследие, което ми даде отец заради моето послушание и за това, дето съм стигнал до кръста и смъртта? Що е това, как забравихте моята заповед? Как не си спомняте моите наставления? Къде изчезна любовта, която аз ви оставих? Що стана мир, на който аз ви научих? Как вие, които ме признавате за своя глава и които обичате да се на-

[1] Под „предишни управници" Николай Мистик разбира византийското правителство начело с императрица Зоя. Вж. тук, стр. 219, бел. 1.

σθαι, καὶ ἀλλήλων ὁπλίζεσθε; Οὐκ ἔστι τοῦτο μελῶν τὴν αὐτὴν κεφαλὴν ἐχόντων, ἀλλ' ἀνάγκη χωρίζεσθαι καὶ ἑτέραν ζητεῖν κεφαλήν. Ταῦτά μοι νόμιζε τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν πλέον ὀδυνώμενον ἢ ὅτε τῷ σταυρῷ προσήλοῦτο λέγειν· οὗ ὡς ἀληθῶς ἀκούοντες δυσωπηθῶμεν τοὺς λόγους, αἰδεσθῶμεν τὰ τραύματα, φοβηθῶμεν τὴν λύπην αὐτῷ ἐμπαρέχειν καὶ ὡς ἔστι καιρὸς θεραπεύσωμεν τὰ εἰς ἀλλήλους σφάλματα, ἀπαλλάξωμεν δὲ κἀκεῖνον τῆς ἐφ' ἡμᾶς ὀδύνης καὶ τοῦ ἀλγήματος, καταστήσωμεν εὐμενῆ τὴν θείαν δίκην, πάλιν πρὸς τὸ εἰρηνικὸν μεταβεβλημένοι, καὶ τὴν ἀρχαίαν ἀγάπην ἀναλαβόμενοι, καὶ μὴ ἀναμείνωμεν ἐκεῖθεν ὑπὲρ ὧν εἰς ἀλλήλους ἐξεπολεμήθημεν, μᾶλλον δὲ εἰπεῖν ἐξεμάνημεν, κριθῆναι ὅτε καὶ ἡ ἀπολογία ἀπρόσδεκτος, καὶ πᾶσα πρόφασις ἀνενέργητος, καὶ ἡ κατάκρισις ἀσυγχώρητος. Μὴ καταγνῷς ἡμῶν ὡς ἀδολεσχούντων, εἰ πλέον τὸν λόγον ἐκτείνομεν· τὰ γὰρ κοινὰ πάθη, καὶ οἱ σπαραγμοὶ τῆς καρδίας πρὸς τοῦτο βιάζονται. Καὶ εἴπερ ἦν μοι, κατὰ τὸν παλαιὸν λόγον, πλειόνων εὐπορῆσαι γλωσσῶν, τοῦτο ηὐξάμην ἄν, ἵνα ἴσως οὕτως ἱκανῶς ἀπεκλαυσάμην, καὶ τὰς δεήσεις μὴ πολὺ τῶν κακῶν λειπομένας καὶ πρὸς Θεὸν ἐποιησάμην, καὶ πρὸς τὴν σὴν μεγαλοφυῆ ἐξουσίαν. Ἀλλ' ἐπεὶ μὴ πλειόνων ἔστι μοι γλωσσῶν εὐπορία, τῇ δεδομένῃ τέως παρὰ τῆς φύσεως ἀποχρήσομαι, καί, ὥσπερ εἶπον, ὑπὸ τοῦ ἄλγους τῆς ψυχῆς βιαζόμενος, μακρότερον τὸν λόγον ποιήσομαι. Ἐνθυμήθητι, τέκνον ἐμόν, πρὸ τοῦ μέλλοντος κριτηρίου, πρὸ τῆς φοβερᾶς ἐκεῖ παραστάσεως, ὅτι διάκρισις οὐκ ἔστιν ἀρχόντων καὶ πενήτων ἐκ τῆς κοσμικῆς ταύτης περιφανείας, ἀλλ' ἀπὸ μόνων τῶν ψυχικῶν κατορθωμάτων· λάβε μοι κατὰ νοῦν καὶ πρὸ τῆς παγκοσμίου ἐκείνης συναγωγῆς ἐπὶ τοῦ ἀδεκάστου κριτοῦ, τὰ ἐν τῷ παρόντι βίῳ μετὰ τὸν ἡμέτερον θάνατον ὑπὸ τῶν τότε στρεφομένων ἐν τῇ ζωῇ ταύτῃ, περὶ ἡμῶν εἰς μνήμην ἐσόμενα. Τίς γὰρ τῶν μετὰ ταῦτα τοσαύτην ἀκούσας Χριστιανῶν μιαιφονίαν οὐ λοιδορήσεται, οὐκ ἐπαράσεται, οὐ πᾶν εἴ τι πονηρὸν ὄνομα εἰς τοὺς τὰ τοιαῦτα πεπραχότας ἀναθήσει;

рачате мои членове, се въоръжавате един срещу друг? Това не е свойствено на членове, които имат една глава: тям им е необходимо да се разделят и да си търсят друга глава.“ Представи си, че това говори сам Христос и бог наш, опечален повече, отколкото тогава, когато той беше прикован на кръста. Нека се побоим от думите му, сякаш наистина го слушаме, нека се засрамим от раните му, нека се побоим да му причиним печал и навреме да оправим взаимните грешки! Нека го освободим от скръб и мъка заради нас, нека направим благосклонно божественото правосъдие, като се възвърнем отново към мира и възобновим предишната любов! Нека не чакаме, щото това, за което ние започнахме да воюваме, или по-добре да кажем, започнахме да беснеем един срещу друг, да бъде осъдено [от него], когато и защитата бъде неприемлива, и всяко оправдание недействително, а присъдата неотменна! Не ни осъждай като хора, които бръщолевят, ако проточваме надълго словото, защото общите бедствия и гърчовете на сърцето ми ни принуждават към това и ако за мене беше възможно съгласно древния израз да разполагам „с много езици“, то аз бих пожелал това, та по този начин може би щях да се наплача достатъчно и щях да отправя към бога и към твое великодушно господство просби, които не биха отстъпвали много на самите нещастия. Но понеже аз не разполагам с много езици, то ще се възползувам от този, който засега ми е даден от природата, и затова, както вече казах, принуден от душевна горест, ще разтегна словото си. Помисли си, чедо мое, преди бъдещия съд и преди тамошното страшно представяне, че не се прави разлика между управници и бедни според тяхната светска знатност, а само според техните духовни заслуги. Вземи пред вид и това, че преди онова всеобщо явяване пред неподкупния съдия делата в настоящия живот ще бъдат споменавани след нашата смърт от ония, които ще живеят тогава. Кой прочее от по-сетнешните поколения, като чуе за толкова голямо изтребление на християните, няма да порицава, няма да проклина, няма да нарече с най-лошото име онези, които са извършили това.

Ἐγένοντο πολλοὶ πλειστάκις ἐχθροὶ πρὸς ἀλλήλους, ἀλλ' ὅσοι ἐπιεικέστεροι, ὅσοι τὸν τρόπον

Твърде често мнозина са ставали врагове помежду си, но ония, които са

ἀνθρωπικώτεροι, ἔδωκαν ὅρον τῇ ἔχθρᾳ, οὐκ ἐνέμειναν διαπαντὸς τῷ κακῷ, ἀλλὰ συνειδότες ὡς ἀνθρωπίνης φύσεως ἀλλότριον τὸ ἀχθραίνειν, μετέβαλον εἰς εἰρήνην τὴν ἔχθραν. Καὶ οὐ λέγω τέκνα πρὸς πατέρας, ἀδελφοὺς πρὸς ἀδελφοὺς ποιήσαντας, μαθητὰς πρὸς διδασκάλους, ἀλλὰ καὶ τοὺς πόῤῥω τῆς τοιαύτης συναφείας καὶ σχέσεως. Τὸ δ' ὑμέτερον ποταπόν; Τέκνα πρὸς πατέρας ἔχθραν ἄσπονδον ἔχετε, ἀδελφοὶ πρὸς ἀδελφούς, μαθηταὶ πρὸς διδασκάλους, καὶ τότε πηλίκης διδασκαλίας! ἥτις ὑμῶν ἀνέῳξε τὰ ὄμματα τῆς ψυχῆς, ὡδήγησε πρὸς τὸ φῶς, τῆς τοῦ διαβόλου δουλείας ἐῤῥύσατο· καὶ τὸ ἐπὶ τούτοις ἀσύγκριτον, υἱοὺς Θεοῦ ἀπειργάσατο. Τίς οὖν τῶν μεταγενεστέρων ταῦτα μέλλων ἀναμανθάνειν, οὐχὶ πάντα ὀνείδη, οὐχὶ πάσας βλασφημίας ἐπαφήσει κατὰ τῶν οὕτως ἀθάνατον ἔχθραν ἀραμένων. Εἶτα τί τὸ κέρδος τῆς ἐντεῦθεν περιφανείας, τῆς δόξης, τῆς ἀρχῆς, τῆς ἐξουσίας, ὅταν ἀπερχόμενοι τῆς ζωῆς ταύτης, ὄνομα πονηρὸν καταλείψωμεν, ὅταν ὑβριζώμεθα, ὅταν ἐξονειδιζώμεθα παρὰ τῶν μισούντων τὴν πονηρίαν, ὅταν ἐπαρῶνται ἡμῖν οἱ τὸ τῆς εἰρήνης καλὸν ἀγαπῶντες, καὶ τὰς σφαγὰς καὶ τὰς μιαιφονίας βδελυσσόμενοι; Κρεῖσσον ἀγαθὸν ὄνομα, τέκνον ἐμὸν, οὐ μόνον ὑπὲρ πλοῦτον πολὺν, ἀλλὰ καὶ ὑπὲρ πᾶσαν δόξαν καὶ βιωτικὴν περιφάνειαν.

Ἐννόει μοι ταῦτα καὶ ὅπερ παιδὸς ὄνομα καλὸν ἐπεπόθησας, μνήμην ἔντιμον καὶ λαμπράν. Ταύτην μὴ ἀπολέσωμεν διὰ φιλονεικίαν καὶ πικρίαν ψυχῆς· καλὸν ἐφόδιον πρὸς τὸν μέλλοντα βίον τὸ συναπάραι μετὰ τῶν τῆς ἀρετῆς ἐγκωμίων· καλὸν δὲ καὶ τὸ καταλιπεῖν τοῖς σοῖς χρηστοῦ πατρὸς τέκνα καλεῖσθαι, ἐπιεικοῦς, πράου, ἡμέρου, φιλανθρώπου, ἀλλὰ μὴ τὰ τούτων ἐναντία· μηδὲ γένοιτο, τέκνον ἐμόν, οὕτω τοὺς σοὺς υἱοὺς, τὰ ἐμὰ γλυκύτατα δυστυχῆσαι τέκνα, ὥστε ἀνθ' ὧν εἶπον καλῶν ὀνομάτων, κληρονομῆσαι τῶν ἐναντίων. Ἐκεῖνος ὁ κλῆρος τιμιώτερος τῆς μελλούσης αὐτοῖς παρὰ σοῦ καταλιμπάνεσθαι ἀρχῆς καὶ ἐξουσίας· ὧν σὺ φροντίδα ποιούμενος, ὡς ὄντως παρὰ Θεοῦ τοῦ σοῦ ἔθνους ἄρχειν καταστάς. Καὶ προσέτι τῆς ἐξ ἀρχῆς σου ἐπιεικείας καὶ ἡμέρου ψυχῆς μὴ ἐξιστάμενος, ἄνοιξον ἡμῖν τὰ ὦτα, καὶ πρὸ

били по-снизходителни и по-човеколюбиви по нрав, са слагали предел на враждата, не са упорствували изцяло в злото, но като са съзнавали, че ненавистта е чужда на човешката природа, са превръщали омразата в мир. Аз не говоря за чеда, които са извършили това спрямо бащите си, братя — спрямо братята си, ученици — спрямо учителите си, но и за ония, които са далеч от подобно родство и отношение. А какво е вашето поведение? Вие, деца, питаете непримирима вражда към бащите си, братя — към братята си, ученици — към учителите си, и то на какво учение! — на учение, което отвори очите на вашата душа, приведе ви към светлина, освободи ви от робството на дявола и освен това — което несравнено [стои] най-високо от всичко — направило ви е синове божии. И тъй кой от потомците, като узнае за това, няма да зачерни с всякакви порицания и хули ония, които са предизвикали по този начин безсмъртна вражда? После каква е ползата от земната знатност, слава, власт и мощ, когато като си отидем от този живот, ние оставяме подире си позорно име, когато ще бъдем охулвани, когато ще бъдем порицавани от онези, които мразят злото, когато онези, които обичат благото на мира и се отвращават от убийствата и кръвопролитията, ще ни проклинат? Доброто име, чедо мое, стои по-високо не само от голямо богатство, но и от всяка слава и земна знатност.

Иде ми на ум, че ти още от детинство желаеше добро име, почетен и славен спомен. Нека да не го загубиш заради честолюбие и суровост на душата! Добре е човек да замине за онзи свят, като отнесе със себе си възхвала за своята добродетел, а добре е да оставиш своите да се наричат чеда на отличен, справедлив, кротък и човеколюбив баща, а не противното на това. Да не се случи, чедо мое, щото твоите синове, моите пресладки чеда, да бъдат тъй злополучни, че вместо тия хубави имена, които споменах, да наследят противните. Такова наследство е по-ценно от оная власт и мощ, която ти ще им оставиш. За тези неща постоянно се грижиш, тъй като наистина си поставен от бога да управляваш своя народ. Освен това, като не се отказваш от твоята изначална справедливост и кротост на душата си, обърни слуха си към нас, а преди слу-

των ὤτων τὴν καρδίαν, καὶ πρόσχες τοῖς λεγομένοις ὡς παρὰ φίλου λεγομένοις καὶ †πατρὸς[a] *πρὸς ἀγαπῶντος. Εἰ μὴ νομίζῃς ἀνάξιον τὸ καλεῖν πατέρα, εἰ καὶ ἁμαρτωλὸν, ὅμως δὲ πρεσβύτην, καὶ ἐπισκόπου τάξιν λαχόντα, οὓς ὁ Χριστὸς ἡμῶν καὶ Θεὸς πνευματικοὺς ὑμῖν παρέσχε πατέρας, πολλῷ τῶν κατὰ σάρκα γνησιωτέρους· ἐπεὶ τὰ μὲν τῆς σαρκὸς λύεται, τὰ δὲ τοῦ πνεύματος ἄλυτα. Ἀλλ' εἰς εὐχὴν ὁ λόγος ἡμῶν τελευτάτω· καὶ τί ἕτερον ἢ τοῦτο φαμέν; Ὡς εἴη Χριστὸς ὁ ἀληθινὸς Θεὸς ἡμῶν, ὁ ἐλθὼν εἰς τὸν κόσμον ἐκκαθάραι τὰ σκάνδαλα, ἐξομαλίζων τὴν σὴν εὐγενῆ ψυχὴν, καὶ εἴ τι σκάνδαλον ἐν αὐτῇ παραπέπτωκεν ανακαθαίρων, καὶ τὸ ἐξ ἀρχῆς θειοτάτης φῶς ἀγάπης, ὅπερ ἐσπούδασεν ὁ τοῦ σκότους πατὴρ ἀποσβέσαι, πάλιν ἐν ὑμῖν ἀνάπτων καὶ ποιῶν ἀναλάμπειν· ὁ τὴν ἔχθραν ἀποκτείνας ἐν τῇ σαρκὶ αὐτοῦ, καὶ συνάψας τὰ διεστῶτα, ὁ εἰρηνοποιήσας τὰ πάντα διὰ τοῦ ἁγίου καὶ παναχράντου αἵματος, αὐτὸς καὶ νῦν πᾶσαν διχόνοιαν, πᾶσαν διάστασιν, πᾶσαν ἔχθραν ἐξορίσαι ἔκ τε Βουλγάρων καὶ Ῥωμαίων, καὶ πάλιν εἰς ἓν συνάψοι, καὶ ἐν απολαύσει δοίη γενέσθαι τῶν τῆς εἰρήνης καλῶν, συντριβέντος ἐν τάχει τοῦ τῶν σκανδάλων σπορέως καὶ τῆς κακίας γεννήτορος.* (XI, col. 84 B — 89 C)

ха — и сърцето си и обърни внимание на онези слова, които ти се казват като от приятел и любещ баща. Ако, разбира се, не смяташ за недостойно да ни наречеш баща, ако и грешник, все пак аз съм старец и епископ по сан. Тях Христос наш и бог ви е дал за духовни бащи и са много по-истински, отколкото плътските, защото плътската връзка се разкъсва, а духовната е неразривна. Но нека речта ми се свърши с молитва. Пък и какво друго ние ще кажем освен следното? Дано Христос, истинният наш бог, който е дошъл в света да изчисти съблазните, смекчи твоята благородна душа и ако някоя съблазън е попаднала в нея, да я очисти и отново да запали у вас и да направи да блесне изначалната светлина на пребожествената обич, която бащата на тъмнината се стараеше да угаси. Онзи, който е унищожил враждата в плътта си и е съчетал разделеното, който е умиротворил всичко чрез своята света и пречиста кръв, той и сега да прогони всяко разномислие, всеки раздор между ромеите и българите и отново да ги съчетае в едно, като им даде да се наслаждават от благостта на мира, след като бъде смазан бързо сеячът на съблазните и родоначалникът на злото!

10. Ad archiepiscopum Bulgariae

Τῷ ἀρχιεπισκόπῳ Βουλγαρίας

Ἐπιστάμεθα τὴν ὑμῶν ἀρχιερατικὴν τελειότητα περὶ τοῦ πράγματος οὗ γράφειν προήχθημεν, τὰ αὐτὰ φρονεῖν ἂν καὶ ἡμεῖς φρονοῦμεν, τὴν ἴσην ὀδύνην φέρειν ἐν τῇ καρδίᾳ, τοῖς ὁμοίως διαξαίνεσθαι σπαραγμοῖς. Καὶ διὰ τοῦτο γράφομεν οὐ παραίνεσιν οὐδὲ διδασκαλίαν, ἀλλ' οἷον συνομιλίαν καὶ ὅσα εἰ παρόντες ὁμοῦ καὶ συνδιατρίβοντες, κοινῶς ἂν διεσκεψάμεθα. Ταῦτα δὲ ἔστι περὶ τῶν καταλαβόντων κακῶν τὸν ἕνα μὲν Χριστοῦ λαὸν, Ῥωμαίους φημὶ καὶ Βουλγάρους, διαμερισθέντας δὲ ἐξ ἀλλήλων ὑπὸ τοῦ ἐξ ἀρχῆς τὸν ἄνθρωπον ἀπὸ Θεοῦ διατεμόντος καὶ διαμερίσαντος τὸν λαόν. Ὑπὲρ ταύτης γράφομεν τῆς κοινῆς φροντίδος, ἣν ὥσπερ ἡμεῖς ἀδιαλείπτως φέροντες στενάζομεν καὶ θρηνοῦμεν,

До архиепископа на България

Знаем, че ваше първосвещеническо съвършенство мисли същото, което мислим и ние относно делото, за което се заехме да пишем,[1] носи в сърцето същата болка и се разкъсва от същите гърчове. И затова не пишем нито увещание, нито поучение, но нещо като разговор и неща, които, ако бихме били събрани заедно и съпребивавахме, общо бихме обмислили. Това се отнася до злините, които са сполетели единния Христов народ, сиреч ромеите и българите, разделени едни от други от оногова, който изначало е откъснал човека от бога и е разделил народа. Пишем за тази обща грижа, носейки я непрестанно, въздишаме и плачем, а зная, че и самият

a) *locus corruptus*

[1] Датата на това писмо не е известна.

οἶδα ὅτι καὶ αὐτὸς ὁμοίως φέρεις, καὶ ἄρτος σοι τὰ δάκρυα γίνεται· ἐκ τῶν ἡμετέρων γὰρ τὰ ὑμέτερα διδασκόμεθα· ὧν γὰρ τὸ ἔργον καὶ ἡ διακονία κοινὴ, τούτων εἰκὸς κοινὰ γίνεσθαι τὰ πάθη καὶ τοὺς καμάτους· ἀλλ᾽ ὅτι μὲν ἡ αὐτὴ συνοχὴ καὶ τὰ ὅμοια κεντεῖ ἄλγη τὴν σὴν καρδίαν, οἷα καὶ ἡμᾶς, ἀρκεῖ τοσοῦτον ἐπιμνησθῆναι.

Λοιπὸν δὲ ἤδη τῆς οἷον συνομιλίας καὶ τῆς κοινῆς ἀπαρχόμεθα συνδιασκέψεως· ἄλλοι μὲν ἄλλαις ἀπετάγησαν διακονίαις ἐν τῇ παρούσῃ ταύτῃ ζωῇ, βασιλεῖς λέγω καὶ ἄρχοντας πόλεων, ἐπιστάτας πραγμάτων ἄλλων, οἰκονόμους τῆς διοικήσεως, ὧν ἕκαστος πρὸς ἣν ἔλαβε τάξιν ἀφορῶν, τὸ οἰκεῖον ὅστις ἔμφρων σπουδάζει ἀμέμπτως ἔργον ἐπιτελεῖν· ἡμεῖς δὲ οἱ παρίστασθαι τῷ ἁγίῳ ἀποτεταγμένοι θυσιαστηρίῳ, εἰ καὶ πολλῶν ἄλλων χρεῶσται καθεστήκαμεν ἐπιτελεῖν τὴν διακονίαν, ἀλλά γε πρὸ παντὸς ἑτέρου τὸ τῆς εἰρήνης ἔργον καὶ τὸ διώκειν ἐκ μέσου τὰ σκάνδαλα καὶ τὴν ἔχθραν, εἰς ὑπουργίαν ἐλάβομεν. Ἡ γὰρ τῆς φρικτῆς ἱερουργία θυσίας, ἣν εἰς ἀνάμνησιν ἐπιτελοῦμεν τοῦ ἵνα καταλύσῃ τὴν αἰώνιον ἔχθραν, τὴν βιαίαν ἐκείνην πρὸς θεὸν τῶν ἀνθρώπων μανίαν καὶ ἀνέλπιστον εἰς σπουδὰς εἰρήνης συμβῆναι ὑπομείναντος ὅσα ὑπέμεινε, τὰ ἐμπτύσματα, τὰ ῥαπίσματα, τὸν θάνατον τῶν κακούργων, τοῦτο ἡμῖν παρακελεύεται διὰ παντὸς τὸ πάσῃ δυνάμει, πάσῃ περινοίᾳ παντὶ λόγῳ τῆς εἰρήνης εἶναι σπουδαίους συμμάχους, τῆς ἔχθρας πολεμίους, καὶ πάσῃ ψυχῇ ἀποκλείειν τὴν εἴσοδον τῶν σκανδάλων· ἐπείπερ οἷον ἐπ᾽ ὄψιν ἡμῖν τοῦτο δὴ τὸ μέγα τῆς ἱερουργίας μυστήριον ὑποδείκνυσιν, αὐτὸν τὸν Υἱὸν τοῦ φιλανθρώπου Πατρὸς ὃς τοσοῦτον ἠγάπησε τὸν κόσμον, ὥστε τοῦτον ἐξαποστεῖλαι πρὸς ἡμᾶς· ἀλλὰ γὰρ τὸν Μονογενῆ τοῦτον, τὸν ἀγαπητὸν τὸν Ἀμνὸν τοῦ Θεοῦ θυόμενον καὶ ἐξίλασμα γινόμενον τῆς ἡμετέρας ἔχθρας πρὸς τὸν Θεὸν καὶ Πατέρα, τοῖς ὀφθαλμοῖς ἡμῶν ὥσπερ ὁρώμενον τὸ πανάγιον τοῦτο μυστήριον παρίστησιν, ὃς κληρονόμος ὢν τῆς θεϊκῆς δόξης, κατεφρόνησεν αἰσχύνης τοσαύτης καὶ ἀδοξίας ὑπ᾽ ἀνθρώπων ἐπ᾽ αὐτῷ τολμηθείσης; Ἵνα τοὺς διεστῶτας, τοὺς ἐχθροὺς, τοὺς πολεμίους διὰ τῶν οἰκείων παθῶν, διὰ τῶν τραυμάτων, διὰ τῆς αἰσχύνης ἀπαλλάξῃ καὶ συνάψῃ τῇ εἰρήνῃ, καὶ οἰκείους ἀπεργάσηται τῷ Θεῷ. Τί οὖν, ἀδελφὲ καὶ συνιερεῦ, δεῖ πράττειν ἡμᾶς; Ποταπὴν ἔχειν καρδίαν, ὁποίαν μέριμναν, ἡλίκην ἀγωνίαν, ὅταν τινὰς ὁρῶμεν κατ᾽ ἀλλήλων ἐκ-

ти също така я носиш и сълзите ти стават хляб: от нашите чувства, разбира се, узнаваме за вашите. Защото онези, които имат общо дело и обща служба, за тях подобава да станат общи страданията и трудовете. Но понеже същото безпокойство и еднаквите болки измъчват твоето сърце, както и нас, достатъчно е да се припомни това.

Прочее да наченем вече разговора, тъй да се каже, и общото обмисляне. Различните лица са отредени за различни служби в настоящия живот, сиреч царе и началници на градове, предстоятели на други дела, управители на области, от които всеки, като се насочва към поверената му служба, се старае, бидейки разумен човек, да извършва делото си безукорно. Ние пък, които сме отредени да служим на светия олтар, ако и да сме нищи в много неща, поставени сме да изпълняваме тази служба, но преди всичко друго сме натоварени да подпомагаме делото на мира и да прогонваме гнева и омразата между нас. Свещенослужението на страшната жертва, която извършваме в помен на оногова, който претърпя онова, което претърпя, именно заплювания, удари, смърт на злодеец, за да разруши онова насилническо безумие на хората спрямо бога, за което нямаше надежда да се превърне в усърдие за мира ни подканва винаги да бъдем с цяла сила, с всяка мисъл, с всяко слово усърдни съратници на мира, врази на омразата и с цяла душа да преграждаме достъпа на гнева, тъй като вече сякаш пред очите ни са показали това велико тайнство на свещенослужението: показани са ни самия син на човеколюбивия отец, който толкова възлюби света, че го изпрати при нас. Но, разбира се, тогава той представи пред нашите очи единородния си син, възлюбения, пожертвувания агнец божи, който стана изкупител на нашата омраза към бога и отца, сякаш видимо за нас всесвето тайнство, оногова, който, бидейки наследник на божествена слава, пренебрегна такъв срам и опозоряване, което дързнаха да му нанесат хората. Той го стори, та чрез собствените страдания, чрез раните, чрез опозоряването да примири смразените, враговете, неприятелите и да ги съчетае в мир и да ги направи близки богу. Що прочее, брате и съслужителю, трябва да правим ние? Какво сърце да имаме, каква грижа, какво безпокойство, когато виж-

μαινομένους, καὶ τὴν ἔχθραν ἀντὶ τῆς ἀγάπης ἀλλασσομένους; Καὶ ταῦτά φημι περὶ τῶ καθ' ἕνα τέως καὶ ἀνὰ μέρος. Πόσην οὖν κεχρεωστήκαμεν πρόνοιαν φέρειν, ὥστε οὕτω διατεθειμένους τὰς ψυχὰς ὑπὸ τοῦ πονηροῦ συμβιβάσαι, καὶ εἰρηνοποιῆσαι, καὶ πεῖσαι πάλιν διὰ τῆς ἀγάπης εἰς ἑνότητα συνελθεῖν; Ὅταν δὲ οὐχ εἷς, οὐδὲ δύο, οὐ δέκα, οὐδὲ πολλῷ τούτων πλείους ὁλόκληρος οἰκία καὶ πόλις, ἀλλ' ἔθνος ὅλον πρὸς ὅλον ἔθνος καὶ τότε ὁμόπιστον οἴμοι τῶν ἐμῶν παθῶν τὸ βαρύτατος, ὑπὸ τῆς τοῦ δαίμονος ἐνεργείας εἰς τὸ κακὸν τοῦτο περιενέχθησαν, τί ποιήσωμεν; τί διανοηθῶμεν; τί φρονήσωμεν; ποία ἡμέρα ἢ νὺξ ἀναπαύσει ἡμῆς ἀπὸ τῆς τοιαύτης μερίμνης, ἢ τῆς συνοχῆς;

Προῆλθε μὲν ἄχρι τούτου ὁ λόγος, ὥσπερ προῆλθεν· ἄρτι δέ, ὥσπερ αὐτὰ τὰ πράγματα ἀναλάβοντα φωνήν, τρανότερον φθέγγεται. Ἐκίνησεν ὁ τῆς κακίας πατὴρ διάβολος, ὁ τῆς εἰρήνης πολέμιος, μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ὅπλα καὶ ξίφη. ἐξέμηνεν αὐτοὺς κατ' ἀλλήλων, ἐνήργησεν ὅσα ἐνήργησεν μέχρι τῆς σήμερον· φεῦ τοῦ πλήθους ἐμῶν ἁμαρτιῶν! Τίς δυσωπήσει; τίς γενήσεται μεσίτης; τίς Θεοῦ συναντιλαμβανομένου στήσει τὸν τοσοῦτον ὄλεθρον τῶν ἀνθρώπων; τίς μαινομένην την γῆν ἐξ αἱμάτων Χριστιανικῶν ἀποπαύσει; καὶ τίς ἕτερος; τοῦτο ἐμὸν καὶ σὸν τὸ χρεώστημα· ἀλλ' ἡμεῖς μὲν αὐτός, ᾧ παρίσταται πᾶσα καρδίας ἐνθύμησις, ἐξεπίσταται ὅτι καὶ τὴν ἀρχὴν ἀπετρέψαμεν τὴν τοῦ πολέμου ἐγχείρησιν· καὶ τοῦ κακοῦ ἐκνικήσαντος παραινοῦντες οὐ διελείψαμεν, ὥστε ῥίψαι μὲν τὰ ὅπλα, ἀντιλαβέσθαι δὲ τῆς πρὸς Βουλγάρους εἰρήνης καὶ ἀγάπης. καὶ τῆς πατρικῆς πρὸς αὐτοὺς διαθέσεως· καὶ Οεοῦ τῶν καρδιῶν αὐτῶν ἁψαμένου, καὶ οἷς ἠπείθησαν πρότερον μετεφρόνησαν, καὶ οἷς μετὰ ταῦτα παρῃνέσαμεν, πρόθυμοι ποιεῖν τὰ παραινεθέντα γεγόνασι, καὶ ἐξ ἐκείνου καιροῦ καὶ μέχρι τοῦ νῦν τὰ τῆς εἰρήνης ἐπιζητοῦσι, καὶ τὸν σύνδεσμον τῆς ἀγάπης, καὶ τὰ τοῦ πρὸς ὑμᾶς πολέμου μεμισήκασι πράγματα. Ἀλλὰ τί εἴπω; Ὁ ἐξ ἀρχῆς φθονήσας τῷ ἀνθρωπίνῳ γένει, δριμὺν ἔσχε καὶ νῦν τὸν φθόνον κατὰ τῆς ἑνώσεως Βουλγάρων καὶ Ῥωμαίων, καὶ ὅτι ἔφθασεν ἀνάψαι τὴν πυρκαϊὰν τῆς ἔχθρας, χαίρει τῷ ψυχοφθόρῳ τούτῳ πυρί, καὶ πολὺν τὸν ἀγῶνα ποιεῖται τῆς τούτου ἀνάψεως, καὶ οὐ συγχωρεῖ τῷ καλῷ καὶ ἀγαπητῷ υἱῷ μου τῷ φρονιμωτάτῳ, τῷ δεσπόζειν Βουλγάρων λαχόντι, τῆς ἑαυτοῦ γενέσθαι καλοκαγαθίας, καὶ

даме някои хора разярени един на друг и проявяващи омраза вместо обич? И това обаче казвам за тях поотделно и поредно. Каква грижа в същност трябва да проявяваме, та да съединим така разделените от нечестивия души, да ги помирим и да ги убедим отново чрез обичта да се съчетаят в единство? Когато пък не един, не двама, не десет или много повече от тези — цял дом и град, — но цял народ срещу цял народ, и то единоверен — уви, бреме на моите страдания — под въздействието на демона са доведени до това зло, що да сторим? Що да мислим? Що да чувствуваме? Кой ден или нощ ще ни успокои от такава грижа или безпокойство?

Стигна, както стигна, словото ми дотук, а сега сякаш самите неща, като поемат глас, по-ясно въззовават. Дяволът, отецът на злото, неприятелят на мира, раздвижи оръжия и мечове между ромеи и българи: вмеси ги едни срещу други, стори, що стори, до днес. О множество мои грехове! Кой ще умолява? Кой ще стане посредник? Кой с божията помощ ще спре тази гибел на хората? Кой ще успокои осквернената от християнски кърви земя? И кой друг? Това е мой и твой дълг. Но онзи, за когото е явен всеки размисъл на сърцето, знае, че ние и в началото препятствувахме да започне войната и даже когато злото надделя, не престанахме да увещаваме да се захвърлят оръжията и да се прегърне мирът и обичта към българите и бащинското разположение към тях. И когато бог докосна техните сърца и те обърнаха мисълта си към онова, в което порано не вярваха, и към онова, за което после ги увещаваха, станаха готови да изпълнят нашите увещания и оттогава и досега търсят мира и връзката на обичта и възневидяха делата на войната срещу вас. Но що да кажа? Изначалният завистник на човешкия род и сега таи горчива завист срещу единението на българи и ромеи и като успя да запали пожара и омразата, радва се на този душегубен огън и води голяма борба за неговото разпалване и не позволява на добрия и възлюбен най-благоразумен мой син, на когото се е паднало да господарува над българите[1], да прояви своята доброта, да се възвърне към доброто

[1] Николай Мистик има пред вид цар Симеон.

πρὸς τὸ καλὸν τῆς εἰρήνης ἐπιστραφῆναι, καὶ τῆς ἀρχαίας γενέσθαι γλυκύτητος· ἀλλ' ἀεί τι ὁ φθονερὸς, ὁ τῶν καλῶν διώκτης ὑποβάλλων πικρὸν ἐνθύμημα ἐν τῇ γλυκείᾳ τούτου ψυχῇ σπουδάζει τὴν γλυκυτάτην διώκειν εἰρήνην.

Ἀλλὰ τὰ μὲν τοῦ πονηροῦ δαίμονος τοιαῦτα. Ἡμεῖς δὲ Θεῷ πεποιθότες, καὶ τῇ τοῦ ποθεινοῦ υἱοῦ μου ἡμερότητι ὡς οὐκ ἀποτευξόμεθα τοῦ σκοποῦ, γράμμα πρὸς αὐτὸν ἐξεπέμψαμεν, ἐκεῖνα παρακαλοῦντες, ἐκεῖνα δυσωποῦντες, ὅσα τῆς αὐτοῦ φιλαγάθου ἐστὶ ψυχῆς οἰκεῖα, ὅσα τῆς ἐκείνου καρδίας. Καὶ γὰρ εἰ καὶ βραχὺν χρόνον, ἀλλ' ὅμως καὶ ἡμεῖς, ὅτε εἰς ὄψιν αὐτῷ κατέστημεν, ἐλάβομεν πεῖραν τῆς αὐτοῦ φύσεως· καὶ ἔγνωμεν τὴν σύνεσιν, τὴν πραότητα, τὴν ἐπιείκειαν τὴν χρηστότητα, καὶ ὡς πάσης ἀπηνείας καὶ ἰταμότητος ἀλλοτρία ἡ τούτου φύσις καθέστηκεν. Ἐγράψαμεν οὖν πρεσβεύοντες ὑπὲρ εἰρήνης, καὶ εὐέλπιδές ἐσμεν, ὡς δυσωπήσει μὲν πρῶτον τοῦτον ὁ δοὺς αὐτὸν Βουλγάρων δεσπόζειν Θεὸς, δυσωπήσει δὲ καὶ τὸ οἰκεῖον ἥμερον καὶ φιλάγαθον· δυσωπηθήσεται δὲ καὶ ὑπὸ τῆς ἡμετέρας παρακλήσεως. Τὸ μὲν ἡμέτερον τοιοῦτον, καὶ ἀποσαλεύομεν ἐν τοιαύταις ἐλπίσιν. Ἔστι δὲ καὶ τῆς ὑμῶν ἀρχιερωσύνης ἐπὶ τοῖς κοινοῖς πάθεσιν ἀλγυνομένης, ταῖς κοιναῖς συμφοραῖς, τῇ τοσαύτῃ τῶν κακῶν περιλύσει, καὶ ὡς οἴκοθεν κεκτημένης τὸ τοῦ πράγματος χρεώστημα, συνεπιλαβέσθαι τῇ ἡμετέρᾳ πρεσβείᾳ ἐξευμενίσασθαι, καθικετεῦσαι τὸν ἠγαπημένον υἱὸν ἡμῶν.

Ἔχεις πολλὰς ἀφορμὰς συνεργούσας πρὸς τὴν ἐκείνου δυσώπησιν· πρῶτον μὲν, ὅσα ὁ λόγος προλαβὼν εἶπε, τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν τὸ ἀπαραμύθητον ἄλγος, ἐφ' οἷς οἱ τὸ ἐκείνου τίμιον φέροντες ὄνομα ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντος, ἵνα τοῦτο ἡμῖν τὸ ὄνομα χαρίσηται, κατ' ἀλλήλων ἐξεθηριώθησαν, τοὺς ἱεροὺς ναοὺς ἐν οἷς πρὸς ἔντευξιν εἰσέρχεται τοῦ Θεοῦ ὑπὲρ ἑαυτοῦ, ὑπὲρ παίδων, καὶ ὅλου φημὶ τοῦ ἔθνους, οὗ δεσπόζειν κατέστη, τὸ ἅγιον καὶ πανάχραντον σῶμα καὶ αἷμα, ὧν ἐσθίων καὶ πίνων ἀδιστάκτους ἐλπίδας ἔχει ἁγιασμοῦ μέτοχος γίνεσθαι. Παράστησον αὐτῷ διὰ τῶν σῶν λόγων λόγων ἐν ὀφθαλμοῖς ὅσα ἐκεῖνος οἰκείαις ὄψεσι καὶ πρὸ τῶν σῶν λόγων τεθεαμένος οὐκ ἀγνοεῖ, τῆς γῆς ὅσην διῆλθε τὴν ἐρημίαν τὴν ἀντὶ τῆς ὁρωμένης ἄχρι τοῦ νῦν ὡραιότητος, τῶν χωρῶν ὅση ἐκ τῶν σταχύων, ὅση ἐξ ἀμπέλων, ὅση ἐκ τῶν ἄλλων ἀκρο-

на мира и да прояви по-раншната си благост, но винаги завистникът, преследвачът на доброто, като подхвърля някаква горчива мисъл в неговата блага душа, се старае да прогони преблагия мир.

Но такива са делата на злия демон. Ние пък с упование в бога и в кротостта на възлюбения мой син, че ще сполучим в намерението си, изпратихме му писмо, като го съветвахме, като го умолявахме за това, което е свойствено на неговата добролюбива душа и на неговото сърце. И наистина, ако и за късо време, но все пак и ние, когато бяхме изправени пред неговия лик,[1] изпитахме неговата природа и узнахме неговото благоразумие, кротостта, милостта, добротата му и че неговата природа е чужда на всяка жестокост и дързост. И така писахме, застъпвайки се за мира, и храним добри надежди, че ще го умилостиви първом бог, който му е дал да властвува над българите, ще го умилостиви и собствената му кротост и добролюбие; ще се умилостиви и от нашето увещание. Такова е нашето положение и на такива надежди се уповаваме. Трябва също и ваше първосвещенство, измъчвано от общите страдания, от общите злочестини, от това обилие от злините и като съзре от само себе си наложителността на делото, да подпомогне нашето застъпничество, да умилостивява, да умолява възлюбения наш син.

Имаш множество средства, които да съдействуват за неговото умилостивяване. Първо, както вече се каза, неутешимата мъка на Христа и бога наш за това, че онези, които носят неговото честно име — за да им бъде подарено това име, той биде отведен като овца на заколение, — са се озверили едни срещу други; после светите храмове, в които той влиза за молба към бога за самия себе си, за чедата си, за целия, казвам, народ, над който е поставен да господствува; светото и всечисто тяло и кръв, от които, като яде и пие, храни несъмнени надежди да стане съпричастник на освещението. Представи пред очите му чрез твоите слова онова, което той знае и преди твоето слово, като го е видял със собствен поглед, пустошта на земята, която е обходил, вместо съзираната досега красота, жалката грозота на земята без класове,

[1] Тук се говори за една от срещите между цар Симеон и патриарх Николай Мистик.

δρύων ἐλεεινὴν ἀμορφίαν. Ἀνάμνησον αὐτὸν τῆς καταστροφῆς τῶν ἁγίων τοῦ Θεοῦ οἴκων, οὓς εὐσεβῶν χεῖρες εἰς δόξαν Θεοῦ μετὰ πολλῶν καμάτων ἀνήγειραν. Πρόσθες τὴν ἀπώλειαν τῶν σεμνῶν διαιτημάτων, ἐν οἷς μονάζοντες, ἐν οἷς παρθένοι διὰ παντὸς ὕμνους ἀνέπεμπον τῷ Θεῷ, καὶ νῦν ἐν ἐρειπίοις λέλειπται κατακείμενα· πρόσθες ἐπὶ τούτοις τὰς πολυτρόπους τῶν ἀνθρώπων σφαγάς, οἴμοι τῆς τοσαύτης τοῦ πονηροῦ δαίμονος ἰσχύος, τῶν ἱερῶν, τῶν μοναζόντων ἀνδρῶν, γυναικῶν ἐῤῥιμένα σώματα, καὶ μηδ' αὐτὸ τοῦτο ταφῆς ἠξιωμένα, ἀλλὰ κυσὶ καὶ θηρίοις εἰς βρῶσιν προτεθειμένα.

Καὶ τί λέγω ταῦτα; Ἔχεις πολλὴν καὶ ἀμύθητον ἐκ τῆς ἀνιστορήτου ταύτης τραγῳδίας τὴν εὐπορίαν, καὶ ἐπὶ πᾶσι τὴν τοῦ δυσωπημένου ἡμερότητα, καὶ τὴν τελειοτάτην φρόνησιν εἰς τὸ συγκαταπράξασθαι τὴν πρεσβείαν· ἀλλὰ γὰρ κινούμενος ταῖς κοινῶς ἐμέ τε καὶ σὲ ἀπαραιτήτοις συνεχούσαις ὀδύναις καὶ ταῖς ἐχούσαις ἡμᾶς ὀφειλέτας μερίμναις ὑπὲρ τῆς κοινῆς σωτηρίας καὶ εἰρήνης, ἐπίδειξαι μὲν καὶ τὰ παρ' ἑαυτοῦ· πλήρωσον δὲ καὶ ἀνθ' ἡμῶν τὰ ἡμέτερα ὅσα εἰ παρόντες ἂν αὐτοὶ διεπραξάμεθα· χεῖρας περίπτυξαι, λαβοῦ γονάτων, εἰ δεήσει καὶ τῶν ποδῶν, καὶ ἁπλῶς λόγοις καὶ πράγμασι μὴ ἀπόσχῃ πάντα ποιῶν, ἕως ἂν τῇ ἄνωθεν εὐμενείᾳ πρὸς τὸ τῆς εἰρήνης καλὸν ἡ γλυκεῖα τοῦ ἡμετέρου τέκνου συνέλθῃ ψυχή, καὶ ἄνθρωποι παρ' αὐτοῦ ἐξαποσταλῶσι, δι' ὧν ἀνακαινισθήσεται μὲν τὰ τῆς εἰρήνης, καταργηθήσεται δὲ τὰ τῶν πολέμων καὶ τῆς ἔχθρας, ἀπελαθήσεται δὲ καὶ διάβολος ὁ ταῖς κοιναῖς συμφοραῖς Βουλγάρων καὶ Ῥωμαίων ἐπορχούμενος, παῤῥησιάσεται δὲ πάλιν ἡ τιμιωτάτη ἀγάπη, καὶ τὰ ἐκείνης τίμια πράγματα, ἐξ ὧν εὐφροσύνη καὶ τῶν καλῶν ἀπόλαυσις ἀμφοτέροις τοῖς λαοῖς προσγενήσεται, τῶν χαλεπωτάτων δὲ πραγμάτων ἡ πεῖρα καὶ κατήφεια καὶ ἡ σκυθρωπότης τῶν προσώπων ἀφανισθήσεται. (XII, col. 89 D — 96 D)

без лозя, без плодни дървета. Спомни му за разрушението на светите божии домове, които благочестиви ръце с много труд са издигнали за слава божия. Припомни разрухата на светите обители, в които иноци, в които девици всякога изпращаха песнопения богу, а сега са останали да лежат в развалини. Добави към това и различните убийства на хора — уви, каква сила на злия демон, — на свещениците, на мъжете-иноци, захвърлените трупове на жени и при това нито удостоени с гробове, но подхвърлени за плячка на псета и зверове.

Но защо казвам това? Ти имаше голямата и неизчерпаема сила на тази неописуема трагедия и над всичко кротостта на този, когото увещаваш, и съвършената негова разумност, за да съдействуват на това застъпничество. Но подтикван от страданията, които общо и неумолимо ни обладават, мене и тебе, и от обхващащите ни нас, длъжниците, грижи за общото спасение и мира, покажи онова, което засяга самия него. Изпълни вместо нас онова, което самите бихме сторили, ако присъствувахме; прегърни му ръцете, хвани му коленета, ако трябва, и нозете му и просто с думи и дела не пропускай да сториш всичко, докато по благоволение свише благата душа на нашето чедо не се склони към доброто на мира и докато хора не се изпратят от него, чрез които ще се поднови мирът, ще се премахнат войните и омразата, ще се прогони и дяволът, който се радва на общите злочестини на българи и ромеи, ще се възстанови отново пречестната обич и нейните честни дела, от които и двата народа ще получат радост и наслада от добрините, ще изчезне изпитанието на суровите дела и унинието и скръбта по лицата.

11. Ad primum Symeonis hominem

Τῷ πρώτῳ ἀνθρώπῳ τοῦ Συμέων

Τῶν μεγάλων ἐξουσιῶν οἱ ὑπηρέται μεγίσταις ἀρεταῖς, τέκνον ἡμῶν, κοσμοῦνται καὶ κατορθώμασι, καὶ τοσούτῳ μᾶλλον, ὅσον καὶ οἰκειότεροι ὄντες γνωρίζονται. Τοιοῦτόν σε ὄντα ἐπιστάμενοι, καὶ τοῦτο συνεπιστάμεθα ὅτι καὶ χωρὶς τῶν ἡμετέρων λόγων ἐκεῖνα διανοῇ ὅσα τῷ μεγέθει πρέπει τῆς σῆς ἀρετῆς. Ἐπεὶ οὖν οὕτως ἔχομεν περὶ σοῦ, εἰς τὴν παροῦσαν ὑπό-

До първия човек на Симеон

Служителите на големите владетели, чедо наше, се украсяват с най-големи добродетели и успехи, и то толкова повече, колкото се знаят, че са им по-близки. Като знаем, че ти си такъв, знаем и това, че и без нашите слова мислиш онова, което подобава на величието на твоята добродетел. Като мислим наистина така за тебе, заехме се да ти изло-

θεσιν τοῦ γράμματος ἐκινήθημεν μεγάλην τε οὖσαν, καὶ διὰ τῆς σῆς φρονήσεως κατορθωθῆναι ὀφείλουσαν. Ἔστι δὲ αὕτη περὶ τῆς εἰρήνης, ἣν ἔδωκεν ἡμῖν Χριστὸς ὁ Θεὸς ἡμῶν, περὶ τοῦ παῦσαι τὰς σφαγὰς καὶ τὰς χύσεις τῶν αἱμάτων καὶ τῆς ἄλλης κακώσεως, ὅση ἐκ τῶν πολέμων γνωρίζεται· ὧν οὐδὲν μεῖζον, οὐδὲ φρονίμων ἀνθρώπων καὶ μέγιστον κλέος ἐχόντων ἔργον ἐστὶν ἰδεῖν οἰκειότερον. Περὶ τούτου ἐγράψαμεν καὶ τῷ μεγαλοδόξῳ καὶ πεποθημένῳ ἡμῶν υἱῷ, καὶ οὐκ ἀγνοοῦμεν, ὡς ἡ ἐκείνου φιλάγαθος ψυχὴ ἡ πραεῖα καὶ ἥμερος εἰ καὶ τὸ πλῆθος τῶν ἐμῶν ἁμαρτιῶν ταύτῃ πικρίας ἐνέθηκα σπέρματα, προσέξει τοῖς ἡμετέροις λόγοις εὐμενῶς. Ὅμως καὶ σὲ κινοῦμεν διὰ τοῦ γράμματος συνεπιλαβέσθαι καὶ ὡς εὔνουν αὐτοῦ καὶ οἰκεῖον θεράποντα τὴν ὄντως μεγάλης δόξης αὐτῷ πρόξενον ὑπουργίαν ἐξυπηρετήσασθαι. Ἐν πολλοῖς μὲν γὰρ ἄλλοις, ὡς καθαρὸν σώζων τὸ φίλτρον πρὸς αὐτόν, ὡς τῆς αὐτοῦ ἐφιέμενος τιμῆς τε καὶ δόξης ἐξυπηρετεῖσθαι τούτῳ σπουδάζεις, ἀλλ' οὐδενὶ ἐπ' ἄλλῳ πράγματι, ὡς ἐν τούτῳ γνωρισθήσῃ ἐξυπηρετούμενος τὰ εἰς τιμὴν καὶ δόξαν αὐτῷ, οὐδὲ τὸ πρὸς αὐτὸν φίλτρον ἐπιδεικνύων καὶ τὸ τοῦ ἔρωτος διάπυρον πρὸς τὸν οἰκεῖον Δεσπότην.

Ἐνθυμήθητι γάρ, τέκνον ἡμῶν, τὰ τοῦ πολέμου κακά, τὰ ἐκεῖθεν τοὺς ἀνθρώπους καταλαβόντα ἀλγεινά, καὶ πάλιν τὰ τῆς εἰρήνης καλά, καὶ τὴν ἐξ αὐτῆς ἐγγινομένην τοῖς ἀνθρώποις ἀπόλαυσιν. Καὶ ταῦτα συγκρίνων, σκέψαι πόσης αὐτῷ γενήσῃ πρόξενος τιμῆς καὶ δόξης, εἰ Θεοῦ συνεπιλαμβάνοντος ἀντὶ τῶν πολέμων, ἀντὶ τῶν σφαγῶν, ἀντὶ τῶν αἰχμαλωσιῶν, ἁπλῶς ἀντὶ τοῦ μεγάλου τῶν ἀνθρώπων ὀλέθρου, ἐξυπηρετήσεις αὐτῷ ταύτην τὴν ἔνθεον ὑπηρεσίαν, τὸ ἐπαινεῖσθαι διὰ τὰ ἀγαθὰ τῆς εἰρήνης, καὶ δοξάζεσθαι, ἀλλὰ μὴ τὰ ἐναντία πορίζεσθαι διὰ τὰ ἐκ τῶν πολέμων κακά. Οὐ μὴ δεηθῇς λόγων πολλῶν, οὐδ' ἀποστραφήσεταί σου τὴν δέησιν ἡ καλὴ ἐκείνου φιλάρετος ψυχή, μόνον προθυμήθητι, μόνον δυσωπῆσαι βουλήθητι· καὶ πέπεισμαι ὡς ἕτοιμον ὄντα ὄψει τὴν θείαν εἰρήνην ἐπιζητοῦντα. Τοῦτο δὲ οὐχ ἁπλῶς λέγω, ἀλλὰ πεπεισμένος ἐξ ὧν ὁ φιλάνθρωπος Θεὸς εἰργάσατο· τοὺς γὰρ αἰτίους τοῦ πολέμου, καὶ τῆς τοσαύτης μιαιφονίας, κρίμασιν οἷς αὐτὸς οἶδε δικαίοις, ἐκ μέσου πεποίηκε, τὴν ἀξίαν

жим предмета на настоящото писмо[1], понеже това нещо е голямо и нуждаещо се от твоето благоразумие, за да се изпълни. Отнася се за мира, който ни даде Христос, нашият бог, за прекратяване на убийствата и кръвопролитията и другите злини, които произтичат от войните — защото няма нищо по-велико от това дело, нито по-присъщо на хора благоразумни и притежаващи голяма слава. Относно това писахме и на многославния и възлюбен наш син[2] и знаем, че неговата добролюбива, блага и кротка душа, въпреки че множеството наши грехове вложиха в нея семена на горчивина, ще се отнесе благосклонно към нашите слова. Все пак чрез писмо подтикваме и тебе да съдействуваш и като привързан и близък негов служител да му послужиш ревностно в делото, което ще му създаде наистина велика слава. Защото, като спазваш чиста обичта към него в много други дела, стараеш се да му служиш, като съдействуваш за неговата чест и слава, но в никое друго дело, както в това, не ще се прочуеш, че служиш за негова чест и слава, или пък ще засвидетелствуваш така предаността си към него и горещината на обичта си към своя господар.

Помисли, чедо наше, за злините на войната, страданията, които сполетяват хората от нея, и, от друга страна, добрините на мира и ползата, която произтича за хората от него. И като ги сравниш, виж сътрудник на каква негова чест и слава ще станеш, ако с божия помощ вместо войните, вместо убийствата, вместо заробванията, с едно слово вместо голямата човешка гибел, ще му служиш в тази боговдъхновена служба да бъде възхвален заради добрините на мира и да се прослави, а не да придобие противното поради злините от войните. Не се нуждаеш от много слова, нито неговата добра и добролюбива душа ще отблъсне твоята молба, само се постарай, само пожелай да помолиш и аз вярвам, че ще го видиш готов да потърси божествения мир. Не казвам това просто така, но съм убеден от онова, което човеколюбивият бог стори: защото той отстрани причинителите на войната и на това изтребление по своите неведоми и справедливи присъди, като им въздаде

[1] Датата на това писмо не е известна. [2] Т. е. на цар Симеон.

δίκην καὶ ἁρμόζουσαν τῇ τοσαύτῃ αὐτῶν πονηρίᾳ ἐπιθείς. Διὰ τοῦτο οὐδ' ἡμεῖς πλέον ἐγνώκαμεν ἐκτείνειν τὸν λόγον, οὐδ' ἐνοχλεῖν σε τῷ μήκει τοῦ γράμματος, ἀλλὰ μόνην εὐχὴν προσεπιτιθέαμεν, ὡς εἴη Χριστὸς ὁ Θεὸς ἡμῶν κἀκεῖνον τιμῶν καὶ δοξάζων καὶ ἐν τῷ παρόντι βίῳ καὶ ἐν τῷ μέλλοντι ἐκ τοῦ τὴν εἰρήνην ἐπιτελέσαι, καὶ σέ, τέκνον ἡμῶν, ἐπιπλέον οἰκεῖον δεικνὺς τῷ οἰκείῳ δεσπότῃ καὶ ὑπ' αὐτοῦ ἀγαπώμενον, καὶ ὑπὲρ τῆς τοιαύτης προαιρέσεως καὶ σπουδῆς τῶν αἰωνίων καταξιῶν ἀγαθῶν. (XIII, col. 96 D — 97 D)

наказание, достойно и съответно на тази тяхна злоба. Заради това и ние не смятаме повече да продължаваме словото, нито да те отегчаваме с дължината на писмото, но само една молба ще добавим, щото Христос, нашият бог, и него да го почете и прослави и в настоящия живот, и в бъдещия чрез сключването на мира, като направи тебе, чедо наше, още по-близък на твоя господар и любимец негов и за този стремеж и старания те удостои с вечни блага.

12. Ad Symeonem Bulgarum

Συμεὼν Βουλγάρῳ

Τέκνον ἡμῶν ποθεινότατον, καὶ φίλων ἀρχαίων καὶ νέων ὁ γλυκύτατος φίλος, ἄκουσον ὡς τέκνον καὶ φίλος ῥήματα πατρὸς ἐξ ἀρχῆς σε φιλήσαντος καὶ φιλοῦντος καὶ σώζοντος στοργὴν γνησίαν πρὸς σὲ ἐν ἁγίῳ Πνεύματι, πρόσχες, τέκνον ἐμόν, οἷς γράφομεν· πεποίθαμεν γὰρ ἐν Θεῷ ὅτι τὰ συνευφραίνοντα καὶ συνήδοντα γράφομεν, καὶ ἐπὶ τοῖς ἔργοις τὸ ὄνομα τῆς φιλίας βεβαιοῦντες. Ἄκουσον καὶ πάλιν φημὶ ὡς τοῦ Θεοῦ ἄνθρωπος συντόμως εἰπεῖν, εὐαγγέλια ψυχὴν θεοφιλῆ θεραπεύοντα· εἰ γὰρ καὶ πρὸς τὴν κοσμικὴν ἐξουσίαν τοῦ Σατανᾶ τὰ σκάνδαλα κεκινηκότος δι' ὧν κατὰ τῆς σῆς ἠγωνίσαντο τιμίας ἐμοὶ κεφαλῆς ἐξετραχύνθης, καὶ ἄλλως ἢ ὡς ἔστιν, εὐχή μοι διατίθεσαι, ἀλλ' ἐπίσταμαι ἀκριβῶς ὅτι ἐπὶ τῷ πάθει τῆς Ἐκκλησίας λέγω δὴ τῷ σπαραγμῷ καὶ τῇ διαστάσει τῶν τέκνων αὐτῆς, καὶ συνήλγεις, καὶ συνείχου μεθ' ἡμῶν πικραῖς ταῖς ὀδύναις, τιμῶν καὶ ἐν τούτῳ Χριστὸν τὸν Θεὸν ἡμῶν, παρ' οὗ σοι καὶ τὸ ἄρχον καὶ τὸ σώζεσθαι, καὶ ἡ ἐν τῷ μέλλοντι αἰῶνι ἀποκείσεται σωτηρία, καὶ τιμὴ ἀτελεύτητος, ὥς γε εὐχόμεθα καὶ ἐλπίζομεν.

До Симеон българина

Твърде въжделено наше чедо и най-мил приятел от всички стари и нови приятели! Като чедо и приятел изслушай думите на баща си, който отколе те е обикнал, обича те и спазва искрена любов към тебе в името на светия дух. Обърни внимание, сине мой, на това, за което пишем, понеже се уповаваме на бога, че пишем за радостно и приятно нещо и на дело укрепваме името на приятелството. Изслушай ни, повтарям, като божи човек — да кажа накратко — радостното известие, което ще облекчи боголюбивата ти душа. Наистина сатаната причини съблазни за светската власт чрез ония, които се бореха срещу почитаемата твоя глава, та ти се ожесточи и не си разположен, както аз желая. Но все пак аз зная точно, че ти, когато страдаше църквата, сиреч когато нейните чеда бяха разделени и разединени, ти също страдаше и бе обзет заедно с нас от горчиви мъки, почитайки и чрез това Христа, бога наш, от когото зависи твоята власт, твоето здраве, спасението ти в бъдещия век и безкрайната ти слава, за което се молим и се надяваме.

Εὐαγγελιζόμεθά σοι, τέκνον ἡμῶν, εὐαγγέλια, ὧν καὶ σοὶ τὸ ἀκοῦσαι πάντων ἥδιστον, καὶ ἡμῖν τὸ εὐαγγελίσασθαι πρεπωδέστατον πάντων καὶ οἰκειότατον. Ἥνωται ἡ τοῦ Θεοῦ Ἐκκλησία, ἐπαύθη τοῦ ἐξ ἀρχῆς πονηρευσαμένου ταύτην ἐκταράσσειν ἡ καταιγὶς ἥνωται, δὲ πῶς καὶ ἡ καταιγὶς πέπαυται. Οἱ μὲν ἐξ

Известяваме ти, чедо наше, радостни известия, които и на тебе е най-приятно да чуваш, и на нас е най-прилично и свойствено да съобщаваме. Обедини се църквата божия![1] Престана да я вълнува бурята, причинявана от оногози, който отколе действува престъпно! Но щом тя се обедини и бурята престана,

[1] На схизмата, която възникнала в Цариградската църква заради четвъртия брак на Лъв VI Мъдри през 906 г., бил турен край със събора в Цариград през юли 920 г. Тогава привържениците на патриарх Евтимий, които намирали подкрепа от правителството на Зоя, след неговото падане се примирили с патриарх Николай Мистик и единството в църквата било възстановено. Вж. *J. Héfélé*, Histoire des Conciles, IV, 2, pp. 750 — 751.

ἡμῶν κεχωρισμένοι καὶ τοῦ ἰδίου ἀντεχόμενοι χωρισμοῦ ἀπετάξαντο τῷ οἰκείῳ φρονήματι, μετέγνωσαν ἐφ' οἷς ἐφιλονείκουν, καὶ συνῆλθον χάριτι Θεοῦ τῷ ἡμετέρῳ φρονήματι· καὶ ὃ τῇ Ἐκκλησίᾳ ἐζητεῖτο, κοινῇ τούτοις συνωμολογήθη· καὶ συντόμως εἰπεῖν τὸ οἰκεῖον ὁμολογήσαντες πταῖσμα ταῖς ἀγκάλαις προσῆλθον τῆς Ἐκκλησίας φιλανθρώπως ὑπανοιγείσαις αὐτοῖς. Ἀπέκλειε μὲν γὰρ μέχρι τοῦ παρόντος ἡ Ἐκκλησία τὰς ἀγκάλας, οἷα τὰ ἀνθρώπινα κἀκείνων ἀνθρωπίνως διακειμένων, καὶ οὐκ οἶδα ποίαις αἰτίαις ἀγαπώντων τοῦ ἀντιλέγειν. Ἐπεὶ δὲ πάντα ἐκεῖνα Θεοῦ εὐδοκίᾳ γέγονεν ἐκποδών, τῆς θείας μεσιτευσάσης εἰρήνης, συνήλθομεν εἰς ἑνότητα καὶ προσελάβομεν τοὺς τέως ἐξ ἡμῶν διισταμένους ὡς οἰκεῖα τέκνα, καὶ ὡς μέλεσιν ἰδίοις συνήφθημεν, καὶ λοιπὸν ἔστιν ἡ τοῦ Θεοῦ Ἐκκλησία μία κεφαλὴ τῷ πρώτῳ ἀρχιερεῖ καὶ Θεῷ ἡμῶν, καὶ ἡμῖν τοῖς ἀναξίοις, ὅμως δ' οὖν ἀρχιερατεύειν ἠξιωμένοις, καὶ συναρμολογουμένη, καὶ ἀταράχως διευθυνομένη. Πλὴν ὀλίγων τινῶν, οἳ τὸ γνωρίζεσθαι ἔχοντες ἐξ ἀγαθοῦ τρόπου, ἵνα μὴ τὸν βίον ἀνώνυμον διαπερῶσιν, ἐκ τῆς ἑαυτῶν περινοούμενοι κακίας τὸ δῆλοι τυγχάνειν ὅσον ἐπ' αὐτοῖς τῷ οἰκείῳ μερισμῷ λυπεῖν τὴν ἑνότητα οὐ διευλαβοῦνται τῆς Ἐκκλησίας. πλὴν καὶ οὗτοι πάντως εἰ τῆς κεφαλῆς ἡμῶν εἰσι τοῦ μεγάλου Θεοῦ καὶ ἀρχιερέως ἡμῶν, ἀγαπήσουσι τυχὸν μὲν νῦν, τυχὸν δὲ μετὰ τοῦτο συναρμοσθῆναι τῇ ἑαυτῶν κεφαλῇ· εἰ δὲ μή, πρᾶγμα οὐδέν· οἱ μὲν γὰρ κείσονται εἰς ἣν ἡ τούτων ἀπόνοια ἐξελέξατο χώρα· ἡ δὲ ἁγία τοῦ Θεοῦ Ἐκκλησία τῆς ταραττούσης αὐτὴν αἰτίας ἀπηλλαγμένη, ἔχει τὴν ἰδίαν τάξιν εὐσταθῆ, εὐχαριστοῦσα Χριστῷ τῷ νυμφίῳ αὐτῆς, ὑπὲρ ὧν τε τῶν σκανδάλων ἀπήλλακται, καὶ ὑπὲρ ὧν τὰ οἰκεῖα κύκλῳ αὐτῆς παριστάμενα καθορᾷ τέκνα, ὅσους μὴ ὁ ἐξ ἀρχῆς ἀποσυλήσας ἄνθρωπον τῆς μακαρίας οἰκειότητος καὶ νῦν ἀποσυλῆσαι τοῦ ἱερατικοῦ πληρώματος δεδύνηται.

Ταῦτά σοι, τέκνον ἡμῶν, τὰ εὐαγγέλια, οἷς πέπεισμαι τὴν σὴν εὐφρανθῆναι ψυχὴν ὅσον

Ония, които се бяха отцепили[1] от нас и твърдо стояха за отделянето си, отказаха се от самомнението си, разкаяха се за ония неща, за които враждуваха, и по милост божия пак се съгласиха с нашето мнение. Това, което искаше църквата, те приеха единогласно. С една реч, като признаха заблуждението си, отново се върнаха в обятията на църквата, които човеколюбиво се откриха за тях. Досега църквата затваряше своите обятия, защото те според свойството на човешката природа чувствуваха по човешки и не зная по какви причини обичаха да противоречат. Но когато по благоволение божие всичко това беше отстранено и настана божествен мир между нас, ние се съединихме в едно, приехме като собствени чеда ония, които досега бяха отделени от нас, и отново се съединихме като със собствени членове. Най-после църквата божия има една глава чрез първия архиерей и бог наш и чрез нас, недостойния, но все пак удостоения да бъдем архиерей, обединена е и се управлява спокойно. Изключение правят малцина, които имаха възможност да разберат всичко правилно, та да не прекарат живота си безславно, но подбудени от своята злоба, не се страхуват открито да проявяват — доколкото това зависи от тях — своето разделение и да нарушат единството на църквата. Но и те, ако действително принадлежат към нашия глава — великия наш бог и пръв свещеник, — или сега, или после с радост ще се присъединят към него; ако пък не [се присъединят], нищо от това, защото те ще легнат на мястото, което им е избрало тяхното безумие. А пък светата църква божия, освободена от причината, която я смущаваше, придобива твърде добро устройство и въздава благодарност на Христа, своя жених, за това, че той я избави от съблазните, и вижда отново събрани около себе си своите чеда, които и сега не можа да лиши от пълнотата на свещенството онзи, който отначало е лишил човека от собственото му блаженство.

Ето ти радостните известия, чедо наше, които, убеден съм, че ще възрадват душата повече от всичко друго, което

[1] Сиреч привържениците на патриарх Евтимий, които признали за законен четвъртия, противоречещ на източноправославните църковни догми, брак на император Лъв VI Мъдри.

ἐπ᾽ οὐδενὶ ἄλλῳ τῶν ἐν ἀνθρώποις παρέχειν εὐφροσύνην εἰδότων. Τὸ δ᾽ ἀπὸ τούτου τίς μοι τῷ λόγῳ συνεπιλήψεται; Τίς συλλαλοῦντί μοι τῇ φιλανθρώπῳ καὶ γλυκυτάτῃ ψυχῇ συμπαρέσται κοινωνῶν τῷ λόγῳ; Καὶ ἀναμνήσομέν σε Θεοῦ διδόντος οὐ μὲν οὖν ἐπιλελησμένον τῆς οἰκείας ἡμερότητος, ἀλλ᾽ ὑπὸ ἀνθρώπων οὐκ οἶδα τί περὶ αὐτῶν εἴπω, πλὴν ὅτι κακῶς διαθέσθαι τὰ Βουλγάρων καὶ Ῥωμαίων πράγματα διανοηθέντων, εἴτε οἴκοθεν, εἴτε ὑπὸ δαίμονος πονηροῦ πρὸς τοῦτο κεκινημένων, τέως παρεξελθεῖν βιασαμένων, καὶ εἰς πράγματα καταστῆσαι ἃ μηδέποτε οὔτε αὐτὸς ἤλπισας, υἱέ μου φιλανθρωπότατε, οὔτε ἡμεῖς, οὔτε τις ἄλλος τῶν τὴν σὴν γινωσκόντων ἢ ἀκουόντων φιλάνθρωπον καὶ ἡμερωτάτην ψυχήν. Τίς γὰρ τοῦτο ποτὲ πρὶν γενέσθαι προσεδόκησεν, ὅτι Συμεὼν ὁ διὰ φρόνησιν μεγάλην, ὁ διὰ τὸ θεοφιλὴς εἶναι εἰς μέγα δόξης τὸ Βουλγάρων ἔθνος ἀγαγών, ὁ πονηρίαν εἴ τίς ποτε ἀνθρώπων μισῶν, ὁ δικαιοσύνην τιμῶν, ὁ βδελυσσόμενος, ἀδικίαν, ὁ κρείττων ἡδονῶν, ὁ τὴν γαστέρα κατάγχων οὐδὲν ἧττον οἷς ἐν ὄρεσιν ἡ ζωή, ὁ οἴνου ἄγειστος, ὁ κατ᾽ οὐδὲν παραλλάσσων τῶν ἔξω τοῦ κόσμοῦ ζῆν ἐπαγγελλομένων, ἢ ἐν μόνῃ τῇ κυβερνήσει τῆς παρὰ Θεοῦ δεδομένης αὐτῷ ἀρχῆς. Τίς ἂν οὖν προσδοκίαν ἔσχεν ὡς ὁ τοιοῦτος καὶ οὕτω θεοφιλὴς ἄνθρωπος εἰς τὰ νῦν καταλαβόντα χαλεπὰ Ῥωμαίους παριστήσει καὶ Βουλγάρους, καὶ τὴν ἄπειρον τῶν αἱμάτων χύσιν καὶ τὴν τοσαύτην ἐρημίαν οἴμοι ἐρημίαν ἐκκλησιῶν Θεοῦ, διαιτημάτων παρθένων, αἳ πολλάκις καὶ τὸ ἀναπνεῖν τὸν ἀέρα ἐφείδοντο, μοναστηρίων ἀνδρῶν, οὗ νύκτα ἡμέραν Θεὸς ὑμνολογεῖτο καὶ ἐδοξάζετο.

Τί με δεῖ λέγειν πόλεων, χώρας ἄλλης, οἴκων, ὅσα τοῖς ἀνθρώποις εἰς παραμυθίαν σπουδάζεται τῆς ζωῆς, τὴν ἄλλην συμφορὰν, ὅση τὸ ἀνθρώπινον συνέσχε, χηρείαν φημὶ, ὀρφανίαν, αδελφῶν ἀποστέρησιν, αἰχμαλωσίαν, δουλείαν, καὶ ἁπλῶς ἀντὶ τῆς πρώην Βουλγάρων καὶ Ῥωμαίων εὐζωίας, τὴν ἐλεεινὴν ταύτην μεταβολὴν, εἰς ἣν ἐκ τῶν τοῦ πολέμου κακῶν περιέστησεν; Οὐκ ἐχθρῶν τοῦτο διαπραξαμένων, οὐ τῶν ἔξω τῆς μάνδρας τοῦ ἀληθινοῦ ποι-

може да донесе на хората радост. Но кой след това ще помогне на речта ми? Кой ще бъде с мене, като вземе участие в думите ми, когато беседвам с човеколюбива и пресладка душа? И ние ще напомним, че по божия воля ти не си забравил своята кротост, но си принуден от хора — не зная какво да кажа за тях освен това, че са намислили да влошат отношенията между българи и ромеи било по собствено подбуждение, или пък подтикнати към това от лукавия демон, — достигна дотам и да дойдеш до такива работи, които нито ти сам, най-човеколюбиви ми сине, нито ние, нито пък някои други от тия, които знаят и чуват за твоята човеколюбива и кротка душа, сме очаквали. Защото кой можеше по-рано да очаква да се случи някога, че Симеон, който със своя велик ум и благолюбие е довел българския народ до голяма слава, който повече от всички хора мрази злото, почита справедливостта и се отвращава от несправедливостта, който побеждава страстите, въздържан е в храненето си не по-малко от ония, които се подвизават в планините, който не вкусва вино и с нищо не се отличава от ония, които са дали обещание да живеят вън от този свят, освен по дадената нему от бога власт да управлява, кой прочее може да предположи, че един такъв и толкова боголюбив мъж ще докара ромеите и българите до сегашните бедствия,[1] до безкрайното кръвопролитие и до такова опустошение — уви, опустошение! — на божиите храмове, на обителите на девите, които често се въздържаха дори да дишат въздух, и на мъжките манастири, гдето бог се възхваля и прославя ден и нощ?

Какво пък да кажа за градовете, селата, къщите и за всичко, което съставя за хората утешение в живота, за другите нещастия, които постигнаха човешкия род, сиреч за овдовяване и осиротяване, лишаване от братя, пленяване, робство и, с една реч, за това, което е заместило предишното благоденствие на българи и ромеи, за тази печална промяна, която те претърпяха от бедствията на войната? Всичко това извършиха не врагове, не тия, които се намират вън от кошарата

[1] През 920 г. Симеон предприел поход срещу Византия, като изпратил една войска към Тесалия, а друга — в Източна Тракия. Българските войски нахлули чак към Коринт и извършили опустошения, за които Николай Мистик говори в писмото си. Вж. *Златарски,* Писмата . . . ,СбНУК, XI, стр. 35—37. — *Същият,* История, 1, 2, стр. 403— 412.

μένος Χριστοῦ τοῦ Θεοῦ ἡμῶν, οὐ τῶν ἀλλοτρίων τῆς κληρονομίας τῆς πίστεως, ἀλλὰ τίνων; Αἴ, αἴ τῶν ἐμῶν βαρυτάτων παθῶν! φεῦ τοῦ ἐλεεινοῦ διηγήματος! πρὸς τοὺς ἐν Χριστῷ πατέρας ἐξεβαρβαρώθη τὰ τέκνα, καὶ τὰ πρόβατα τοῦ Χριστοῦ κατ᾽ ἀλλήλων ἐξεθηριώθησαν, οἱ κληρονόμοι τῆς πίστεως καὶ συγκληρονόμοι τῆς δόξης τοῦ Χριστοῦ πρὸς ἑαυτοὺς ἐξεπολεμώθησαν. Τίς ἂν ποτε ἤλπισε πάλιν ἐρῶ τοιαῦτα πάθη, καὶ τοιούτων συμφορῶν πράγματα, πρὸ τοῦ ἐν ὄψει ταῦτα ἰδεῖν, Ῥωμαίους καὶ Βουλγάρους καταλαβεῖν; Ἀλλὰ γάρ, τέκνον ἡμῶν θεοφρούρητον εἰ καὶ κατέλαβε τοιαῦτα, ὡς εἴθε μὴ ὤφελε, κατέλαβεν εξ ἐπηρείας τοῦ πονηροῦ δαίμονος, κατέλαβεν ἐκ φθόνου τοῦ πᾶσι μὲν ἀνθρώποις φθονοῦντος, μάλιστα δὲ Χριστιανοῖς· κατὰ χριστιανῶν γὰρ μᾶλλον πρὸς φθόνον ἐξάπτεται ὁ διάβολος, διότι τούτους οἶδε πολεμιωτάτους αὐτῷ, διότι παρὰ Χριστιανῶν ἐκ πάσης ἀπηλάθη τῆς οἰκουμένης, καὶ Χριστιανοὶ μέχρι καὶ σήμερον τὴν δυναστείαν αὐτοῦ ταπεινοῦσι, καὶ ἣν κακῶς ᾠκοδόμησε τυραννίδα, ταύτην διὰ παντὸς καταλύουσι. Διὰ ταῦτα μαίνεται κατὰ Χριστιανῶν, διὰ ταῦτα παντοῖς γίνεται εἰς τὸ καθ᾽ ὅσον δύναται ἀντιλιπεῖν καὶ συμφοραῖς περιβάλλειν αὐτούς. Ἧκε μὲν οὖν, ὡς εἶπον, ἐκ τῆς τοῦ διαβόλου κακίας τὰ δεινὰ ταῦτα καὶ πέρα δεινῶν· ἧκε δὲ καὶ ἐξ ἀνθρώπων, τοῦτο μὲν τῇ ἐκείνου κακίᾳ ὑπουργούντων, τοῦτο δὲ καὶ δυστυχούντων εἰς φρένας, καὶ τὴν ἐκλογὴν μᾶλλον τῶν καλῶν ποιουμένων· οἳ καὶ τὸν πρὸς σὲ ἀνήραντο πόλεμον, εἴτε τῷ πονηρῷ δαίμονι συνεργοῦντες, εἴτε διὰ φρενῶν δυστυχίαν τοῦτο βουληθέντες, καὶ τὴν σὴν γλυκεῖαν, ψυχὴν οὕτω διατεθεικότες. Ἐπεὶ καὶ πέφυκε πολλάκις καὶ μικρὸς σπινθὴρ ἄσβεστον φλόγα ἐξάπτειν, οὕτω καὶ τῶν ἀνθρώπων ἐκείνων ὁ ἐξ ἀφροσύνης ἐμπεσὼν σπινθὴρ εἰς τὴν σὴν καρδίαν ἀνῆψε τὴν μεγάλην ταύτην φλόγα, καὶ τέως ἄχρι τοῦ νῦν ἀκατάσβεστον.

Ἀλλὰ μὴν, τέκνον μου ποθεινὸν, μὴ οὕτω νικήσωσι τὰ κακά· μηδὲ θεοφιλὴς ἄνθρωπος ὁποῖς εἶ συ, καὶ μὴ ἔχων ἐν φρονήσει παρισούμενον τῇ καθ᾽ ἑαυτῶν γενεᾷ, καὶ εἰς ψυχῆς εὐγένειαν ἀσύγκριτος, ἀνθρώπων χυδαίων, καὶ τί ἄλλο ἢ μηδὲ ὀβολοῦ ἀξίων, ἡττηθῇς τῆς

на истинския пастир, Христа, бога наш, не ония, които са чужди в наследието на вярата, но кои? О твърде тежки ми бедствия! Уви, достойно за съжаление повествование! Децата се ожесточиха срещу бащите си во Христа и овцете Христови станаха зверове едни срещу други, а наследниците на вярата и сънаследниците на славата Христова водят война помежду си! Кой, ще кажа пак, ако не види със собствените си очи, би могъл да се надява, че такива страдания, такива бедствия са постигнали ромеи и българи? Но, чедо наше богохранимо, ако и да ни е постигнало това — о, да не беше станало, — то ни постигна поради козните на лукавия демон, постигна ни поради неговата завист към всички хора и особено към християните, понеже дяволът повече пламва против тях от завист, понеже знае, че те най-много водят борба с него, че той е бил изгонен от цялата вселена от християните, че християните и до ден днешен отслабват неговата мощ и постоянно разрушават въдворената от него гибелна тирания. Затова той беснее против християните, затова всякак се старае — доколкото може — да ги наскърби и отрупа с нещастия. И тъй тези ужаси и даже повече от ужаси са произлезли, както казах, от злобата на дявола, а тъй също и от хората, които, от една страна, сами спомагат на неговата злоба, а, от друга страна, поради своето слабоумие все повече отблъсват от себе си добрите [хора]. Те повдигнаха и войната срещу тебе,[1] било като съдействуваха на лукавия демон, било като желаеха това поради своето слабоумие и така разположиха твоята блага душа. Понеже често малка искра подпалва неугасим пламък, то и искрата, която произлязла от безумието на тези хора, запалила в сърцето ти тоя голям пламък, който оттогава и до днес не угасва.

Но, желани ми сине, дано не вземат връхнина нещастията! Дано и ти както всеки боголюбив човек, който няма равен на себе си по ум между съвременниците си, несравнен по благородството на душата си, дано не отстъпиш на зломислието на долни хора, които не струват

[1] Николай Мистик тук загатва за византийските управници, които предприели похода срещу България през 917 г. Той не споменава причините за новия поход на Симеон, но представя работата така, като че ли този поход е бил продължение на неговото отмъщение за 917 г. Вж. *Златарски*, Писмата..., СбНУК, XI, стр. 36 — 37.

κακίας, μηδ' ὅτι ἐπίκραναν ἄνθρωποι τοιοῦτοι, διὰ τοῦτο βουληθῶμεν ἀθάνατον ἔχειν πικρίαν κατὰ τῆς Ῥωμαϊκῆς ἐξουσίας, ἧς ἐπίστασαι πολλῶν καὶ μεγάλων εὐεργεσιῶν ἐν ἀπολαύσει γενόμενος. Τί γὰρ πρὸς τὴν Ῥωμαϊκὴν ἀρχὴν καὶ τὸν ὑποχείριον αὐτῆς λαόν, εἰ ὁ δεῖνα καὶ ὁ δεῖνα λόγου μηδενὸς ἀνθρωπάρια εἰς τὸ κατὰ σοῦ ἐξηνέχθησαν θράσος; Τί ταῦτα πρὸς τὸν βασιλέα τὸν μηδὲν συνειδότα, εἰ ἄνθρωποι τὰ ἐκείνου πράγματα κακῶς διοικοῦντες, τὴν αὐτὴν γνώμην περὶ σοῦ ἀνελάβοντο; Πλὴν ἐλυπήθης· ἔχεις ἱκανὴν τὴν δίκην κατὰ τῶν λυπησάντων μᾶλλων δὲ πολὺ τοῦ ἱκανοῦ ὑπεραίρουσαν. Ὅταν γάρ τις τὸν ἀδικῆσαι μελετήσαντα κατὰ τὸ ἴσον ὑποβάλῃ τῆς ζημίας, μὴ λίαν πικρὸς ὤν, ἔχει τὸ ἱκανόν· ὅταν δὲ καὶ εἰς τὸ ἀπειροπλάσιον, πῶς ἔχει χώραν ἔτι χαλεπαίνειν καὶ πλέον λυπεῖν βούλεσθαι τὸν λυπήσαντα; Καὶ οὐ λέγω περί τινος τοῦ κατὰ σὲ ἡμέρου καὶ φιλανθρώπου, ἀλλ' οἷος ἂν ᾖ ἀφιλάνθρωπος καὶ ἀνήμερος παύσεται πάντως τῆς πικρίας, καὶ κατασβέσει τὸ πῦρ τοῦ θυμοῦ, καὶ σπείσεται πρὸς τὸν ἄρξαι χειρῶν ἀδίκων ἀπονοηθέντα. Καὶ δή, τέκνον ἡμῶν, λῆξον καὶ αὐτὸς τῆς ὀργῆς, καὶ πρὸς τὸ οἰκεῖον ἥμερον ἐπάνελθε, καὶ δὸς παῦσιν ταῖς ἀνθρωποφονίαις, καὶ ταῖς ἄλλαις συμφοραῖς, ὅσαι παρὰ Χριστιανῶν εἰς Χριστιανοὺς μέχρι τοῦ παρόντος γεγόνασι.

Λέγω σοι ταῦτα, τέκνον μου γλυκύτατον, νῦν μὲν διὰ μέλανος· εἰ δὲ Χριστὸς ὁ Θεὸς ἡμῶν, ἡ πάντα νοῦν ὑπερέχουσα εἰρήνη, διὰ τῆς αὐτοῦ παρακλήσεως τὴν σὴν ἐπὶ τούτῳ ψυχήν, ἵνα καὶ ἡμεῖς αὐτοὶ κατὰ πρόσωπόν σοι ἐμφανισθῶμεν, καὶ οἰκείᾳ γλώσσῃ ταῦτά τε καὶ εἴ τι ἕτερον ἐπιζητήσει τὰ πράγματα εἴπωμεν, ἕτοιμοί ἐσμεν πρὸς σε ἥκειν. καὶ οὐ δειλιῶμεν τὸ γῆρας, οὔτε τὴν ἀσθένειαν, οὔτε τὴν ἐκ τῆς ὁδοιπορίας ταλαιπωρίαν, ἂν μόνον πρὸς εἰρήνην ἐπινεύειν ἡ σὴ ἀγαπήσει ἀρετή. Δήλου τοίνυν ἡμῖν, εἰ τοῦτο Θεὸς ἐπὶ νοῦν σοι τέθεικε τὸ μέγα καὶ σωτήριον πρᾶγμα Ῥωμαίοις καὶ Βουλγάροις πρὸς τὸ αὐτὸν ἐμὲ παραγενέσθαι, καθ' ὃν ἂν δυνατόν ἐστι γενέσθαι

ни обол. И заради това, че са те огорчили подобни хора, да не питаем вечен гняв спрямо ромейското царство, чиито многобройни и големи благодеяния ти знаеш, понеже си ги изпитал! Какво отношение има към ромейските власти и подвластния им народ това, че някакви си недостойни човечета са дръзнали да въстанат против тебе? Какво отношение има това към императора, който още нищо не разбира, ако хората, които лошо управляват делата му, са взели такова решение спрямо тебе?[1] Но ти си оскърбен. Нека ти бъде достатъчно, че са наказани ония, които са те оскърбили — и при това много повече, отколкото те заслужаваха. Защото, когато някой е подложил на съответно наказание оня, който е тъкмял да нанесе обида, то той, ако не е твърде жесток, се задоволява с това. Когато пък отмъщението е много по-голямо, нима той може да се гневи повече и да желае още повече да наскърби тоя, който го е оскърбил? Аз тук не казвам за някой кротък и човеколюбив [човек], подобен на тебе, но за такъв, който, макар и да е бил жесток и необуздан, все пак ще прекрати своята жестокост, ще угаси огъня на гнева си и ще сключи мир с тоя, който несправедливо е намислил да повдигне ръка. Тъй и ти, чедо наше, прекрати гнева си, върни се пак към собствената си кротост и тури край на човекоубийствата и на другите бедствия, които търпят досега християни от християни.

За това, най-любезно ми чедо, сега ти съобщавам писмено.[2] Но ако Христос, бог наш, мирът, който превъзхожда всеки ум, със своето наставление насочи душата ти така, щото ние сами лично да се явим при тебе и със собствените си уста да поговорим с тебе за това и за друго, ако това поискат обстоятелствата, то ние сме готови да се явим при тебе. И не се страхуваме нито от старостта си, нито от немощта, нито от трудността на пътуването си, стига само твоята добродетел да поиска да се съгласи на мир. И тъй съобщи ни дали бог ти е внушил това велико и спасително за ромеите и българите дело, т. е. да се явя сам при тебе там, гдето е въз-

[1] Патриарх Николай Мистик се стреми да убеди цар Симеон, че императорът не е имал никакво отношение към предприетия от византийците поход срещу България през 917 г. [2] Това писмо Николай Мистик е написал вероятно в края на юли или началото на август 920 г. Вж. *Златарски*, Писмата ..., СбНУК, XI, стр. 35.

τόπον, καὶ θεάσασθαί σε τὸ ἐμοὶ ποθεινότατον θέαμα, καὶ συλλαλῆσαι τὰ πρόσφορα καὶ συμφέροντα περὶ τῆς ἐν Θεῷ ἀπό γε τοῦ νῦν εἰρήνης καὶ τῆς κοινῆς καταστάσεως. δῆλον δὲ διὰ τοῦ ἀποστεῖλαι τοὺς κατασχεθέντας Ῥωμαϊκοὺς ἀποκρισιαρίους, καὶ τοῦ ἥκειν διὰ τῆς αὐτῶν γλώσσης σὺν τῷ γράμματί σου τὴν ἀπαγγελίαν τῆς φιλοθέου σου προαιρέσεως, ἵν' οὕτω μετὰ πληροφορίας ἑαυτοὺς ἐκδεδωκότες προθύμως, εἰ καὶ ὑπὲρ δύναμιν ἡμῶν τὸ πρᾶγμα πρὸς τοὺς πόνους τῆς πορείας, εἴτε πρὸς τὴν Μεσημβρίαν[a]*, ἢ ἄλλοθι οὗ ἂν ἀρέσῃ καταλάβωμεν. Καὶ ὅσα συμφέρει Ῥωμαίοις καὶ Βουλγάροις εἰπεῖν καὶ ἀκοῦσαι, ῥηθήσεται, δι' ὧν λήξει μὲν τὰ τοῦ πολέμου, βραβευθήσεται δὲ εἰρήνη· ἐφ' ᾗ δοξασθήσεται ὁ Θεὸς, καταισχυνθήσεται δὲ διάβολος καὶ οἱ τούτῳ ἐξυπηρετησάμενοι· μεγαλυνθήσεται δὲ καὶ τὸ σὸν ὄνομα ἔν τε τῷ παρόντι αἰῶνι καὶ ἐν τῷ μέλλοντι· καὶ βιώσουσιν ἐν ἀναπαύσει καὶ ἀπαλλαγῇ τῶν κακῶν ὅ τε ὑπὸ τὴν σὴν χεῖρα δεδομένος λαὸς, καὶ οἱ τελοῦντες ὑπὸ τὴν βασιλείαν· ἥτις σὺν Θεῷ καὶ διδάσκαλός σοι καὶ ὁδηγὸς καὶ πρὸς σωτηρίαν ἐγένετο, καὶ τῶν ἀρχαίων ἐθῶν ἀναλαβομένη, πρός τὰ πολλῷ κρείττονα καὶ ὑπερέχοντα μετέστησε, καὶ τοῦ δοξάζεσθαι καὶ σεμνύνεσθαι, καὶ οὕτως τοῦ Χριστοῦ ἀρχικὴ μοῖρα γνωρίζεσθαι τὰς ἀφορμὰς ἐμπαρέσχετο.* (XIV, col. 97 D — 105 B).

можно да се назначи място, и да видя тебе — тоя многожелан за мене образ — и да поговорим за това, което е нужно и полезно относно общото положение. Яви ми чрез задържаните от тебе ромейски апокрисиарии[1], които ти ще изпратиш назад и които ще дойдат тук, устно и с писмо за твоето боголюбиво намерение, та така с пълна увереност и на драго сърце да предприемем това трудно пътуване, ако и да не е според силите ни, като пристигнем или в Месемврия, или другаде, гдето ти се нрави. И онова, което трябва да се каже и чуе за ромеите и българите, ще бъде казано и с това войната ще се прекрати и ще се закрепи мирът, с който ще се прослави бог, а дяволът пък и ревностните му слуги ще се посрамят, ще се възвеличи и името ти в настоящия и бъдещия живот и ще живеят в спокойствие и далеч от бедствията подвластният под твоята ръка народ и ония, които са подчинени на империята. Тя с божия помощ ти е служила като учителка и пътеводителка към спасението и като възстанови предишните обичаи, ще те насочи към доброто и най-възвишеното, ще ти даде възможност да се прославиш и да добиеш чест и по този начин да познаеш първоначалното предопределение на Христа.

13. Ad eundem

Τῷ αὐτῷ

Τὰ γράμματά σου, θεοτίμητε ἡμῶν υἱὲ, δεξάμενοι χαρᾶς ἀληθοῦς καὶ πνευματικῆς ἐπλήσθημεν ἡδονῆς, καὶ ἐπυξάμεθα, εἰ καὶ ἁμαρτωλοὶ, ἀνθ' ὧν οὕτω πρόθυμος ἐγένου εἰς πρόσωπον ἐλθεῖν τῆς ἐμῆς ταπεινότητος, ἀξιωθῆναί σε τοῦ προσώπου θεατὴν γενέσθαι μετ' εὐπαῤῥησιάστου συνειδήσεως του Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὅταν ἐρῇ τοῖς ἀξίοις τῆς μακαρίας ἐκείνης φωνῆς· „Δεῦτε, οἱ εὐλογημένοι τοῦ Πατρός μου, κληρονομήσατε τὴν ἡτοιμασμένην ὑμῖν βασιλείαν ἀπὸ καταβολῆς κόσμου.“ Τοῦτο μὲν ηὐξάμεθά σοι καὶ εὐχόμεθα, διότι ἐμφανισθῆναι αὐτίκα τῇ δηλώσει τῷ ἡμετέρῳ προεθυμήθης προσώπῳ· παράσχοι δὲ ὁ αὐτὸς

До същия

Когато получихме писмото ти, богочтими наш сине, се изпълнихме с истинска радост и духовно наслаждение и се помолихме, ако и да сме грешни, загдето ти изказа такава готовност да дойдеш на свиждане с мое смирение и да се удостоиш да видиш с чиста съвест лицето на господа наш Исуса Христа, когато той е казал на достойните за неговото блажено слово: „Елате вие, благословени от моя отец, и наследете присъденото за вас царство от сътворението на света.“ За това се молихме и се молим, тъй като, след като получи известието [ни], ти на драго сърце пожела незабавно да се явиш пред нашето лице. Нека господ

a) *μεσημβρίαν* loco *Μεσημβρίαν* in *ed.*

[1] Т. е. задържаните византийски пратеници. За апокрисиарии изобщо вж. *A. Emereau*, Apocrisiaires et apocrisiarat. Notion de l'apocrisiarat; ses variétés à travers l'histoire, Échos d'Orient, XVII (1914), pp. 289 — 297. — *Idem*, Les apocrisiaires en Orient, ibid., pp. 542 — 548.

Κύριος ἡμῶν, Ἰησοῦς Χριστὸς, ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη, ἡ ἀγάπη, ἡ ἀλήθεια, ἡ σωτηρία ἡμῶν, καὶ ἔτι μᾶλλον προσεύξασθαι ὑμῖν διὰ βίου παντὸς ὅσαι τῆς ταπεινῆς ζωῆς ἡμῶν αἱ βραχεῖαι ἡμέραι ὑπὲρ ὧν καὶ ἔτι πρόθυμος κατανεύειν ὀφθήσῃ τοῖς ἡμετέροις λόγοις, οὓς ἥκοντες πρὸς σὲ φθεγξόμεθα σὺν Θεῷ τῷ διδόντι λόγον συνέσεως ὑπὲρ τῆς κοινῆς εὐζωΐας καὶ ἀναπαύσεως τοῦ Βουλγάρων καὶ Ῥωμαίων γένους. Ἀλλ' οὕτω μὲν ἡ ἀρχὴ τοῦ γράμματος, τέκνον ἡμῶν, ἐξ ἱερᾶς ἀπάρχεται ἡμῖν εὐχῆς· ὑπὲρ δὲ τῶν λοιπῶν, καὶ ἃ μεταξὺ τοῦ γράμματος ἐνεφέρετο, χάριν τοῦ μὴ ὀχληροὶ γενέσθαι τῷ μήκει τῶν λόγων, μάλιστα ὅτι ἐλπίζομεν Θεοῦ βουλομένου στόμα πρὸς στόμα λαλῆσαι, περιττὸν ἡγησάμεθα γράφειν.

наш Исус Христос — мирът, превъзхождащ всеки ум, любовта, истината и нашето спасение, — нека ни сподоби още по-усърдно да се молим за вас през целия ни живот, колкото и да бъдат кратки дните на нашето смирено съществуване, та ти да се покажеш готов да се съгласиш с нашите думи, които, като дойдем при тебе, ще произнесем с помощта на бога, внушителя на разумна реч, за общото благоденствие и успокоение на българския и ромейския народ. По този начин, чедо наше, началото на писмото ни начева със света молитва; а относно другите неща и за това, което се намира вътре в писмото [ти], сметнахме за излишно да ти пишем, за да не ти дотегне дългата ни реч и особено защото се надяваме, че с божия воля ще поговорим лично.

Ἐκεῖνο δὲ μόνον ὡς ἀναγκαῖον γράφομεν, ἠγαπημένε μου υἱὲ καὶ δεδοξασμένε, ὡς καὶ τὸ γῆρας ὀπίσω ῥίπτομεν, καὶ τὸ ἀσθενὲς παρεῶμεν τῆς φύσεως, καὶ τὰ ἐκ τῆς ὁδοῦ ἐπίπονα καὶ λυπηρὰ, καὶ τὴν ὅλην ταλαιπωρίαν οὐχ ὑπολογιζόμεθα, ἐὰν μόνον πληροφορίαν παράσχῃς ἡμῖν, ὅτι παρακέκληται ἡ σὴ τιμία ψυχὴ μὴ ἀτιμάσαι τὸν κόπον ἡμῶν, μηδὲ τὴν πρεσβείαν ἣν ποιεῖται πρὸς σὲ, τέκνον ἡμῶν, γηραιὸς πατὴρ καὶ συντετριμένος, ἀνήκοον ἀποστρέψῃς καὶ παραλελογισμήνην. Ποιήσομαι δὲ πάντως πρεσβείαν καὶ σοὶ, τέκνον ἡμῶν, ἐπωφελῆ, καὶ τοῖς Ῥωμαίοις οὐ παντάπασιν ἐπιβαρῆ καὶ ἀφόρητον. Εἰ οὖν, ὡς εἶπον πάντως οὕτως παρακέκλησαι, πρῶτον μὲν ὑπὸ τοῦ Θεοῦ, δεύτερον δὲ ὑπὸ τῆς σῆς ἐμφρονεστάτης διασκέψεως, καὶ τρίτον, εἴ τίς σοι λόγος καὶ τῆς ἡμῶν ταπεινότητος, ὑπὸ τῆς ἡμετέρας δεήσεως· ἐλεύσομαι πρὸς δὲ καὶ ψυχῇ πτερούμενος καὶ τῷ σώματι, τῶν βαρυνόντων πάντων τὴν ἐμὴν ζωὴν καὶ τὸ γῆρας ἐπιλελυσμένος.

Пишем само за едно като нещо необходимо, обични и прославени ми сине, а именно за това, че аз забравих старост, че не обръщам внимание на слабостта на тялото си и че никак не мисля за трудностите и мъките на пътуването и за цялата умора, стига само ти да ни дадеш пълна увереност, че твоята честна душа не ще пренебрегне нашия труд и няма да върнеш назад, без да изслушаш и без да обърнеш внимание, пратеничеството, което изпраща до тебе, чедо наше, твоят стар и немощен баща. Аз ще изпратя във всеки случай посолство, което и за тебе, чедо наше, е полезно, и за ромеите не е тъй тягостно и неизносно. И тъй, ако ти, както казах, си така разположен, на първо място от бога, а после от твоята твърде благоразумна мисъл и най-сетне от нашата молба, ако ти колко-годе обръщаш внимание на нашето смирение, то аз ще дойда при тебе, като хвърча с душата и тялото си и като забравя всичко, което отегчава моя живот и старостта ми.

Εἰ δ' ὅπερ ἀπευχόμεθα, ἔτι κἀκεῖνα τὰ προλαβόντα σκάνδαλα (ἀλλὰ μὴ συγχωρήσοι Θεός!) ἐν τῇ σῇ διαμένουσι ψυχῇ, καὶ αἱ βουλαὶ καὶ σκέψεις αἳ ἀθλίους εἰργάσαντο Ῥωμαίους καὶ Βουλγάρους, καὶ ἔτι περὶ τῆς Ῥωμαϊκῆς βασιλείας τοὺς ἀρχαίους ἐν σεαυτῷ λογισμοὺς φέρεις, αὐτόν σοι προβάλλομαι μεσίτην, αὐτὸν ἄγγελον τὸν τῆς βουλῆς τοῦ Θεοῦ καὶ Πατρὸς, ἣν τοῖς ὑπὸ τοῦ ἀνθρωποκτόνου δαίμονος ἐκπεπολεμωμένοις ἀπ' ἀρχῆς ἤγγειλε, καὶ τῇ φιλανθρώπῳ ἀγγελίᾳ ἔπαυσε μὲν τὸν αἰώ-

Но ако — дано не е така — предишните съблазни се таят още в душата ти, което да не допуска бог, а тъй също и ония желания и стремления, които направиха нещастни ромеите и българите, ако още носиш в себе си първоначалните помисли за ромейското царство, то призоваваме за посредник самия известител на волята на бога-отца, която той извести на нападаните още отначало от човекоубиеца-демон, и със своето човеколюбиво известие прекрати вечната война, унищожи преградата на враждата

νιον πόλεμον, ἐξεῖλε δὲ τὸ τῆς ἔχθρας μεσότοιχον, καὶ εἰς ἑνότητα καὶ εἰρήνην συνήγαγε τὸ ἀνθρώπινον. Ἀλλ' αὐτόν σοι προβάλλομαι εἰς δυσώπησιν τὸν Κύριον τῶν κυρίων, τὸν Βασιλέα τῶν βασιλευόντων, καὶ ἐξουσιάζοντα πάσης ἐξουσίας, φανερὰν ἡμῖν τὴν σὴν ποιῆσαι προαίρεσιν δι' ὧν ἀντιπέμψεις γραμμάτων· ὥστε με μήτε κόπον ὑπομεῖναι διακενῆς, μήτε παραγεγονότα ματαίους φθέγξασθαι λόγους εἰς αἰσχύνην μὲν τὴν ἐμὴν, εἰς γέλωτα δὲ τῶν πολλάκις φιλούντων κατακερτομεῖν καὶ γελᾷ τὰ ἡμέτερα. Οἶδας δὲ, φρόνιμος ὢν Θεοῦ χάριτι, ὡς πολλοὶ τῶν ἀνθρώπων, οἴμοι τῆς ἀνθρωπίνης ἐλλεεινότητος! τοιαύτης ὑπάρχουσι διαθέσεως· τυχὸν δὲ καὶ εἰς κατάκριμα τῆς σῆς τιμιωτάτης ψυχῆς. Τὸ γὰρ μάτην κινῆσαι ἄνθρωπον γέροντα, ἐξησθενημένον, ἀρχιερέα, εἰ καὶ ἀνάξιον, καὶ μέχρι τοῦ σοῦ προσώπου τοῦτον ἀγαγεῖν εἶτα διακενῆς ἀποστρέψαι μάταιον ὑπομεμενηκότα πόνον καὶ κάματον, γέλωτα δεδειγμένον τοῖς προαίρεσιν ἔχουσι καταγελᾶν ἡμῶν, σκέψαι, τέκνον μου ἠγαπημένον, μὴ οὐκ ἔστιν ἀκατάκριτον τῇ σῇ φιλοθέῳ ψυχῇ. Τὰ δ' ἄλλα ἐῤῥωμένον σε διαφυλάξοι Χριστὸς ὁ Θεὸς ἡμῶν, καὶ νῦν μὲν ἀπὸ πάσης κακώσεως ὁρωμένης τε καὶ ἀοράτου ὑψηλότερον συντηρῶν, καὶ ἐν τῷ μέλλοντι αἰῶνι τῆς ἀναπαύσεως καὶ δόξης τὴν κοινωνίαν παρεχόμενος. (XV, col. 105 C—108D)

и отново събра човешкия род в единство и мир. Призовавам да те убеди господарят на господарите, царят на царуващите и господствуващият над всяка власт да ни изявиш намерението си чрез писмата, които ще ни пратиш. Така аз нито напразно ще се моря, нито след като се явя, ще произнасям напразни думи за мой срам, за посмешище на ония, които често обичат да се подиграват и подсмиват над нашите дела — а ти знаеш като благоразумен по милост божия, че мнозина от хората, о човешка окаяност, са разположени към това, — и може би и за осъждане на твоята пречестна душа. Защото да раздвижиш напразно стар човек, съвършено омаломощен, архиерей, ако и недостоен, и да го докараш при себе си, а после да го върнеш назад напразно, след като е понесъл напразно труд и мъки и е станал за присмех на ония, които обичат да ни се присмиват — помисли, възлюбено ми чедо, че това не ще остане, без да бъде осъдена твоята боголюбива душа. Прочее да те запази невредим Христос, бог наш, и да те предпази сега от всяко зло, видимо и невидимо, а в бъдещия живот да те направи съпричастник в своя покой и слава.

14. Ad eundem

Τῷ αὐτῷ

Πάλιν ἐπὶ τὸ γράφειν, υἱέ μου θεοφρούρητε, ἀναγκαίως κεκίνημαι, τοῦτο μὲν ὑπὸ τῶν ἀλγηδόνων καθεκάστην νυττόμενος τὴν ψυχὴν, αἳ διὰ τὰ κοινὰ πάθη καὶ τὰς συμφορὰς Ῥωμαίων καὶ Βουλγάρων συνέχουσιν ἡμᾶς, τοῦτο δὲ καὶ διὰ τὴν ἐκεῖθεν φοβερὰν τιμωρίαν, ἐὰν ἐπὶ τοσούτοις κακοῖς σιγῶντες διατελέσωμεν. Σκοποὶ γὰρ τεθέντες, εἰ καὶ ἀνάξιοι, τῆς τῶν ἀνθρώπων σωτηρίας, οὐ δυνάμεθα σιωπᾶν, ἵνα μὴ τὸ αἷμα τῆς σφαγῆς Ῥωμαίων καὶ Βουλγάρων

До същия

Отново, богохраними ми сине, съм принуден да пиша,[2] защото, от една страна, всекидневно душата ми се раздира от страдания, на които сме подложени поради общите нещастия и бедствия на ромеите и българите, а от друга пък, защото се боя от страшното наказание в отвъдния мир, ако продължаваме да мълчим пред толкова големи злини. Понеже ние, които [сме] поставени, ако и недостойни, за блюстители на човешкото спасение, не можем да мълчим, за да не би бог, който ни е поставил за блюстител, не зная по какво свое решение, да поиска от нас кръвта на убитите ромеи и българи. Заради това, ако и да се от-

[1] Това писмо е било написано между края на август и 24 септември 920 г. Бързото съгласяване на Симеон да води преговори за мир с византийците възбудило у тях недоверие, затова Николай Мистик прави редица уговорки около срещата, която щяла да се състои в Месемврия. А цар Симеон, както изглежда, е целял да спечели време, за да може изпратената към Дарданелите войска да превземе гр. Лампсак и да се закрепи на малоазийския бряг. Вж. *Златарски,* Писмата ..., СбНУК, XI, стр. 39 — 42. — *Същият,* История, I, 2, стр. 412 — 414. [2] В. Н. Златарски отнася това писмо към началото на 921 г. (Писмата ..., СбНУК, XI, стр. 45 — 47).

ἐξ ἡμῶν ἀπαιτήσῃ ὁ κρίμασιν οἷς οἶδε Θεὸς σκοπὸν καταστήσας ἡμᾶς. Διὰ τοῦτο, εἰ καὶ πλειστάκις γράψαντες παρελογίσθημεν, ὅμως καὶ νῦν γράφομεν, δεόμενοι τοῦ Θεοῦ τοῦ πάντων αἰτίου τῶν ἀγαθῶν, κἂν ἐν τῷ παρόντι προσχεῖν σοι δοῦναι τῷ λόγῳ ἡμῶν, ἀλλὰ μὴ ῥίψαι τοῦτον εἰς παραλογισμόν, οἷα ἐπὶ τῶν προλαβόντων συμβέβηκε· Γράφω δέ, τέκνον ἡμῶν, οὐχ οἷα πρότερον μόνον περὶ εἰρήνης σε δυσωπῶν, ἀλλ' ἕτερόν τινα τρόπον ἀγωνιῶν καὶ πενθῶν ὑπὲρ τῶν μελλόντων κινεῖσθαι κακῶν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων. Πάλιν γάρ, οἴμοι τῆς ἐπηρείας τοῦ πονηροῦ δαίμονος! στρατευμάτων παρασκευὴ καὶ πανταχόθεν συλλογὴ καὶ κίνησις μυριάνθρωπος, οἵαν οὐ δύναμαι παραστῆσαι τῷ λόγῳ. Καὶ διὰ τοῦτο στενάζω καὶ ὀδύρομαι προβλέπων καὶ κατανοῶν ὅσα ἐκ τῆς τοιαύτης κινήσεως τῶν στρατοπέδων μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων συμβήσεται χαλεπά, ὧν πάντως ἡ σύμβασις κοινὴ Χριστιανοῖς συμφορά, καὶ πικρὸν ἄλγος Χριστῷ τῷ Θεῷ ἡμῶν, τῷ περιποιησαμένῳ ἑαυτῷ εἰς κληρονομίαν τὸ τῶν Χριστιανῶν γένος διὰ τοῦ αἵματος τῆς ἁγίας πλευρᾶς αὐτοῦ. Εἴτε γὰρ τὸ Βουλγάρων ἔθνος ἀπολωλέναι γένοιτο, τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν περιγίνεται τὸ ἀλγεῖν· εἴτε ὁ Ῥωμαϊκὸς λαός, οἷα τὰ τοῦ πολέμου πράγματα, εἰς ὄλεθρον περιστῇ, καὶ οὕτως ἡ πάντων κεφαλὴ Χριστὸς ὁ Θεὸς ἡμῶν ἐπὶ τούτοις ὀδυνώμενος ἔσται. Εἶτα οἱ τῶν τοσούτων αἴτιοι συμφορῶν τίνα ἕξουσι προσδοκίαν; Ποίαν καὶ ἐν τῷ παρόντι βίῳ διανύσουσιν, εἴ γε τὸ ζῆν αὐτοῖς περιέσται; Καὶ ἐν τῷ μέλλοντι βίῳ πορευόμενοι, μετὰ ποίας ἐλπίδος ἐκεῖ πορεύσονται; Πῶς τῷ προσώπῳ τοῦ Θεοῦ παραστήσονται; Πῶς τὴν ἐκδεχομένην ὑπομενοῦσιν αὐτοὺς τιμωρίαν; Τίνα εὑρήσουσιν ἀπολογίαν; Τίνα πρόφασιν προβαλοῦνται τῆς τοσαύτης τῶν Χριστιανῶν ἀπωλείας;

Ταῦτά με συνέχει, τέκνον ἐμόν, καὶ ἐν ἡμέρᾳ καὶ ἐν νυκτί· διὰ ταῦτα σπαράσσομαι τὴν ψυχήν, καὶ σιγᾶν μὴ δυνάμενος τὸ γράμμα σοι διαπέμπομαι. Ἀναλόγισαι, υἱέ μου, ἄξια ποιῶν τῆς σῆς μεγάλης συνέσεως, τὰς χύσεις τῶν αἱμάτων Ῥωμαίων καὶ Βουλγάρων, αἳ τὴν γῆν ἐμόλυναν, ὅτε ὁ παγχάλεπος ἐκεῖνος συνέστη πόλεμος μεταξὺ τῶν γενῶν ἑκατέρων. Ἐνθυμήθητι ὅση τότε συμφορὰ Βουλγάροις καὶ Ῥωμαίοις ἀπήντησεν, καὶ μὴ βουληθῇς ἔτι τοιαύτην ἡμέραν ἀποτρόπαιον ἐπιδεῖν. Μὴ τοῦτό σε δόξῃ ἐπαίρειν ὅτι Βούλγαροι μέν, εἰ καὶ πλεῖστοι μαχαίρας ἔργον γεγόνασιν, ὅμως περιεγένοντο, Ῥωμαῖοι δὲ τὴν ἧτταν καὶ τὸ ἔλαττον

насяш с презрение към нашите многобройни послания, ние все пак пишем, като молим бога, причинителя на всички блага, да ти внуши да обърнеш внимание сега на нашето писмо, а не да го отхвърлиш, както се случи с предишните. Пиша, чедо наше, не като те моля, както по-рано, само за мир, но и като страдам и плача по друг начин за бъдещите злини, които ще настъпят между ромеи и българи. Защото отново — о козни на злия демон! — има приготовление на войски и отвсякъде сбор и движение на хиляди души, което аз не мога да изразя с думи! И заради това аз охкам и скърбя, понеже предвиждам и си представям какви злини от това движение на войските ще произлязат между ромеите и българите. Те ще бъдат общо нещастие за християните и горчиво страдание за Христа и бога наш, който чрез кръвта на своите свети ребра е направил за свое наследие рода на християните. Защото, ако се случи да погине българският народ, това ще причини страдания на Христа и бога наш. Ако пък ромейският народ изпадне в гибел, както става на война, и тогава също главата на всички, Христос, бог наш, ще бъде опечален. Заради тях после виновниците на всички тези страдания какво могат да очакват? Какъв живот ще прекарат те тук на земята, ако животът им бъде оставен, и когато се преселват в бъдещия живот, с каква надежда ще се явят там? Как ще застанат пред лицето на бога? Как ще понесат наказанието, което ги чака? Какво оправдание ще намерят? Каква причина ще изтъкнат за толкова голяма гибел на християните?

С това съм зает, чедо мое, ден и нощ. От това душата ми се терзае и като не мога да мълча, аз ти пращам писмо. Разсъди, сине мой, ти, който извършваш дела, достойни за великия ти разум, за кръвопролитията между ромеи и българи, които оскверниха земята, когато избухна оная най-ужасна война между двата народа![1] Помисли си какви бедствия сполетяха българи и ромеи и не пожелавай да видиш такъв отвратителен ден! Не се гордей с това, че българите, ако и мнозина от тях да станаха жертва на меч, все пак удържаха връх, а ромеите претърпяха поражение и бяха надвити!

[1] Патриарх Николай Мистик има пред вид кръвопролитния бой при Ахелой.

ἀπηνέγκαντο· οὐ γὰρ ἀεὶ τοῦ πολέμου τεταγμένα τὰ ἔργα, ἀλλ' ἔχουσιν ἄδηλον τὴν ῥοπὴν, καὶ πολλὰς τὰς ἐφ' ἑκάτερα μεταβολάς. Μὴ πάλιν οἴου τὴν νίκην μετὰ σοῦ γενέσθαι, ἀλλ' ἄνθρωπος ὢν σκόπει καὶ τὰ ἀνθρώπινα. Διότι πολλοὶ ἑστῶτες, ὡς ἐνόμιζον, ἐπ' ἀσφαλείας, ἔπεσον πτῶμα ἐξαίσιον· καὶ πολλοὶ κείμενοι ἀνωρθώθησαν· πολλοί, νενικηκότες καὶ δόξαντες εἶναι ἀκαταμάχητοι, αὐθωρὸν ἡττηθέντες ἀπώλοντο. Οἶδα ὅτι καὶ χωρὶς τῶν ἐμῶν λόγων, τέλειος ἐν φρονήσει τυγχάνων, ταῦτα γινώσκεις· πλὴν καὶ ἡμεῖς γράφομεν οὐκ ἔξω γράφοντες τοῦ εἰκότος. Δός μοι, τέκνον ἐμὸν, τὴν σὴν εὐσύνετον ἀκοὴν, μᾶλλον δὲ πρὸ τῆς ἀκοῆς τὴν σὴν φρονίμην καὶ φιλτάτην ἐμοὶ ψυχήν. Δώσεις δὲ προσέχων τοῖς ἐμοῖς ῥήμασιν, ἀκούων λόγους πατρὸς, καὶ πατρικῶς συμβουλεύοντος καὶ συνφερόντως, ὥς γε πεποίθαμεν ἐν Θεῷ, καὶ πρὸς σὴν δόξαν καὶ ἐν τῇ παρούσῃ ζωῇ καὶ ἐν τῇ μελλούσῃ, ἐν ᾗ μάλλιστα ἡ δόξα ἐπέραστος τοῖς ὄντως ἐπιποθοῦσι τοῦ δοξάζεσθαι. Μὴ βουληθῇς τὴν συγκίνησιν τῶν νῦν στρατευμάτων εἰς παράταξίν σοι καθισταμένην ἰδεῖν, μηδὲ πάλιν πολυάνθρωπον σφαγὴν Ῥωμαίων καὶ Βουλγάρων γενέσθαι, μηδ' ὥσπερ ἀνακαινισμὸν ἰδεῖν ἐκείνου τοῦ πολέμου τῶν συμφορῶν, μή ποτε πρὸς μεταμέλειαν καταστῶμεν, ὅτε τυχὸν ἐξ αὐτῆς οὐδὲν ἀπαντήσεται ὄφελος.

Тъй като не винаги делата на войната вървят по установен ред, но изходът на войната е неизвестен и везните се накланят ту на едната, ту на другата страна. Не мисли, че победата пак ще бъде твоя; но като човек имай предвид и човешките дела, защото мнозина, които са мислели, че стоят на здрава почва, са паднали със страшно падане; и мнозина които са лежали паднали, са се вдигнали; трети, които са удържали победа и са се смятали непобедими, са претърпявали поражение и веднага са загивали. Аз зная, че ти всичко това и без моите думи разбираш със своя съвършен ум; пък освен това и ние не пишем за неща неправдоподобни. Насочи към мене, чедо мое, твоя благоразумен слух или по-добре преди слуха разтвори ми твоята разсъдлива и многообична душа. Но ти ще я разтвориш, ако се отнесеш с внимание към думите ми и изслушаш думите на своя отец, който, уповавайки се на бога, бащински с полза те съветва заради славата ти както в настоящия, така и в бъдещия живот, в който славата е особено приятна за желаещите действително да се прославят. Не пожелавам да видиш движението на сегашните войски, изправени срещу тебе, нито да настане пак многобройно избиване на ромеи и българи, нито пък да видиш като че се подновяват бедствията на предишната война, за да не се разкайваме после, когато от нея не се получи никаква полза.

Φρονίμων ἀνθρώπων ἐστὶ, καὶ μάλιστα ὁποῖος αὐτὸς εἶ, προορᾶν καὶ προασφαλίζεσθαι τῶν κακῶν τὴν ἐπέλευσιν, ἀλλὰ μὴ ἐπιῤῥίπτειν ἑαυτοὺς ὥσπερ μύουσιν ὀφθαλμοῖς εἰς τὴν πεῖραν αὐτῶν. Δόξης ἐπιθυμεῖς, τέκον ἐμὸν, πλούτου καὶ λαμπροῦ ὀνόματος; ἔξεστί σοι πειθομένῳ τοῖς ἡμετέροις λόγοις μὴ τῆς ἐπιθυμίας ἀποτυχεῖν. Καὶ πρόσχες οἷς λέγομεν· κρίμασιν οἷς ἐξεπίσταται ὁ Θεὸς, εἰς τὸν θρόνον τῆς βασιλείας ἐνίδρυσεν, ὥς γε καὶ αὐτὸς, οἶμαι, διέγνως, τὸν κύριν Ῥωμανόν· συνάφθητι κατ' ἐπιγαμίαν αὐτῷ, εἴτε πρὸς ἄρσενα παῖδα ἐκείνου θυγατέρα προσαρμόζων, εἴτε πρὸς τὴν θυγατέρα ἐκείνου υἱὸν εἰς νυμφίον δεχόμενος. Καὶ τούτου γινομένου οὐδενὸς ἀποτεύξῃ τῶν καταθυμίων, ὅσα πρὸς δόξαν τὴν πρέπουσαν καὶ πρὸς τὴν σὴν ἀπόλαυσιν ἀφορᾷ, καὶ παντὶ τῷ Βουλγάρων

На благоразумните хора и особено на такива, какъвто си ти сам, е свойствено да предвиждат и да се предпазват от настъпването на бедствията, но не да се хвърлят като със затворени очи, за да ги изпитат. Слава ли желаеш, чедо мое, богатство и славно име? Ти можеш, ако послушаш думите ми, да постигнеш желанието си. Но обърни внимание на това, което ти казвам. Бог по решение, което той сам знае, постави на императорския престол господаря Роман[1], както мисля, и ти сам вече знаеш. Сроди се с него чрез брак, било като дадеш дъщеря си за неговия син, било като ожениш своя син за неговата дъщеря. Ако стане това, ти нищо няма да загубиш от това, което желаеш и което се отнася до надлежната слава и твоята полза — нито за целия български род, нито за подчинения ти

[1] Роман Лакапин.

γένει καὶ ὑπὸ σὲ τελοῦντι λαῷ. Ἐπεζήτεις πρὸ τούτου κηδεῦσαι βασιλεῖ, καὶ τὴν σὴν ἐξαίτησιν παρὰ φαῦλον ἐποιήσαντο οἷς ἔδοξε τοῦτο ποιεῖν· νῦν ἔξεστί σοι τῇ τοιαύτῃ κηδείᾳ σεμνύνεσθαι. Ἐπεθύμεις συγκηδεστὴς γενέσθαι Ῥωμαίων βασιλέως, νῦν τοῦτό σοι φέρων χαρίζεται ὁ καιρός. Καὶ μηδέν σοι δόξῃ ἐναντίον τὸ νεωστὶ τοῦτον πρὸς τὸ ὕψος τῆς βασιλείας ἀναδραμεῖν, ἀλλὰ μᾶλλον ἐκεῖνο κατανοῶν διὰ τῶν πραγμάτων ὅτι, ὥσπερ χειραγωγούμενος ὑπὸ Θεοῦ, εὐκόλως οὕτως καὶ ὡς οὐδεὶς ἄλλος σχεδὸν εἰπεῖν ἐπὶ τὸ βασιλεύειν κατέστη. Προθυμότερος γενοῦ πρὸς τὴν τοιαύτην τοῦ γένους συνάφειαν· γεγόνασι πολλοὶ βασιλεῖς, ἀλλ' ἔσχον τινὰ παρακολουθοῦντα τῆς βασιλείας ἀνάξια· οὗτος δέ, καθὼς ἔφην, ὥσπερ ὑπὸ τοῦ Θεοῦ χειραγωγηθεὶς ἐπὶ τὴν τοιαύτην ἦλθεν ἀρχήν.

Εἰ δέ μοι καὶ τῆς Ἐκκλησίας τὴν κατάστασιν εἰς ἐνθύμησιν ἀναλαβεῖν βουληθῇς, πλέον γνώσῃ τὴν ἐπὶ τῷ ἀνδρὶ τοῦ Θεοῦ εὐδοκίαν. Οἶδε γάρ σου ἡ τελειότης ὅσον πόνον ὁ κύρις Λέων ὑπέστη ὁ βασιλεύς, εἶτα καὶ οἱ ἐξ ἐκείνου τὰ κοινὰ πράγματα διοικήσαντες, ἀλλ' οὐκ εἶδον τέλος τῆς ἑαυτῶν σπουδῆς, ὅτι μηδ' ἦν, ὡς ἔοικε, βούλημα τοῦ Θεοῦ· τούτου δὲ καταστάντος ἐπὶ τῶν κοινῶν πραγμάτων τῆς διοικήσεως, ἐλύθη μὲν ἐκεῖνα τὰ πολυχρόνια σκάνδαλα, καὶ ὁ τῆς Ἐκκλησίας πολὺς κλύδων καὶ τάραχος, καὶ ἀντὶ τούτων ἐν γαλήνῃ καὶ εἰρήνῃ τὰ τῆς Ἐκκλησίας ὁρᾶται, καὶ οἱ μαχόμενοι διεστῶτες τῇ τοῦ ἁγίου Πνεύματος χάριτι συνῆλθον πρὸς ἕνωσιν. Πόθεν ἑτέρωθεν ἢ πάντως τῆς θείας ἡμῖν συναραμένης Προνοίας καὶ τοῦτο ἐν ταῖς ἡμέραις ταύταις εὐδοκησάσης καταπραχθῆναι; Ταῦτα προστεθείκαμεν, ἵνα καὶ αὐτὸς εἰδῇς ὅτι μὴ ἀθεεὶ ἐγκεχείρισται τὰ σκῆπτρα τῆς βασιλείας, καὶ ἵνα τοῦτο εἰδώς, ἣν ἐξ ἀρχῆς εἶχες ἐπὶ τὸ κηδεῦσαι τῷ βασιλεῖ τῶν Ῥωμαίων ἔφεσιν, νῦν, εἰ βούλοιο, τελειουμένην ἕξῃς, καὶ καταστῇς ἀληθῶς εἰς ἕνωσιν τῇ Ῥωμαϊκῇ βασιλείᾳ. Καὶ διὰ τῆς τοιαύτης ἑνώσεως πάντα μὲν τὰ χαλεπά, πάντα δὲ τὰ ὀδυνηρὰ Ῥωμαίων καὶ Βουλγάρων ἐκποδὼν γένηται· πᾶσα δὲ ἄνεσις καὶ ἀπόλαυσις, καὶ ὅση τὸν βίον τοῦτον ἡδονὴ φαιδρύνει, ἀμφοτέροις τοῖς γένεσιν ἐπιδαψιλευθήσεται. Καὶ γὰρ τῶν τέκνων ὑμῶν εἰς γάμον συναπτομένων, πεποίθησιν ἔχομεν πρὸς

народ. Още по-рано ти поиска да се сродиш с императора, но твоето искане не се почете от ония, които решиха да постъпят така. Сега ти имаш възможност да се украсиш с такова родство. Ти искаше да станеш тъст на ромейския император, сега тебе ти се представя удобен за това случай. Не трябва да ти бъде никак неприятно това, че Роман недавна се възкачи на върха на империята, но, напротив, като имаш пред вид, че той, като че ли ръководен от бога, така лесно, както никой друг, може да се каже, беше поставен да царува, бъди готов да се сродиш по този начин. Мнозина са ставали императори, но [тяхното възцаряване] се е придружавало с нещо недостойно за царското достойнство; а той, както казах, сякаш ръководен от бога, достигна до такава власт.

Ако пък пожелаеш да обърнеш внимание и на състоянието на църквата, то още повече ще разбереш благоволението на бога към този мъж. Защото твое съвършенство знае колко труд е положил господарят император Лъв,[1] а после и следните след него управители на държавата, но те не видяха края на грижите си,[2] защото, както изглеждаше, не беше такава волята на бога. Когато пък този [мъж] пое управлението на държавните работи, то ония многогодишни съблазни, голямото вълнение и смут в църквата се прекратиха[3] и вместо това църквата видя тишина и мир, а ония които се бяха отцепили и които се бореха [срещу църквата], по милостта на светия дух отново се възвърнаха към единство. Откъде другаде това е произлязло, ако не от божественото провидение, което ни е съдействувало и в тия дни продължава да благоволи към нас? Това ние прибавихме, та и ти сам да знаеш, че не без волята божия е връчен нему скиптърът на царството, и като знаеш това, сега, ако искаш, можеш да изпълниш отколешното си желание — наистина да влезеш в единение с Ромейската империя. Чрез това единение всички бедствия и всички скърби на ромеи и българи биха били отстранени и покой и щастие на онова, което донася радост на този живот, в изобилие биха били дадени на двата народа. И наистина, когато вашите деца встъпят в брак, ние

[1] Лъв VI. [2] Сиреч не са могли да видят църквата умиротворена след схизмата от 906 г. [3] Вж. тук стр. 229, бел. 1.

τὸν Θεόν, ὡς πᾶν εἴ τι καλὸν καὶ ἡδὺ καταλήψεται ὑμᾶς, εἴ τι δὲ ἐναντίον καὶ ἀνιαρὸν διαφεύξεται, μηκέτι χώραν ἔχοντος τοῦ πονηροῦ δαίμονος, ἢ τῶν μιμουμένων τὴν ἐκείνου πονηρίαν ἀνθρώπων, τὰ οἰκεῖα πράττειν καὶ ἐνεργεῖν. (XVI, col. 108 D — 113 A)

се уповаваме на бога, че всичко, което е най-добро и най-приятно, ще ви свърже, а всичко пък враждебно и неприятно ще бъде отблъснато от вас, тъй като злият демон или пък които му подражават в лукавството, не ще могат повече да извършват и осъществяват своите зли дела

15. Ad eundem

Τῷ αὐτῷ

Εἰ καὶ πολλάκις ἐγράψαμεν τὰς κοινὰς ἀποδυρόμενοι συμφοράς, ὅσαι Βουλγάρους καὶ Ῥωμαίους συνέχουσιν, υἱέ μου ἠγαπημένε καὶ μεγαλόδοξε, εἰ καὶ πολλάκις ἐδυσωπήσαμεν, καὶ συχνὰς προσηνέγκαμεν παρακλήσεις, καὶ προσελθεῖν τῷ ὠτίῳ σου οὐκ ἐξεγένετο τοῖς λόγοις ἡμῶν· ἀλλὰ χαμαὶ τούτους ἀπέῤῥιψας, καὶ οὔτε ταπεινοῦ καὶ ἁμαρτωλοῦ πατρὸς ἐδυσώπησέ σε τὸ γῆρας, οὔτε ἀρχαία φιλία, οὔτε τὸ τῆς ἱερωσύνης αἰδέσιμον, ἥν, εἰ καὶ ἀνάξιοι, κατηξιώθημεν φέρειν οὔτε τὸ πάντων ἀναγκαιότατον αὐτὸ τὸ πρᾶγμα ὑπὲρ οὗ πρεσβεύομεν, ὑπὲρ ἀγάπης, ὑπὲρ εἰρήνης, ὑπὲρ ἀνακοπῆς αἱμάτων Χριστιανικῶν λύσεως καὶ σφαγῆς· καίτοι, τέκνον ἡμῶν, μετὰ τῆς ἄλλης σου ἀρετῆς, καὶ τὰ θεῖα λόγια μελετῶν, οὐκ ἀγνοεῖς ἃ πρὸς τοὺς μαθητὰς ὁ Κύριος ἔλεγεν· „Ὁ ἀθετῶν ὑμᾶς ἐμὲ ἀθετεῖ,“ ὧν ἡ διαδοχὴ ἐξ ἐκείνου καὶ μέχρι τοῦ νῦν εἰς ἡμᾶς κατέβη τοὺς ἀχρείους, οἷς κρίμασιν ἐπίσταται ὁ Θεός. Ἀλλὰ γάρ, εἰ καὶ πλειστάκις ὑπὲρ οὕτω μεγάλου πράγματος καὶ σωτηριώδους Ῥωμαίοις τε καὶ Βουλγάροις εἰς κενὸν ἐδυσώπησα, τί ποιήσω; Πάλιν ἀναγκάζομαι δυσωπεῖν, ἐπεὶ ἐτέθην εἰς τοιαύτην τάξιν τοῦ μεσίτης εἰρήνης εἶναι, τοῦ πάσῃ δυνάμει τοὺς διεστῶτας συνάπτειν, τοῦ σκοπεῖν τὰ σκάνδαλα τοῦ ἐχθροῦ καὶ τὰς ἐπιβουλάς, καὶ ἀπαγγέλλειν τοῖς ἐπιβουλευομένοις τὴν ἐκ τούτων προσγινομένην βλάβην.

Οὐαὶ γάρ μοί ἐστιν ἐὰν μὴ οὕτω φρονῶ ἐὰν μὴ τοῦτο πράττω, ἐὰν μὴ φέρω ταύτην τὴν διηνεκῆ σπουδήν· Φρίττω τὴν ἀπειλὴν ἣν ἠπείλησεν ὁ Θεὸς καὶ πλάστης τοῖς ὑπ᾽ αὐτοῦ τεθειμένοις εἰς τὴν ὑψηλὴν ταύτην σκοπιάν, καὶ τῷ ὕψει ἀνάλογον ἐχούσῃ τὸν κίνδυνον. Δοκῶ μοι, τέκνον εὐσεβέστατον, κἂν τέως τῷ ἐπικήρῳ

До същия

Ако и да сме често писали, оплаквайки общите нещастия, които постигат българите и ромеите, сине мой възлюбени и велеславни, ако и да сме често умолявали и постоянно сме отправяли увещания, обаче моите думи не са достигали до твоя слух. Ти си хвърлял писмата ми на земята и не те е трогвала нито старостта на смирения и грешен баща, нито старата дружба, нито величието на духовния сан, който ние, ако и недостойни, устояхме да носим, нито даже онова твое важно дело, за което ние се застъпваме, т. е. любовта, мирът и прекратяване на кръвопролитието и изтреблението на християните. Обаче, чедо наше, ти покрай другата си добродетел, като изучаваш божествените слова, твърде добре знаеш онова, което господ е казал на учениците си: „Който презира вас, той мене презира“; а пък приемници на неговите ученици оттогава и до днешен ден по изволение божие сме ние, непотребните. Но ако и многократно да те умолявах напусто за това важно и спасително за ромеи и българи дело, [сега] какво да правя? Отново съм принуден да моля,[1] тъй като съм поставен на този чин, за да бъда посредник на мира, за да обединя с всички сили разединените, за да следя за съблазните и козните на врага и да възвестявам на ония, които се поддават [на козните], вредата, която произтича от това.

Горко ми, ако не мисля тъй, ако не правя това, и ако не проявявам постоянна грижа! Аз не се боя от заплахата, с която бог и създателят заплашва възведените от него на този висок чин. Мене ми се струва, чедо мое преблагочестиво, че аз, ако и да пребивавам в този скоро-

[1] През 921 г. българите отново навлезли в пределите на Византия и стигнали до Катасирти. Известието за това нападение на българите накарало византийците да вземат мерки за отблъсването им. Била изпратена войска към град Термопол, а патриарх Николай Мистик, за да спре българите, написал настоящото писмо на Симеон. Това писмо е било писано през пролетта на 921 г. Вж. *Златарски*, Писмата ..., СбНУК, XI, стр. 51—54. — *Същият*, История, I, 2, стр. 416—422.

τούτῳ βίῳ συναναστρέφομαι, τῷ ἐκεῖθεν παρίστασθαι κριτηρίῳ, καὶ τοὺς λόγους ἐξαπαιτεῖσθαι τῆς διακονίας ἣν διακονεῖν προσετάχθημεν· καὶ τὴν φοβερὰν ἐκείνην καταδίκην τρέμω καὶ ἀπαραίτητον, ἥτις ἐκδέχεται τοὺς ῥαθυμότερον πρὸς τὴν εἰρήνην συνάγοντας τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν τοὺς ὑπὸ τοῦ πονηροῦ δαίμονος εἰς τὸ ἐχθραίνειν ἀπενεχθέντας. Διὰ τοῦτο καὶ νῦν ὀδυρόμενος γράφω, διὰ τοῦτο πάλιν τῆς πρὸς σὲ δεήσεως ἐπιλαμβάνομαι. Καὶ γάρ, οἴμοι! τὰ μέλλοντα πάλιν Χριστιανοῖς ἀπαντᾶν μικροῦ τοῖς ὀφθαλμοῖς θεωρῶ, καὶ συγκέχυμαι ὅλος ὑπὸ τοῦ ἀπευκταίου ἐκείνου θεάματος καὶ τῶν σκυθρωπῶν πραγμάτων, ἃ εὔχομαι πρὶν ἰδεῖν, τῆς παρούσης ζωῆς ἐξελθεῖν. Καὶ γὰρ καὶ τὸ ἑνὸς ἀνθρώπου μόνον σφαγὴν ἰδεῖν, ὅστις ἂν ᾖ ὁ ὑποπίπτων τῇ σφαγῇ, ἐλεεινὸν θέαμα. Πῶς γὰρ οὐκ ἐλεεινὸν ἄνθρωπος ὑπ᾿ ἀνθρώπου σφαζόμενος τοῦ τῆς αὐτῆς μετέχοντος πλάσεως τοῦ τελοῦντος ὑπὸ αὐτὴν φύσιν, τοῦ ἐκ τοῦ αὐτοῦ πηλοῦ γεγονότος, τοῦ τὸν αὐτὸν κεκτημένου πλάστην καὶ χορηγὸν τῆς παρούσης ζωῆς, καὶ συνάγοντα πάλιν, ὅταν ἐκείνῳ δοκῇ ἐξ ἴσου τὸ πλάσμα πρὸς τὴν ἐκεῖθεν ξωήν; Ὤταν δὲ οἱ σφάζοντες καὶ σφαζόμενοι οὐ μόνον καθ᾿ ὃν εἴπομεν λόγον ἔχουσι κοινωνίαν, ἀλλὰ καὶ πατέρες τυγχάνουσι καὶ τέκνα καὶ ἀδελφοί, καὶ δὴ καὶ κληρονομία τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, τοῦ τὸ αἷμα τῆς ἁγίας αὐτοῦ πλευρᾶς τὸ ἀσύγκριτον τοῦτο τίμημα δεδωκότος, ἵνα ἡμᾶς ἐξωνήσηται καὶ κλῆρον οἰκεῖον ἀποδείξῃ, ὅταν οὗτοι κατ᾿ ἀλλήλων ὁπλίζωνται, ὅταν τὴν γῆν καὶ τὰς χεῖρας μιαίνωσι ταῖς σφαγαῖς, τί ἂν τις εἴποι; Ποῖος Ἱερεμίας θρηνήσει τὰ τοιαῦτα πάθη; Ποῖα ἐξισωθήσεται δάκρυα τῇ οὕτω χαλεπῇ συμφορᾷ;

Ταῦτα καί, πάλιν φημί, κινεῖ με πρὸς τὸ γράφειν καὶ δυσωπεῖν, ὅτι σπαράσσομαι τὴν ψυχήν, τῶν ἐσομένων πραγμάτων ἐνθυμούμενος τὴν ἀπάντησιν· καὶ οὐ δύναμαι σιωπᾶν, οὐδ᾿ ἐν ἠρεμίᾳ διατελεῖν. Πάλιν γὰρ στρατοπέδων συγκίνησις, καὶ πανταχόθεν ἐκστρατεία, καὶ λαοῦ ἀναριθμήτου συνέλευσις· οὖν οὐκ οἶδα ποία ὑποδέξεται χώρα, ἢ τίς χωρήσει τόπος εἰς ἓν συνεληλυθότας. Εἶτα ἐπὶ πᾶσι τούτοις οὐδεὶς ἄλλος ὁ στρατηγῶν, οὐκ ἐξηγούμενος τοῦ τοσούτου πλήθους, ἀλλ᾿ αὐτὸς ὁ βασιλεὺς μετὰ πάσης τῆς ἑαυτοῦ δορυφορίας. Αὐτὸς γὰρ στρατηγὸς τοῦ πολέμου, αὐτὸς ἐξηγεῖται τῶν στρατοπέδων, αὐτὸς ἀναλαμβάνει τὰ ὅπλα καὶ συστρατιώτης ἅμα καὶ συναγωνιστὴς καὶ ἀγωνοθέτης καθίσταται. Τοιαύτης οὖν γιγνομένης τῆς παρασκευῆς, τοιαύτης τῆς συγκινήσεως, οὕτω μυριολέκτου

преходен живот, стоя пред отвъдния съд и че от мене се иска отчет за службата, която ние сме били назначени да изпълняваме. Аз се боя от неговата страшна и неумолима присъда, която очаква ония, които много безгрижно се отнасят към мира на Христа и бога наш и са вмъкнати във вражда от лукавия демон. Затова и сега със сълзи пиша, затова отново се обръщам към тебе с молба. И наистина — горко ми! — аз виждам като че с очи онова, което ще постигне християните, и цялото ми същество се възмущава от онова омразно зрелище и ония ужасни дела; преди да ги видя, аз бих желал да се махна от този живот, тъй като убиването дори на един само човек, който и да бъде убитият, представя жално зрелище. Как да не е жално човек да се убива от човек, който представя същото творение, има същата природа, сътворени са от една и съща пръст и имат един и същ създател и в този живот един и същ ръководител, който, щом му бъде угодно, ще призове всичките си творения към отвъдния живот? Но когато пък убиващите и убиваните не само, както вече е казано, имат обща връзка, но още биват бащи, деца, братя, с една реч наследие на Христа и бога наш, който чрез кръвта от своите свети ребра ни е дал тази несравнена чест, за да ни изкупи и да ни направи свое наследие, когато те се въоръжават едни срещу други и оскверняват земята и ръцете си с убийства, то какво тогава може да каже някой? Какъв Еремия ще оплаче тези бедствия? Какви сълзи ще се сравнят с това ужасно нещастие?

Ето, повтарям, какво ме кара да ти пиша и да те моля; тъй като душата ми се терзае, като предчувствувам изхода на предстоящите събития, и аз не мога да мълча, нито да бъда спокоен. Понеже пак се начева движение на войски, отвсякъде тръгват на поход и се събират безбройни войски. Аз не зная коя страна ще ги приеме или кое място ще позволи да се съберат на едно място! После началствува и предводителствува това множество не някой друг, а сам императорът с всичката си свита. Той сам е главнокомандуващ във войната, сам началствува войските, сам се хваща за оръжие и заедно с това е и войн, и сподвижник, и разпоредител на сражението. Когато става такова приготовление, такова раздвижване и се събира такава

στρατιᾶς ἀφορμώσης, τί δεῖ λογίζεσθαι ἡμᾶς; ποταπὴν ἔχειν τὴν ψυχήν; Οἶδα μὲν οὖν, τέκνον ἡμῶν, ὡς καὶ ἡ σὴ ἐπίσταται σύνεσις, ὅτι ἔστιν ὡρισμένος ὁ πόλεμος, οὐδ' ἐπίδηλόν ἐστι μεθ' ὧν ἡ νίκη γενήσεται, ἀλλ' ἐν ἀδήλοις κεῖται τὸ τέλος. Ἀλλὰ τοῦτο οὐκ ἄδηλον, κἄν τε ὑπὸ Ῥωμαϊκῆς μαχαίρας τὸ Βουλγαρικὸν ἀναλωθήσεται, κἄν τε ὑπὸ τῆς τῶν Βουλγάρων Ῥωμαῖοι κατατμηθήσονται Χριστιανικὰ αἵματα ὑπὸ Χριστιανῶν χέεται, καὶ γῆ τοῖς Χριστιανῶν αἵμασι μολύνεται, καὶ ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, οὗ λαὸς ὑμεῖς τε καὶ οὗτοι περιούσιος καὶ τέκνα καὶ κληρονομία, ἐπὶ τῇ τῶν σφαζομένων ὀδυνήσεται ἀπωλείᾳ. Ἢ οὐ τοῦτο νομίζεις ὅτι μεγίστη ὀδύνη τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν, ἄν τε Βούλγαροι ἄν τε Ῥωμαῖοι ἔργον μαχαίρας γενήσωνται; Καὶ τίς ὅλως εἰς ἄγνοιαν τούτου καθίσταται; Τίς οὐχὶ συνομολογήσει τὴν κατ' ἀλλήλων ἐπανάστασιν τῶν Χριστιανῶν διὰ μέσου τῶν φιλανθρώπων σπλάγχνων τοῦ Σωτῆρος ἡμῶν τὴν πληγὴν διελαύνειν;

Λάβωμεν εἰκόνα πατρὸς πολυπαιδίᾳ χαίροντος, εἶτα ἐξαίφνης τῆς κατ' ἀλλήλων τῶν παίδων ἐπαναστάσεως. Πῶς οὕτω διάκειται, ὅταν, ἀντὶ τοῦ εἰρηνεύειν, ἀντὶ τοῦ ὁμονοεῖν τὰ ἑαυτοῦ τέκνα, βλέπῃ ἔχθραν ἀλλαξαμένους, καὶ κατὰ τῆς ἀλλήλων σφαγῆς τὰ ἑαυτῶν ξίφη βάπτοντας; Οὐ μεταβαλεῖ τὴν χαρὰν εἰς θρήνους; οὐχὶ κοπητὸν μὴ δυνάμενον ῥηθῆναι λόγῳ ποιήσεται; οὐ χανεῖν ἑαυτῷ τὴν γῆν εὔξεται μᾶλλον ἢ βλέπειν τὸν ἥλιον; Εἶτα πατέρες μέν, οἵ μηδένα κόπον εἰς τὴν ἡμῶν κατεβάλοντο γένεσιν, ἃ εἶπον, ἐξ ἀνάγκης ὀφθήσονται πάσχοντες, ὅταν ὁρῶσι τὰ τέκνα πόλεμον πρὸς ἀλλήλους ἀραμένους, ὁ δὲ Χριστὸς καὶ Θεὸς ἡμῶν, ὅς, ἵνα κτήσηται ἡμᾶς, ἵνα υἱοποιήσῃ, τῶν πατρικῶν ἑαυτὸν ἐκένωσε κόλπων, καὶ σαρκὸς μετέσχε καὶ αἵματος παραπλησίως ἡμῖν, καὶ σταυρὸν ὑπέστη καὶ θάνατον, ἵνα υἱοὺς ἀπεργάσηται, ὁρῶν τὰ οἰκεῖα τέκνα, Βουλγάρους φημὶ καὶ Ῥωμαίους, οὕτω κατ' ἀλλήλων ἐκμεμηνότας, καὶ ἐπιλελησμένους μὲν τοῦ τοιούτου Πατρὸς καὶ τῆς υἱότητος, ἀντὶ δὲ τῆς ἀδελφικῆς σχέσεως εἰς θηριώδη καὶ ἀνήμερον διάθεσιν καταστάντας, οὐ μᾶλλον ἀσυγκρίτους ἔσται φέρων τὰς ὀδύνας; οὐ πολλῷ κεντεῖται δριμυτέρῳ ἀλγήματι; Ἔχει πολλὴν εὐπορίαν ὁ λόγος, υἱέ μου ποθεινότατε καὶ φίλε, καὶ εἴ τι ἄλλο οἰκειότερον ὄνομα καὶ γλυκύτερον ἐν ἀνθρώ-

многохилядна армия, то за какво ние трябва да помислим и какво душевно настроение трябва да имаме? И тъй аз зная, чедо наше, както добре е известно и на твоя разум, че изходът на войната не е определен, нито е известно чия ще бъде победата, а също и краят ѝ не е известен. Обаче известно е, че или българската войска ще бъде изтребена от ромейския меч, или пък ромеи ще бъдат изсечени от българския меч. Във всеки случай християнска кръв ще се пролива от християни; земята ще бъде опетнена от християнска кръв и Христос и бог наш, чийто народ, чеда и наследие сте както вие, така и ние, ще бъде дълбоко наскърбен от гибелта на убитите. Или ти не помисляш, че много голяма ще бъде скръбта на Христа и бога наш, ако българите или ромеите станат жертва на меча? Кой изобщо не знае за това? Кой няма да се съгласи, че повдигането на християните едни срещу други нанася силен удар на човеколюбивото сърце на нашия спасител?

Нека вземем за пример баща, който се радва на много деца, но ето тези синове изведнаж въстават едни срещу други. Как може той да остане в такова положение, когато вместо мир и съгласие между децата си вижда, че тях ги разделя вражда и че обагрят мечовете си с братска кръв? Няма ли да обърне радостта си в плач? Нима него няма да го обземе неизказана скръб? Нима той няма да пожелае по-скоро земята да го погълне, отколкото да гледа слънцето? И тъй бащите, които не са понесли никакво страдание при нашето раждане, по необходимост ще започнат да страдат, както казах, когато видят, че децата им са повдигнали война едни срещу други. А Христос и бог наш, който, за да ни придобие и да ни осинови, остави отческото си лоно, прие плът и кръв подобно на нас и претърпя кръст и смърт, за да ни направи [свои] синове, нима няма да търпи несравнено по-големи скърби, като вижда, че собствените му деца, сиреч българите и ромеите, тъй свирепствуват едни срещу други, че са забравили такъв един баща и синовния си дълг, и наместо да се държат като братя, са преминали към зверски и груби отношения? Нима той не понася несравнено по-големи страдания? Нима не се уязвява от много поголяма болка? Въжделени ми сине и приятелю — и с какво друго по-подходящо

ποις ἐκ τῶν ἀνθρωπίνων προσφέρειν σοι τὴν παραίνεσιν, εἰς τὸ συνιδεῖν ὡς τοιαῦτα πράττομεν, κατ᾽ ἀλλήλων τὰ ὅπλα κινοῦντες, οἷα πᾶς ἄνθρωπος τίθησιν εἰς ἀρὰν, καὶ τοὺς τῶν κακῶν τούτων ἐργάτας ἀλάστορας ἥγηνται. Τίς γὰρ φρονήσει κοσμούμενος, τίς ἐπιστάμενος τὴν φύσιν, τίς γνωρίζων τὸν Πλάστην, τίς ἁπλῶς ἀνθρωπίνης φύσεως ὑπάρχων καὶ λογισμοὺς φέρων ἀνθρωπίνους, ὁρῶν τοὺς τῆς αὐτῆς καὶ μιᾶς πίστεως ὄντας, τὸν αὐτὸν Θεὸν σεβομένους, ὅπλα κατ᾽ ἀλλήλων ἐπαίροντας, ἐῶ γὰρ νῦν λέγειν τέκνα πρὸς πατέρας, πατέρας πρὸς τέκνα, καὶ ἀδελφοὺς ἀδελφοῖς πολεμοῦντας, οὐ σκυθρωπὴν ἀναλαμβάνει διάθεσιν, καὶ πάσας ἀρὰς ἀφίησι κατὰ τῶν οὕτως εἰς ἀπάνθρωπον προαίρεσιν ἐλασάντων.

Ἔχει μὲν οὖν, ὡς εἶπον, ἐκ τῶν κάτω ἀνθρωπίνων πολλὴν ὁ λόγος παράκλησιν εἰς τὸ λῆξαι μὲν ὑμᾶς τῶν σφαγῶν καὶ τῶν πολέμων, ἐπιστραφῆναι δὲ πρὸς τὴν σωτήριον καὶ θείαν εἰρήνην. Ἀλλὰ σύ μοι, τέκνον ἐμὸν, κατάλειπε τὰ κάτω καὶ τὰ ἀνθρώπινα, καὶ τὰς ἐκ τούτων παραινέσεις καὶ τοὺς λόγους, καὶ τὸ σὸν ὄμμα τῆς ὀπτικωτάτης ψυχῆς ἔπαρον πρὸς τὸν οὐρανὸν καὶ κατάστηθι πρὸς ἀναθεώρησιν τῶν ἁγίων δυνάμεων, ὅσαι τῷ Χριστῷ παρεστήκασιν, ὅτι καὶ αὐταὶ σκυθρωπάζουσι, καὶ εἰκότως· ὁρῶσαι γὰρ τὸν Δεσπότην ὀδυνώμενον ἐπὶ τῇ ἀπωλείᾳ τοῦ λαοῦ αὐτοῦ, λαὸς γὰρ ἐκείνου ὑμεῖς τε καὶ ἡμεῖς ἐπὶ τῇ ἀπωλείᾳ τῶν τέκνων καὶ ἀδελφῶν, καὶ ὡς πατὴρ τάξιν ἔθετο τέκνων, καὶ ὡς ἀδελφοὺς συγκληρονόμους παρέλαβεν, εἰς πεῖραν τοῦ τοιούτου πάθους καθίστανται. Τί λέγεις, οὕτω μέχρις οὐρανοῦ τῶν ἡμετέρων ἀναβαινόντων κακῶν, οἷς ὁ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος διάβολος Ῥωμαίους ἐφιλονείκησε καὶ Βουλγάρους περιβαλεῖν; Οὐ λαμβάνομεν λογισμὸν τὸν πρέποντα Χριστιανοῖς; Οὐκ ἐπιστρεφόμεθα πρὸς ἑαυτούς; Οὐκ ἐννοοῦμεν τὴν τοῦ πονηροῦ κακομηχανίαν, δι᾽ ἧς λυμαίνεται ἡμῖν, καὶ πρὸς ἐπανόρθωσιν τῶν οἰκείων κακῶν ἀνανήψομεν;

Ἐβουλόμην ἐπὶ πλέον ἐκτείνειν τὸ γράμμα· καὶ γὰρ πέφυκέ πως ὀδυνωμένη καρδία τῇ μακροτέρᾳ διεξόδῳ τῶν λόγων ὥσπερ ἀναπνεῖν καὶ κουφίζεσθαι τοῦ πιέζοντος βάρους· ἀλλὰ τοῦ λόγου παραστήσαντος ὡς καὶ μέχρι τῶν οὐρανῶν αἱ μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἔφθασαν συμφοραὶ, ἔγνων τοῦ λόγου τὸ μῆκος

и по-приятно за човеците име [да те наречем], — словото има голяма възможност да те увещае чрез човешките дела, за да съзнаеш, че ние, като вдигаме оръжие едни срещу други, извършваме такива дела, които всеки човек предава на проклятие и счита за нечестивци ония, които извършват такива злини. Защото кой [човек], надарен с разум, който знае природата и познава създателя, който просто има човешка природа и човешки понятия, като вижда, че хора от една и съща вяра, които почитат същия бог, повдигат оръжие едни срещу други — аз сега няма да говоря за деца, които воюват против бащите си, бащи — срещу децата си, братя — срещу братята си, — кой няма да бъде в мрачно разположение и няма да отправи всякакви клетви против ония, които са дошли до такива безчовечни решения?

И тъй, както вече казах, словото може да приведе от земните човешки дела много увещания да прекратите убийствата и войните и да се обърнете пак към спасителния и божествен мир. Но ти, чедо мое, остави земните и човешките дела и ония примери и наставления, които произтичат от тях; обърни окото на проницателната си душа към небето и почни да съзерцаваш светлите сили, които стоят пред Христа, за да видиш, че и те самите се наскърбяват, и то с право, тъй като те виждат, че господ скърби за загиването на своя народ (а негов народ сме ние и вие), за загиването на децата и братята (като баща той ни е нарекъл свои деца и като братя ни е взел за сънаследници) — естествено те изпитват същата скръб. Какво ще кажем, когато достигнат по този начин до небето всичките тези наши бедствия, на които изначалният човекоубиец — дяволът се е стараел да подхвърли ромеи и българи? Няма ли и ние да разсъждаваме, както подобава на християни? Няма ли да се осъзнаем? Нима не схващаме зломислието на лукавия, с което той ни причинява вреда, няма ли да се стремим, за да поправим собствените си злини?

Аз бих пожелал още повече да продължа писмото си, защото опечаленото ми сърце при по-продължително течение на мислите сякаш че си отдъхва и се облекчава от потискащото бреме; но понеже стана дума за това, че нещастията на ромеи и българи са достигнали до небето, реших да съкратя размера на

ἐπισχεῖν. Τοῦτο μόνον φημί, τοῦτο παρακαλῶ, τοῦτο δυσωπῶ, δός μοι τὴν σὴν ἀκοήν, ἣν ἔδει καὶ ἀπ' ἀρχῆς ἡμῖν παρασχεῖν· οὐ γὰρ ἂν συνέβη τὰ τοιαῦτα χαλεπά· ἀλλ' εἰ καὶ μὴ πρότερον, ἀλλ' ἔν γε τῷ παρόντι δός μοι, καὶ πάλιν ἐρῶ, τὴν σήν, υἱέ μου ἐρασμιώτατε, ἀκοήν, καὶ δέξαι ταπεινοῦ πατρὸς βουλὴν καὶ εἰσήγησιν. Πεποίθαμεν ἐν Θεῷ ὡς οὐ μεταμεληθήσῃ τοῦτο ποιῶν· δέξαι ταπεινοῦ ἀρχιερέως δυσώπησιν ὑπὲρ τοῦ κοινοῦ δυσωποῦσαν συμφέροντος, καὶ περὶ μνήμης καὶ ὀνόματος τοῦ σὲ δοξάζειν ἐν γῇ καὶ ἐν οὐρανῷ μέλλοντος τὴν σπουδὴν ποιουμένου. Μὴ τὴν ἀναρίθμητον ταύτην στρατιὰν πάλιν προσπελάσαι τοῖς τῶν Βουλγάρων βουληθῇς ὁρίοις, μηδὲ γυμνῶσαι τὰ ὅπλα πατέρας πρὸς τέκνα, καὶ τέκνα πρὸς πατέρας, οὓς τὸ πανάγιον Πνεῦμα τῇ τοιαύτῃ συνῆψε σχέσει· μηδὲ τὴν στυγητὴν ἐκείνην ἡμέραν καὶ ὥραν θελήσωμεν ἰδεῖν, ἐν ᾗ τοῖς χριστιανῶν αἵμασι καὶ πάλιν ἡ γῆ μολυνθήσεται. Ὡς γὰρ ἄνωθεν εἴπομεν, εἰ γὰρ καὶ ἀμφιβάλλεται ἡ νίκη μεθ' ὧν στήσεται, ἀλλὰ τοῦτό γε οὐκ ἀμφίβολον, ὅτι αἵματι μυρίῳ ἡ γῆ φυραθήσεται, καὶ δάκρυα ὄμβρους νικῶντα Ῥωμαίων καὶ Βουλγάρων κατακλύσει τὰ πρόσωπα. Καί, τέκνον ἡμῶν, πείσθητι συμβουλῇ ταπεινοῦ γέροντος, οὐ μᾶλλον Ῥωμαίων ἢ Βουλγάρων τὴν σωτηρίαν ἐπιζητοῦντος, οὐδ' ἧττον φλεγομένου τὰ σπλάγχνα καὶ κηδομένου τῆς τῶν Βουλγάρων εὐζωΐας, καὶ εὐπαθείας ἢ τοῦ λαοῦ ὧν ἀρχιερατεύειν ἐλάχομεν, καὶ ὑπὲρ ὧν ταῖς φροντίσιν ἀδιαλείπτως ἐπαγρυπνοῦμεν.

Ἀλλὰ τὰ μὲν παρ' ἡμῶν ὑπὲρ τοῦ μὴ ὅπλα κινηθῆναι εἰς παράκλησιν καὶ δυσώπησιν τῆς σῆς ἐμφρονεστάτης εἰρημένα ψυχῆς τοσαῦτα. Πεποίθαμεν δὲ τῷ πάντων Βασιλεῖ καὶ Θεῷ, παρ' οὗ πᾶσα ἐξουσία καὶ ἀρχή, δι' οὗ ὁ αἰώνιος καταλέλυται πόλεμος, καὶ εἰρήνη τῷ κόσμῳ δεδώρηται, ὡς ἐκεῖνος τὰ λείποντα ἐν τῇ σῇ λαλήσει καρδίᾳ καὶ αὐτός σε δι' ἑαυτοῦ τὸ καλὸν τῆς εἰρήνης ἀναδιδάξει, καὶ πείσει πρὸς τὴν ἀρχαίαν κατάστασιν ἐπανελθεῖν, καὶ ἀγαπῆσαι μὲν ἐκείνην τὴν ζωὴν ἐφ' ἧς ἡμᾶς κατέστησε διὰ τῆς ἁγίας κολυμβήθρας, καὶ τῆς ἐν αὐτῇ ἀναγεννήσεως, ἑνώσας ὡς υἱοὺς πατράσι τῷ Ῥωμαίων γένει, μισῆσαι δὲ τὰ ἐκ τοῦ πονηροῦ ἐπεισελθόντα σκάνδαλα, καὶ ὅσα ἐκ τῶν τοιούτων σκανδάλων. Ἰδοὺ χρόνος ὅσος ὀλεθρίους Ῥωμαίους καὶ Βουλγάρους διέθηκε· τοσοῦτον δὲ καὶ ἔτι προσθείς, ἀποπαύσομαι· ὡς,

писмото си. За едно само ще кажа, за едно и ще моля, за едно умолявам: да ме изслушаш, което трябваше още отначало да сториш, и тогава не биха се случили такива злини. Ако не по-рано, то поне сега — пак ще кажа — изслушай ме, сине мой многолюбими, и приеми съвета и предложението на смирения си баща. Уповаваме се на бога, че ти няма да се разкайваш, ако направиш това. Приеми от смирения архиерей молбата, която се отнася до общата полза, понеже той се грижи за добрия спомен и името ти, та да се прославиш сега на земята и в бъдеще на небето. Не пожелавай тази неизброима армия пак да се приближи към границите на България, нито бащи да вдигнат оръжие срещу децата си, нито деца срещу бащите си, които всесветият дух е свързал с такова родство, нито да пожелаем да видим оня страшен ден и час, в който отново земята ще се опетни с християнска кръв. Защото, както вече по-горе казахме, още е съмнително чия ще бъде победата, във всеки случай несъмнено е това, че земята ще се смеси изобилно с кръв и потоци от сълзи ще потекат по лицата на ромеи и българи. Да, чедо наше, послушай съвета на смирения старец, който желае спасението на ромеите не повече, отколкото на българите и не по-малко се съкрушава в сърцето си и се грижи за благосъстоянието и спокойствието на българите, отколкото за народа, чийто архипастир сме и за който непрестанно бдим и се грижим.

Но всички тези неща казахме, за да убедим и измолим от твоята преблагоразумна душа да не се вдига оръжие. Уповавам се на царя на всичко и бога, от когото иде всичката власт и началство, от когото е прекъсната вечната война и мирът е даден на света, че той ще внуши на твоето сърце това, което не достига. Той сам ще те настави в благото на мира и ще те убеди да се върнеш пак към предишното положение и да обикнеш този живот, в който той ни постави чрез свещения купел и чрез възраждането в него, като ви съедини с ромеите като синове с бащи[1] и ви научи да мразите съблазните, внушавани от злия демон, и техните сетнини. Ето вече колко време се изтребват ромеи и българи. Като прибавя още това, ще свърша. Ако с божия по-

[1] Пак се намеква за покръстването на българите.

εἰρήνης σὺν Θεῷ γινομένης, ὃ ἂν βούλῃ Ῥωμαίους ἐπιζητεῖν ἀντὶ τῆς τῶν ὅπλων καταθέσεως, εἴτε φόρους εἴτε τι ἕτερον, δῆλον ἡμῖν ποίησον· μόνον φορητὸν ἔστω τὸ ζητούμενον, καὶ μὴ τῶν λίαν βαρυνόντων καὶ ὑπὲρ δύναμιν· καὶ πᾶσαν ποιήσομαι πρεσβείαν, πᾶσαν ἱκεσίαν, πᾶσαν μηχανὴν συγκινήσω πρὸς τὴν σὺν Θεῷ κυβερνῶσαντα Ῥωμαίων βασιλείαν τε καὶ ἐξουσίαν, μέχρις ἂν τὸ ζητούμενον παρ' ὑμῶν εἰς τέλος προέλθοι. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ τὸ μεσότοιχον τῆς ἔχθρας πόνοις καταλύσας οἰκείοις, ὁ τὰ διεστῶτα ἐξ αἰῶνος συνάψας, αὐτὸς καὶ νῦν τοὺς ἐπηρεία δαίμονος ἐκπεπολεμωμένους εἰς εἰρήνην καταστήσοι, καὶ τὴν ἐν Πνεύματι ἁγίῳ ἑνότητα. καὶ δοίη τῶν ἐκ ταύτης μὲν φυομένων ἀγαθῶν τε καὶ ἡδυνόντων τὴν ἀπόλαυσιν, ἀπαλλαγὴν δὲ τῶν ἐκ τῆς ἔχθρας καὶ τῶν σκανδάλων χαλεπῶν τε καὶ θλίψεων. (XVII, col. 113 B — 121 A)

мощ настане мир, то каквото и да поискаш от ромеите за прекъсването на войната — било дан или нещо друго, — съобщи ни. Само нека твоето искане бъде изпълнимо, а не твърде тежко и непосилно. Аз пък всякак ще ходатайствувам и всякак ще моля, ще употребя всяко средство пред царската държава с божия помощ, докато твоето искане не се изпълни. Богът на мира, който е разрушил със страданията си преградата на враждата и е съединил разделеното от векове, той нека доведе до мир и единство в светия дух вовлечените във война по подбуда на дявола. Нека той ни даде да се насладим от благата и сладостите на мира и да се освободим от бедствията и угнетенията — сетнини на враждата и съблазните.

16. *Ad eundem*

Τῷ αὐτῷ

Ἧκε πρὸς ἡμᾶς, τέκνον ἡμῶν ἠγαπημένον, ἧκεν, εἰ καὶ βραδύτερον, ἡ πληροφορία τῆς σῆς πρὸς ἡμᾶς ἀγάπης· οὕτως γὰρ ἐπληροφόρησας τὴν ἡμετέραν ταπείνωσιν, ὅτι σώζεις ἔτι διάθεσιν υἱοπρεπῆ πρὸς ἀχρεῖον μὲν πατέρα, ποθήσαντα δὲ τὸν υἱὸν πόθῳ ἀληθινῷ καὶ πνευματικῷ. Ἐγὼ μὲν γὰρ ὑπελάμβανον ἐν τῷ βραδύνειν τὸν ἀποκρισιάριον ἡμῶν ὡς ἔθου παρὰ φαῦλον ἡμᾶς, καὶ οὐκέτι σώζονται παρὰ σοὶ ἡ θερμὴ ἐκείνη ἀγάπη καὶ τοῦ πνεύματος ἡ στοργή. Ἀλλ' ὡς ἔοικεν, ἡμεῖς μὲν ἐπλανώμεθα, σὺ δέ, τέκνον μου γλυκύτατον, ἐφύλαττες παρὰ σεαυτῷ ἄσβεστον τῆς ἀγάπης τὴν λαμπάδα, καὶ νῦν ἔδειξας ὅτι σώζεται διὰ τῆς τοῦ γράμματος καὶ τῆς τοῦ ἀποκρισιαρίου ἀποστολῆς, καὶ ἤλεγξας τὴν ἡμετέραν ὑπόνοιαν. Καὶ χάριν ὁμολογῶ τῷ Θεῷ, τέκνον μου ἠγαπημένον, ὅτι ἐγὼ μὲν ἠλέγχθην πεσὼν εἰς τοιαύτην ὑπόνοιαν, σὺ δὲ τὸ λαμπρὸν τῆς σῆς ἀγάπης, ὅτε Θεὸς τὴν σὴν ἐκίνησε καρδίαν, ὥσπερ πάντοτε, καὶ νῦν διέδειξας. Ἀλλ' ἡ τοῦ σοῦ γράμματος ὑποδοχὴ οὕτω, τέκνον μου ἀγαπητόν, διέθηκεν ἡμᾶς, καὶ τοιαύτης γλυκύτητος κατέστησεν εἰς ἀπόλαυσιν.

Ἐκεῖνο δὲ οὐκ ἀποκρύψομεν πρὸς σέ, υἱέ μου ἀγαπητέ, ὅτι παρεμίγη καὶ λύπη τις τῇ τοῦ γράμματος ἡδονῇ, καὶ οὐκ ἀφῆκε τὴν ψυχὴν ἡμῶν χαίρειν ἐπὶ τῷ γράμματι καθαρῶς. Διὰ τί; Ὅτι ἐγράψαμεν τὴν εἰρηνικήν σου παρακαλοῦντες καρδίαν, παυθῆναι μὲν τὰ σκάνδαλα τοῦ πονηροῦ, ἀνακαινισθῆναι δὲ τὴν ἐξ ἀρχῆς εἰρήνην Ῥωμαίων καὶ Βουλγάρων. Καὶ οὐχ

До същия

Получихме най-после, любимо ни чедо, получихме, ако и малко късно, уверение в твоята любов към нас. По тоя начин ти напълно увери наше смирение, че още пазиш синовното чувство към немощния си баща, който обича сина си с истинска и духовна любов. Поради забавянето на нашия апокрисиарий аз предположих, че ти си се отнесъл с пренебрежение към нас и че няма вече в тебе предишната гореща обич и душевна привързаност. Но се оказа, че ние сме се заблудили и че ти, наше пресладко чедо, си запазил в себе си неугасено светилото на любовта и сега с изпращането на писмото и апокрисиария показа, че ти още я пазиш, и с това обори нашето подозрение. Изказваме благодарност богу, любимо ми чедо, загдето аз, който бях паднал в такова подозрение, бях опроверган, а пък ти, след като бог трогна сърцето ти, показа и сега, както винаги, силата на любовта си. Но получаването на твоето писмо, любимо ми чедо, толкова ни разчувствува и ни даде да вкусим от тази сладост.

Обаче аз няма да скрия от тебе, любезни ми сине, че край удоволствието от писмото ти се примеси и известна скръб и не позволи на душата ни искрено да се радва на писмото ти. Защо? Защото ние писахме, като призовавахме твоята миролюбива душа, да прекрати съблазните на лукавия и да възобнови първоначалния мир между ромеи и българи, и

ἁπλῶς οὕτως, ἀλλὰ δηλωθῆναι ἡμῖν παρὰ ὑμῶν θεοδωρήτου δόξης ἁπλῶς καὶ καθαρῶς τὰ πράγματα, δι᾽ ὧν προβήσεται ἡ εἰρήνη, καὶ ὥστε μὴ ἀμήχανον καὶ ἀδύνατον εἶναι τὴν αἴτησιν, ἀλλὰ τοιαύτην ἥτις καὶ Βουλγάρους ὠφελήσει, καὶ Ῥωμαίους οὐκ ἀπολέσει· σὺ δὲ, τέκνον ἡμῶν, καταλιπὼν τὰ περὶ τούτου γράφει, ἔγραψας, τοῦ ἐμοῦ γήρους κατειρωνευόμενος, ὡς οὐκ ἀδύνατα ἐπιζητεῖς· οὐδὲ γὰρ τῶν τεθνηκότων Βουλγάρων τὴν ἀνάστασιν ἐπιζητεῖς, ἀλλὰ ζητεῖς πράγματα, ὧν ἐστι δυνατὸν τὴν τελείωσιν προελθεῖν. Καὶ ταῦτα λέγων ἐκεῖνο ὑπέφαινες, τὸ τὸν ἤδη παρὰ Θεοῦ εἰς τὸν θρόνον ἀνηγμένον τῆς βασιλείας ἐκεῖθεν ἀναχωρεῖν. Καὶ τί τούτου ἀδυνατώτερον, τέκνον ἡμῶν; Πῶς ἔχει λόγον τὸν δικαιώμασιν οἷς οἶδεν ὁ Θεὸς τῆς μεγάλης αὐτοῦ κληρονομίας τὴν κυβέρνησιν λαχόντα τοῦτον ἐκστῆναι τῆς κυβερνήσεως; Μὴ, τέκνον ἐμὸν, μὴ κατειρωνεύου τῆς ἐμῆς πολιᾶς· ἐπίστασαι γὰρ καὶ χωρίς τῶν ἐμῶν λόγων, ὅτι ἀδύνατος αὕτη ἡ ἐπιζήτησις. Κατάλιπε οὖν ταύτην, καὶ μὴ ὡς δυνατὴν ἐπιτελεσθῆναι λογίζου· οὐδὲ γὰρ δυνατὸν οὐμενοῦν τοῦτο γενέσθαι· πρὸς ἄλλα δὲ μετάβηθι ἐξαιτήματα, ὅσα φύσιν ἔχει τὸ πέρας λαμβάνειν· οἷόν τι λέγω, χρυσοῦ ποσότητα, ἱματίων, τυχὸν δὲ καὶ γῆς τι μέρος. Τούτων, εἴ τίς σοι θεῖος λογισμὸς τῆς τοῦ Χριστοῦ εἰρήνης ἐμπεριστρέφεται, ὃ βούλει δῆλον κατάστησον ἡμῖν. Ἐγὼ λέγω, τέκνον ἐμὸν, τοῦτο εἶναι ἀντὶ παντὸς κέρδους, τοῦτο ἀντὶ πάσης προσκτήσεως, τὸ βουληθῆναι τὰς τῶν αἱμάτων ἀναστεῖλαι χύσεις· τί γὰρ τοιοῦτον πρὸς ἄνθρωπον Χριστιανὸν καὶ θεοφιλῆ, καὶ μάλιστα οἷος σὺ τυγχάνεις, τέκνον ἐμόν; τὸ καταπράξασθαι τοῦτο, καὶ κερδῆσαι ἀνακοπὴν τῶν σφαγῶν, ἀπόπαυσιν τῶν πολέμων, λῆξιν χύσεως αἱμάτων Χριστιανικῶν. Πλὴν ἔστω μετὰ τοῦ μεγάλου τούτου κέρδους καὶ ἀσυγκρίτου καὶ κέρδη ἕτερα προσγινόμενα, ὃ φθάσας εἶπον, χρυσίου ποσότητα, ἱματίων, ἢ καὶ γῆς τινος μέρους ἐπίδοσις, ὅση τυχὸν δυνατὴ καὶ ὑμᾶς ὠφελεῖν, καὶ Ῥωμαίοις μὴ ζημίαν ἐπάγειν ἀφόρητον. Ναὶ, τέκνον μου καὶ ἄνθρωπε τοῦ Θεοῦ, πρὸς τοιαύτην ἀπόβλεψον εἰρήνην, πρὸς τοιαύτην μετάθου γνώμην, καὶ ἄφες ἐκείνους τοὺς λογισμοὺς, οἳ μηδὲν συμβάλλονται πρὸς τὴν εἰρήνην, ἀλλὰ μᾶλλον ἐρεθίζουσι τοὺς πολέμους καὶ τὰς σφαγάς.

не току-тъй просто, но да ни се извести от вас, комуто бог е дарувал слава, просто и ясно условията, при които ще се сключи мирът, и то искането да не бъде трудно изпълнимо и невъзможно, но такова, което и на българите да принесе полза, и за ромеите да не бъде пагубно. Обаче ти, чедо наше, без да ми отговориш на това, написал си, като се надсмиваш на старостта ми, че не искаш нещо невъзможно. Защото не искаш възкресяването на умрелите българи, но искаш неща, изпълнението на които било възможно. Като казваш това, по-нататък даваш да се разбере, че онзи[1], който вече е от бога възведен на престола на империята, трябва да слезе оттам. А какво може да бъде, чедо мое, по-невъзможно от това? Как е възможно онзи, който по решение, известно само на бога, е получил управлението на неговото велико наследие, да остави управлението? Не, чедо мое, не се присмивай на белите ми коси, защото ти и без моите думи знаеш, че това искане е невъзможно. И тъй остави това искане и не мисли, че то може да бъде изпълнено, защото съвсем е невъзможно това да стане. Премини към други искания, които по своето естество могат да се изпълнят, като: известно количество злато и одежди и може би някаква част земя. Ако пък у тебе се яви някакъв друг план за мира Христов, съобщи ни за това, което ти желаеш. Аз казвам, чедо мое, че желанието да се прекратят кръвопролитията стои по-високо от всяка изгода, по-високо от всяка печалба. Защото какво значи за един християнин и за човек боголюбив, а особено за такъв, какъвто си ти сам, чедо мое, да направи това и да постигне да се прекратят убийствата, да спрат войните и да се прекъсне проливането на християнска кръв? Освен това нека се постигнат заедно с тази велика и несравнена изгода и други придобивки, както вече казах, а именно: известно количество злато и одежди или част земя като добавка, която и на вас може да принесе полза, и на ромеите няма да причини непоносима загуба. Да, чедо мое и човече божи, обърни погледите си към такъв мир, възприеми такова мнение и отхвърли ония мисли, които съвсем не водят към мир, а още повече възбуждат войни и убийства.

[1] Т. е. Роман Лакапин.

Ἐμνημόνευε τὸ γράμμα καὶ περὶ τῶν εὐνούχων ὡς ἐκεῖθεν ἡ τῶν κακῶν αἰτία· καὶ φανερὸν τοῦτο καὶ πᾶσιν ἐγνωσμένον καθέστηκε. Καὶ τί, τέκνον μου, πρὸς ἡμᾶς τὰ τῶν εὐνούχων; Ἐκεῖνοι μὲν κακῶς πεφρονηκότες συνετάραξαν καὶ συνέχεαν, ὥσπερ τὰ κοινὰ Ῥωμαίων πράγματα, οὕτω καὶ τὴν κοινὴν ἀγάπην καὶ ὁμόνοιαν Ῥωμαίων καὶ Βουλγάρων. Ἀλλ' οὐ χρὴ κληρονόμους ἡμᾶς εἶναι τῆς ἐκείνων κακίας, μᾶλλον δὲ ἃ κακῶς ἐξ ἀφροσύνης ἐκεῖνοι διέθηκαν, ταῦτα τήν τε σὴν φρόνησιν, καὶ τὴν τῶν Ῥωμαίων διάσκεψιν διορθώσασθαι. Ἐξεμάνησαν ἐκεῖνοι; Μὴ γένοιτο τὴν ἐκείνων μανίαν μιμεῖσθαι ἡμᾶς. Ἄδικα ἐκεῖνοι κατὰ σοῦ ἐμελέτησαν; Οὐκ ἀγνοεῖς, τέκνον ἡμῶν, ὡς ἐστράφη εἰς κεφαλὴν αὐτῶν ἡ ἀδικία αὐτῶν. Ἀρκέσθητι τῇ τοῦ Θεοῦ κρίσει, καὶ ἀπόδεξαι τὴν ἐκδίκησιν, ἣν ὁ Θεὸς ἐπ' αὐτοὺς κατεπράξατο, καὶ μὴ ἐπιμένῃς διὰ τὴν ἐκείνων ἄνοιαν ἢ μανίαν, εἰ βούλει, τὸν ἐκδικήσαντά σε παραλυπῶν. Ἢ οὐ νομίζεις, τέκνον ἡμῶν, παραλυπεῖν τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν τοσούτου φόνου ἐνεργηθέντος τοῦ περιουσίου αὐτοῦ λαοῦ, τῆς κληρονομίας αὐτοῦ, τοῦ Χριστιανῶν λέγω γένους τοῦ τε Βουλγαρικοῦ καὶ Ῥωμαϊκοῦ; ἢ οὐ λογίζῃ ἀλγεῖν τὸν φιλάνθρωπον ἐπὶ τῇ τοσαύτῃ τῶν ἀνθρώπων ἐρημίᾳ, ἐπὶ τοσούτων πόλεων, ἐπὶ τῷ πλήθει τῶν ἐκκλησιῶν, ἐπὶ τῷ πλήθει τῶν μοναστηρίων, ἐπὶ τῷ πάντων τούτων ἀφανισμῷ; Ναὶ οἶδα, τέκνον ἐμόν, ὡς οὐδέν σε διαλανθάνει τούτων· καλῶς οὖν ποιῶν καὶ ὅπερ ἐν τῷ σῷ γράμματι ἀπεμνημόνευσας, τὴν μίμησιν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν δεῖξον καὶ ἐνταῦθα παρὰ σοῦ τιμωμένην, καὶ ῥῖψον εἰς λήθην ὅσα παρὰ τῶν εὐνούχων λελύπησαι, καὶ γενοῦ σεαυτοῦ καὶ τῆς ἰδίας πραότητος καὶ τῆς εἰρηνικῆς καταστάσεως, καὶ στρέψον εἰς πένθος τῷ πονηρῷ δαίμονι, ὅσα ταῖς κοιναῖς δυστυχίαις Ῥωμαίων καὶ Βουλγάρων ἐπευφράνθη καὶ ἐξωρχήσατο· παυσάσθω τῶν ὅπλων ἡ κίνησις κατὰ τῶν ἀδελφῶν καὶ πατέρων.

В писмото си ти споменаваш още и за евнусите[1] като за причина на нещастията. Това е ясно и на всички е станало известно. Но какво отношение имат делата на евнусите, чедо мое, към нас? Те със своите зли помисли разбъркаха и смутиха както общите работи на ромеите[2], тъй и общата любов и съгласие между ромеи и българи. Обаче ние не трябва да бъдем наследници на тяхната злина, а, напротив, това, което те по своето неблагоразумие са извършили лошо, нека твоят ум и разсъдливостта на ромеите да го поправят. Безумствували ли са те? Нека ние не подражаваме на тяхното безумие. Нещо несправедливо ли са намислили те срещу тебе? Но ти твърде добре знаеш, чедо наше, че тяхната несправедливост се обърна върху главите им. Бъди доволен от божието решение, приеми наказанието, което бог им е наложил, и не чакай заради тяхната глупост, или ако искаш, заради тяхното безумие да оскърбиш оногова, който е отмъстил за тебе. Или ти не мислиш, чедо наше, че опечаляваш Христа и бога наш с такова избиване на неговия избран народ, на неговото наследие, сиреч на християнския род — българите и ромеите? Или не мислиш, че той, човеколюбецът, не страда за такова изтребление на хората, на толкова градове, на такова множество църкви, на множеството манастири, за унищожението на всичко това? Да, чедо мое, зная, че нищо от това не се укрива от тебе. И тъй, като постъпваш добре, както споменаваш в писмото си, подражавай и тук на Христа и бога наш, предай на забрава всичко онова, с което ти беше опечален от евнусите; дойди на себе си и се обърни към предишната си кротост и миролюбие; доведи в скръб лукавия демон, който се радваше и ликуваше от общите нещастия на ромеите и българите. Нека престане движението на оръжието против братя и бащи!

Εἴ τις οὖν ἔστι σοι λογισμὸς θεόθεν καὶ φρόνημα τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν τοῦ εἰρηνικοῦ καὶ ἀμάχου περὶ τοῦ τὴν εἰρήνην, ἣν διεσπάραξεν ὁ τῆς ἔχθρας γεννήτωρ διάβολος, πάλιν ἀνακαινισθῆναι, γράψον ἡμῖν ἁπλᾶ καὶ σαφῆ τὰ πράγματα δι' ὧν ἡ εἰρήνη Θεοῦ βουλομένου εἰς ἑαυτὴν ἐπανήξει· καὶ μὴ γράφῃς

И тъй, ако имаш някой план свише и желание от миролюбивия и невойнствения Христос и бог наш за подновяване на мира, който беше нарушен от дявола, родоначалника на враждата, напиши ни просто и ясно условията, при които мирът по волята божия ще бъде възстановен; и не пиши както по-рано за нищо съмнително

[1] Така тук се наричат привържениците на Зоя, които водели враждебна политика спрямо българите. [2] Т. е. управлението на ромейската държава.

οἷα γράφεις ἀμφίβολα καὶ ἀδύνατα, λέγω δὴ τὴν ἐκ τοῦ ὕψους τῆς βασιλείας κατάβασιν τοῦ παρὰ Θεοῦ πρὸς ταύτην ἀναβεβηκότος. Καὶ ἔτι, τέκνον ἡμῶν, ἄνθρωπον ἄξιον τῆς σῆς δόξης, ἀγαπῶντα εἰρήνην, ἀλήθειαν τιμῶντα ἐξαπόστειλον· δῆλον ὅτι καὶ ἐντεῦθεν ἀποστελλομένου ὁμοίου καὶ ἰσοτίμου ἀνδρὸς, δι' ὧν οἱ λόγοι τῆς εἰρήνης τρανῶς τῇ τε σῇ μεγαλοπρεπείᾳ καὶ τοῖς τῶν Ῥωμαίων βασιλεῦσι παραστήσονται. Καὶ τότε Θεοῦ εὐμενοῦς γινομένου, ὥς γε εἰ καὶ ἁμαρτωλοί, ἐλπίζομεν, ἡ εἰρήνη προβήσεται· ἐπεί, ὥς γε νῦν λόγοι ἀσαφεῖς καὶ ἀμφίβολοι ἀλλήλους δέχονται, οὐδὲν σωτήριον οὐδὲ κοινωφελὲς γενήσεται. Ἀλλ' εἰ μὲν ὅλως ἐνθύμιον εἰρήνης ἐν τῇ σῇ καρδίᾳ στρέφεις, ἀγαπητέ μου υἱέ, ἱκανὰ τὰ εἰρημένα· εἰ δ' ἅπαξ οὗτος ὁ λογισμὸς τὴν σὴν κατέχει καρδίαν, ὡς ἐν τῷ θρόνῳ τῆς Ῥωμαϊκῆς ἱδρυνθήσῃ βασιλείας, καὶ τοιαύτην ἔδοξας οὐκ οἶδα ὅθεν τὴν πληροφορίαν λαβεῖν, ὅτι τοῦτο ἔδοξε τῷ Θεῷ, καθὼς ἐκεῖνος οἶδε καὶ βούλεται ἀγαγεῖν εἰς πέρας, καὶ μὴ πολέμοις καὶ σφαγαῖς νόμιζε τυχεῖν τοῦ βουλήματος· ἃ γὰρ ὥρισται παρὰ Θεῷ, ἀμήχανον μὴ πρὸς πέρας ἐλθεῖν. Ἐκεῖνο οὖν προσδέχου ὅπερ νομίζεις παρ' αὐτοῦ ὡρίσθαι τὸ ὡρισμένον σοι παρασχεῖν. Καὶ τί χραίνεις αἵμασι τὴν γῆν καὶ τότε Χριστιανικοῖς; Τί πορθεῖς ἐκκλησίας Θεοῦ; Τί τἆλλα ἃ μηδὲ θέμις λέγειν ἡμᾶς, τέκνον ἡμῶν, ἐπιτελεῖσθαι ποιεῖς, δι' ὧν καὶ λύπην Θεῷ προξενεῖς, καὶ σεαυτὸν οὐκ ἔξω κρίματος καθιστᾷς; Τὸ ἐντεῦθεν προσκείσθω εὐχὴ τῶν διηνεκῶς ἡμῖν ἀναφερομένων Θεῷ· εἴης ἡμῖν ἐῤῥωμένος καὶ φρονῶν καὶ διανοούμενος, ὅσα πρὸς τὴν ἐξ ἀρχῆς ἐπανάγει σε θείαν εἰρήνην, τὴν διὰ τοῦ ἁγίου βαπτίσματος δεδομένην Ῥωμαίοις καὶ Βουλγάροις· καὶ ὅσα πρὸς πολέμους καὶ σφαγὰς ἐρεθίζει, ταῦτα σὺν τῷ πονηρῷ δαίμονι καὶ τούτων ἐργάτῃ τῆς σῆς ἀπελαύνων τιμίας καὶ φρονίμης ψυχῆς. (XVIII, col. 121 A—125 C)

и невъзможно, сиреч за свалянето от висотата на царската власт на онзи, който е от бог възкачен там. Още, чедо мое, изпрати ни достоен за славата ти човек, който обича мира и почита истината, като, разбира се, и оттук се изпрати подобен човек и също тъй почтен мъж. От тях ще бъдат ясно представени на твоето велелепие и на ромейските императори условията за мира. И тогава по милост божия ние, ако и грешни, се надяваме, че ще настане мир, защото, като се разменят неясни и двусмислени думи, нищо спасително, нито общополезно няма да се постигне. Но ако в твоето сърце има ясно желание за мир, любими ми сине, достатъчно е казаното. Ако ли пък веднаж сърцето ти е обвзето от мисълта да седнеш на престола на ромейското царство и си сметнал, че си получил — не зная откъде — уверение, че това е богу угодно, понеже той знае и желае да докара делото до края, то не мисли, че с войни и убийства ще достигнеш желанието си, защото това, което е определено от бога, не е възможно да не се осъществи. И тъй чакай това, което, както ти мислиш, е определено от него да ти се даде. И защо оскверняваш земята с кръв, и то християнска? Защо разрушаваш църквите божии? Защо правиш още много друго, което на нас, чедо наше, не е позволено да кажем и с което ти причиняваш на бога скръб, а себе си предаваш на осъждане? Към гореказаното нека бъде приложена и молитвата, която постоянно възнасяме към бога: да бъдеш здрав — да обмисляш и съзнаваш това, което те води към първоначалния божествен мир, даден на ромеи и българи чрез светото кръщение, и да изгониш от твоята честна и разумна душа всичко, което подбужда към войни и убийства заедно с лукавия демон — техния причинител.[1]

17. Ad eundem

Τῷ αὐτῷ

Τοῦ ἀποκρισιαρίου ἡμῶν, λέγομεν δὴ τοῦ ἀποσταλέντος μοναχοῦ παρὰ τῆς ἡμῶν ταπεινότητος, ἐπαναστρέψαντος, τέκνον ἡμῶν ἠγαπημένον, μετὰ τῶν σῶν γραμμάτων, εἰπόντος δὲ

До същия

Когато нашият апокрисиарий — аз говоря за изпратения от наше смирение монах — се върна назад, любимо ни чедо, с твоето писмо и ни предаде със собствените си уста това, което имаше да

[1] Това писмо е било написано към началото на лятото на 921 г. Вж. *Златарски*, Писмата ..., СбНУК, XII, стр. 125.

καὶ οἰκείᾳ γλώσσῃ, ὅσα ἡμῖν ἀπήγγειλεν, ἀντεγράφη πάλιν ὅσα καὶ οἱ λόγοι ἀπῄτουν, καὶ τὸ σὸν ἐπεζήτει γράμμα, καὶ ἀπεστάλη πρὸς τὴν ὑμῶν θεοτίμητον ἐξουσίαν διὰ τοῦ αὐτοῦ μοναχοῦ. Ἀλλ' ἐκεῖνος μέν, ὡς νομίζομεν, τὴν Βουλγαρίαν κατέλαβε, καὶ ἔστι διάγων ἐκεῖ· σοῦ δὲ πρὸς τὰ μέρη ταῦτα ἐξεληλυθότος, οὐκ οἴδαμεν πότε γενήσεται ἀμφοτέροις ἑνωθῆναι καὶ μαθεῖν τὴν ὑμῶν θεοτίμητον ἐξουσίαν τὰ γραφέντα σοι παρ' ἡμῶν καὶ δι' αὐτοῦ κομιζόμενα. Διὰ τοῦτο ἐδεήθημεν τοῦ παρόντος γράμματος, καὶ γράφομεν, τέκνον ἡμῶν, τὴν σὴν ὥσπερ καὶ πρότερον παρακαλοῦντες φρονίμην ψυχὴν παυθῆναι τὰς τῶν αἱμάτων χύσεις, σβεσθῆναι τῆς ἔχθρας τὴν πυρκαϊὰν, ἣν ἀπ' ἀρχῆς ἀνῆψεν ὁ τῆς ἔχθρας γεννήτωρ διάβολος, καὶ βραβευθῆναι πάλιν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων τὴν μακαρίαν εἰρήνην, τὴν δοθεῖσαν κλῆρον Χριστιανοῖς παρὰ Χριστοῦ τοῦ Θεοῦ καὶ Σωτῆρος ἡμῶν· καὶ γραφῆναι καὶ δηλωθῆναι ἡμῖν, εἴ γε παρακέκληταί σου ἡ θεοφιλὴς ψυχὴ πρὸς τὸν ἀνακαινισμὸν τῆς εἰρήνης, μὴ πάλιν ἐκεῖνα οἷα πρότερον ἐδηλοῦτο ἀδύνατα ὄντα καὶ ἀτέλεστα, ἀλλ' ὅσα δυνατὰ καὶ πρὸς τὸ τέλος ἐκβῆναι οὐκ ἀνεμπόδιστα.

Τί οὖν ἐστιν ὅ φημι; Μὴ δηλώσῃς, καταλιπέτω τὴν βασιλείαν ὁ πρὸς τὸν θρόνον ἀναβεβηκὼς τῆς βασιλείας, τοῦτο γὰρ ἀμήχανον· μὴ γράφε τοῦ δέξασθαί σε βασιλέα καὶ κύριον τοὺς ἄρχοντας τῆς Ῥωμαϊκῆς βασιλείας καὶ τὸν λαόν, ἀμήχανον γὰρ τοῦτο γενέσθαι, καὶ οὐδεὶς τοῦτον τὸν λόγον ἀνέχεται ἀκοαῖς παραδέξασθαι· ἀλλὰ γράψον χρυσίου λαβεῖν ποσότητα, ἱματίων, ἢ καὶ γῆς ἐπίδοσιν μέρους, ὅση δυνατὴ καὶ Βουλγάροις ὠφελεῖν, καὶ Ῥωμαίοις μὴ ἐπάγειν ζημίαν ἀφόρητον. Ναί, τέκνον μου καὶ ἄνθρωπε τοῦ Θεοῦ, πρὸς τοιαύτην ἀπόβλεψον εἰρήνην, πρὸς τοιαύτην μετάθου γνώμην· καὶ ἄφες τοὺς λογισμοὺς οἳ μηδὲν συμβάλλονται πρὸς τὴν εἰρήνην, ἀλλὰ μᾶλλον ἐρεθίζουσι πρὸς τοὺς πολέμους καὶ τὰς σφαγάς. Στήτωσαν οἱ στεναγμοὶ καὶ τὰ δάκρυα, ὅσα Ῥωμαίων καὶ Βουλγάρων μέχρι τοῦ παρόντος ἐξεκενώθη, οἴμοι τῶν ἐμῶν παθῶν! καὶ ἔτι διαμένει κενούμενα. Ναί, υἱέ μου ἠγαπημένε, καὶ τῶν φίλων ὁ φίλτατος· αἰδέσθητι τὴν διὰ χρόνου τοσούτου πρὸς σὲ γινομένην δέησιν ἡμῶν, δυσωπήθητι τὸν σπαραγμὸν τῆς καρδίας ἡμῶν, ὃς ἰδοὺ τέταρτον ἔτος νύκτα

ни съобщава, аз отново отговорих на исканията, предадени устно и в писмото ти, и изпратих писмо до вашата богочтима власт чрез същия монах. Той, както ние предполагаме, е пристигнал вече в България и там пребивава. Но понеже в това време ти вече беше тръгнал за тези места, то ние не знаем кога вие ще се срещнете и кога ще може вашата богочтима власт да прочете онова, което сме ти писали и е донесено от същия [монах]. Затова се наложи [да ти пишем] настоящото писмо[1] и ние пишем, чедо наше, като призоваваме, както и по-рано, благоразумната ти душа да прекрати кръвопролитието, да угаси огъня на враждата, запален отдавна от родоначалника на враждата — дявола, — и да утвърди отново между ромеи и българи щастливия мир, даден на християните в наследство от Христа, бога и спасителя наш. Да напишеш и ни известиш съгласява ли се твоята благочестива душа да възобнови мира, при това не с ония невъзможни и неизпълними условия, които бяха обявени [от тебе] по-рано, а с такива, които са възможни и безпрепятствено ще могат да бъдат изпълнени.

И тъй за какво аз говоря? Не казвай „нека остави царството онзи, който вече се е възкачил на царския престол“, понеже това е невъзможно. Недей писа управителите на ромейското царство и народът да те признаят за император и господар, защото това не може да стане и никой няма да се съгласи даже да изслуша подобна реч. Но пиши да получиш известно количество злато и одежди и да ти бъде отстъпена част земя, което и за българите може да бъде полезно, и на ромеите няма да причини непоносима загуба. Да, чедо мое и човече божи, погледни към такъв мир и се насочи към такова искане. Остави мислите, които нищо не допринасят за мира, а, напротив, подбуждат към война и убийства. Нека се прекратят стенанията и сълзите, които досега са проливали ромеи и българи — о, мои страдания! — и продължават да се проливат. Да, любими ми сине и най-любим от приятелите ми! Посрами се от нашата така продължителна просба, убой се от съкрушението на сърцето ни, което вече

[1] Тъй като Симеон тръгнал на поход и писмото (18-о) на патриарха не го сварило, то Н. Мистик написал веднага (пак през лятото на 921 г.) настоящото писмо. Вж. *Златарски*, Писмата . . . . СбНУК, XII, стр. 125. — *Същият*, История, I, 2, стр. 424 — 425.

καὶ ἡμέραν, μᾶλλον δὲ πᾶσαν ὥραν, οὐκ ἀνίησι διαξαίνων ἡμᾶς.

Γράφω ταῦτα, λάβε Θεὸν αὐτὸν μάρτυρα τῶν λεγομένων οὐκ ἔλαττον φροντίζων τῆς τῶν Βουλγάρων σωτηρίας καὶ τῆς σῆς τιμῆς ἢ Ῥωμαίων καὶ τῶν βασιλεύειν λαχόντων αὐτῶν. Εἴ τις οὖν ἔστι λογισμὸς τῆς σωτηρίου εἰρήνης, τέκνον ἡμῶν, γράψον ἡμῖν, ἁπλᾶ καὶ ἀναμφίβολα· καὶ πάντως, εἰ τούτου δεήσει, αὐτὸς ἐγὼ ἐλεύσομαι πρὸς ὑμᾶς, δηλονότι πρὸς Ἡράκλειαν ἐρχομένου σου, ἢ πρὸς Σιλυμβρίαν, καὶ περὶ τῆς εἰρήνης κοινολογήσομαι, καὶ σὺν Θεῷ εἰπεῖν, ὅσα δυνατά ἐστι ζητούντων ὑμῶν παρασχεθήσονται. Καὶ πάλιν ἀνακαινισθήσεται ἡ εἰρήνη, καὶ οἱ πατέρες πρὸς τὰ τέκνα, καὶ τὰ τέκνα πρὸς τοὺς πατέρας, ὥσπερ ἐστὶν ὀφειλόμενον, διατεθήσονται ἀπολαύοντες τῶν τῆς ἀγάπης καλῶν, καὶ ζωὴν ἀπηλλαγμένην ἔχοντες τῶν χαλεπωτάτων συμφορῶν, ἃς ἐξεγέννησεν ὁ τῆς ἔχθρας πατὴρ διάβολος, καὶ ἡ τῶν ἐκείνου σκανδάλων ὀλεθριωτάτη ἐπισπορά. Τὸ λοιπὸν εὐχὴ προσκείσθω ἡμῖν, ἣν προσφέρομεν διὰ παντὸς τῷ Θεῷ καὶ σοῦ ἀγνοοῦντος· εἴης ἡμῖν ἐῤῥωμένος, καὶ ὑπεράνω τῶν παγίδων τοῦ πονηροῦ διιπτάμενος, ὅσα κληρονόμον σε ἀναδείξει τῆς αἰωνίου καὶ βασιλείας καὶ ἀπολαύσεως, καὶ ἀκατάκριτον παραστήσει τῷ φρικτῷ βήματι τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν. (XIX, col. 125 C—128 D)

четвърта година денем и нощем и даже всеки час не престава да ни терзае.

Аз пиша това — нека сам бог бъде свидетел на казаното, — като се грижа не по-малко за спасението на българите и за твоята чест, отколкото за спасението на ромеите и честта на техните императори. И тъй, ако има в тебе мисъл за спасителния мир, чедо наше, напиши ни просто и недвусмислено. И, разбира се, ако е нужно, аз сам ще дойда при вас, именно когато ти пристигнеш в Хераклея или в Силимврия и сам ще поведа преговорите за мир[1] и ще кажа с помощта божия, че ще бъдат приети ония от вашите искания, които са възможни. И тогава ще бъде отново възстановен мирът и бащите към чедата и чедата към бащите ще се намират в такива именно отношения, в каквито подобава, като се наслаждават от благата на любовта и заживеят живот, свободен от ужасните бедствия, които са породени от бащата на враждата — дявола — и от най-губителния посев на неговите съблазни. Най-после нека прибавим молитвата, която ние постоянно възнасяме към бога, без дори да знаеш ти: да бъдеш здрав, да избягваш козните на дявола, за да те издигне той като наследник на вечното царство и блаженство и да те представи безукорен пред страшния съд на Христа и бога наш.

18. Ad eundem

Τῷ αὐτῷ

Ἤλπιζον, υἱέ μου δεδοξασμένε, τοῖς σοῖς γράμμασιν ἐντυγχάνων παραψυχὴν εὑρεῖν τοῦ σπαράσσοντος ἄλγους· ἀνέμενον ἥκειν μοι παραμύθιον τῆς διαξαινούσης με νύκτα καὶ ἡμέραν ὀδύνης. Ἐνεθυμούμην γὰρ ὅτι, καὶ εἰ μὴ πρότερον δι᾽ ὧν ἐγράψαμεν πολλάκις παρεκλήθη σου ἡ ψυχὴ, ἀλλά γε νῦν δι᾽ ὧν προεθυμήθην πρὸς σέ παραγενέσθαι, καὶ γήρους καταφρονῶν, καὶ ἀρθενείας, καὶ πόνων τῶν ἐκ τῆς ὁδοιπορίας, ὅτι παρακληθήσῃ καὶ προσδέξῃ με δυσωποῦντα καὶ οὐχ ὑπομενεῖς ἀποστρέψαι διακενῆς τὴν πρὸς σὲ θεποιημένην πορείαν· γενήσεται δὲ

До същия

Аз се надявах, сине мой прославен, като получа писмото ти, да намеря в него облекчение за страданието, което ме терзае. Очаквах да получа утешение за измъчващата ме денем и нощем печал. Мислех поне, че твоята душа се е трогнала ако не с това, за което често ти бях писал по-рано, то поне с това, че ние сме се решили сега да се явим при тебе, като пренебрегваме и старостта, и слабостта, и трудностите на пътуването; че ти ще склониш и ще ме приемеш като проситеи и няма да допуснеш да извърша напразно това пътуване при тебе, но, напротив, моето идване при тебе ще послужи, за

[1] Патриарх Николай Мистик смятал, че Симеон ще тръгне към Хераклея и Силимврия, и затова изявил желание да се срещнат, за да го склони да преговаря за мир. Той обаче се излъгал в предположенията си. Цар Симеон, преди да тръгне за Цариград, обсадил Одрин. Вж. *Златарски,* Писмата..., СбНУК, XII, стр. 127. *Същият,* История, 1, 2, стр. 425 — 426.

μᾶλλον ἡ πρὸς σὲ ἄφιξις ἡμῶν, ἀπόπαυσις τῶν τοῦ πονηροῦ δαίμονος σκανδάλων, ἃ ἐφιλονείκησε Ῥωμαίων καὶ Βουλγάρων μεταξὺ ἐμβαλεῖν. Ταῦτα δὲ ἤλπιζον οὐχ ἁπλῶς οὕτως, ἀλλὰ καὶ προηγουμένης αἰτίας εὐλόγου· ἐνεθυμούμην γὰρ κατ' ἐμαυτὸν ὅτι ἀπελεύσομαι πρέσβυς καὶ τὴν ἱκεσίαν φέρων, οὐ πρὸς ἄνθρωπον οἷοι πολλοὶ τῶν ἀνθρώπων, ἀλλὰ πρὸς ἄνθρωπον ἐκ Θεοῦ λαβόντα ἔθνους ἐξουσιάζειν, καὶ διὰ τοῦτο πολὺν ἐν συνέσει, πολὺν ἐν διανοήσει, καὶ εἰδότα κρίνειν καὶ τὴν ἡμετέραν παρουσίαν ὅση τίς ἐστιν· ὅτι, καὶ εἰ ἁμαρτωλοὶ, ἀλλ' οὖν ἀρχιερεῖς οἵου καὶ ὅσου λαοῦ, ὁποίας πόλεως, τῆς ἀρχιερατεύεθαι ὑφ' ἡμῖν λαχούσης, ἡλίκης ἐξουσίας πατὴρ, εἰ καὶ ἀνάξιος, προβέβλημαι, ἣν μόνην ἐπὶ γῆς ὁ Χριστὸς ἀντ' αὐτοῦ τῶν ἐπὶ γῆς ἔθετο ἐξουσιάζειν. Ἀλλ' ἐνενόουν ὅτι, πρὸς τοιοῦτον ἄνθρωπον μέλλων πρεσβεύειν, τελέσω τὴν πρεσβείαν, διαπράξομαι τὸ κοινῇ συμφέρον, καὶ ἀνασώσομαι τὴν εἰρήνην ἀπολωλυῖαν πρῶτον μὲν δαίμονος συσκευῇ ἔπειτα δὲ καὶ ἀνθρώπων κακοβουλίᾳ καὶ χαίρων ὑποστρέψω, φέρων μὲν τὴν εὐχαριστίαν Θεῷ, ἐκδιηγούμενος δὲ πᾶσι τὴν σὴν ἀρετὴν, καὶ μεγαλύνων τοῖς ἐπαίνοις αὐτὴν, εἴπερ τίς ἐστι λόγος ταπεινοῦ γέροντος καὶ ἀρχιερέως τοὺς σοὺς διεξιόντος ἐπαίνους· φέρων δὲ τι καὶ αὐτὸς ἐν μοίρᾳ κέρδους, ὃ πάντων κερδῶν ἐμοὶ τιμιώτατον, τὴν Ῥωμαίων καὶ Βουλγάρων ὡς τὸ ἀπ' ἀρχῆς ὁμόνοιαν καὶ εἰρήνην.

Νῦν δὲ οὐχὶ ταῦτά μοι τὸ σὸν ὑπισχνεῖται γράμμα, ἀλλ' ὅσον ἐκ τῶν ῥημάτων ἄλλα διδάσκομαι, ὅτι ματαιοπονήσω, ὅτι οὐδὲν ἐκτέλεσω τῶν δι' ἃ κοπιᾶν προαιροῦμαι, οὐδ' ἀπαντήσει μοι παρὰ σοῦ χάρις, οὐδὲ δυσωπηθήσῃ ὁ ἀγαπητός μου ὁ υἱὸς τὸ τοῦ πατρὸς γῆρας, οὐδὲ ταπεινοῦ ἀρχιερέως αἰδεσθήσῃ παρουσίαν, ἀλλ' ἡγήσῃ με τῶν ἄλλων ὅσοι πρὸς σὲ παραγεγόνασι πρέσβεις μηδὲν διαφέρειν. Εἶτα βουλόμενος οὕτω με δέχεσθαι, οὕτω με, τέκνον ἠγαπημένον, τὸν πατέρα, τὸν ἀρχιερέα, τὸν γέροντα τιμᾶν, προτρέπεις ἥκειν, παρα-

да се прекратят съблазните на лукавия демон, които той се е вече постарал да всели между ромеи и българи. На това аз се надявах не току-тъй, а защото имаше вече основателна причина. Мислех си, че ще отида като пратеник и проситец не при човек, каквито са повечето хора, а при такъв, който е получил от бога власт да управлява народ и поради това има много по-голям ум и разсъдък и знае да отсъди какво значение има нашето присъствие. Прочее аз, ако и грешник, но все пак архиерей на толкова голям и велик народ, на такъв един град[1], комуто се падна да има вас за архиерей, макар и недостоен, съм отреден да бъда баща на такава голяма власт, която единствено Христос е установил на земята, и да я изпълнявам вместо него над тия, които са на земята. Но аз предполагах, че възнамерявайки да отида като пратеник при такъв един човек, ще изпълня мисията си, ще постигна обща полза и ще възстановя мира, който беше унищожен най-напред от хитростта на демона, а после от безумието на хората. [Предполагах], че аз с радост ще се върна, като въздавам към бога благодарност, като прославям пред всички твоята добродетел и я възвеличавам с похвали, ако само думите на смирения старец и архиерей, който те хвали, имат значение, [надявах се] и аз да получа някаква печалба, която за мене е по-скъпа от всички печалби, а именно — предишното съгласие и мир между ромеи и българи.

Обаче сега нищо подобно не ми обещава писмото ти.[2] Напротив, доколкото научавам от думите ти, ти говориш съвсем друго, а именно, че аз напразно ще се трудя, че няма да постигна нищо от това, за което съм решил да се потрудя, че ти няма да проявиш към мене никаква благосклонност, че моят любим син няма да се съжали над старостта на баща си, нито ще се засрами от идването на смирения архиерей, но ще сметнеш, че аз по нищо не се отличавам от другите пратеници, които са идвали при тебе. После, като желаеш по такъв начин да ме приемеш, така, любимо ми чедо, да почетеш мене, бащата, архиерея и стареца,

[1] Сиреч Цариград. [2] Докато цар Симеон обсаждал Одрин, сърбите начело с княз Павел Бранович под влиянието на Византия се отметнали от съюза си с българите и започнали враждебни действия. Разгневен от политиката на византийското правителство, Симеон изпратил войска срещу сърбите и писал на Николай Мистик остро писмо, в което отхвърля молбите на патриарха за мир. Вж. *Златарски*, Писмата ..., СбНУК, XII, стр. 128, 134—135. — *Същият*, История, I, 2, стр. 426 — 428.

θαῤῥύνεις καταφρονῆσαι γήρους καὶ πόνων καὶ ταλαιπωρίας, ὅσα ἐκ τῆς ὁδοῦ ἡμῖν ἀπαντήσει; Τί πρὸς ταῦτα εἴπω; Τί διανοήσομαι; Τίς ποτε υἱὸς ὤφθη πρὸς πατέρα μηνύων Ἧκε πρὸς ἡμᾶς, ὦ πάτερ, ἵνα τοὺς σοὺς λόγους φαυλίσω; Ἐλθὲ, ἵνα μηδὲν ὧν ἐπιζητεῖς ἀνύσῃς, ἵνα πόνον ἀκερδῆ ὀφθείης ἀναδεξάμενος; Οὐκ ἤκουσα μέχρι καὶ σήμερον τοιούτους πέμποντα λόγους υἱόν. Καὶ πάλιν φημὶ, τέκνον ἡμῶν, ἄξια ταῦτα τῆς σῆς μεγαλονοίας, τῆς σῆς θαυμαζομένης φρονήσεως μηνύειν τῷ πατρὶ ὅτι Ταλαιπωρίαν ματαίαν ἀναλαβοῦ, πάτερ, καὶ ἧκε πρὸς τὸν υἱὸν, ἵνα κενὸς ὑποστρέφων τῶν σῶν ἐλπίδων, ὄνειδος εἴης ἅπασι τοῖς ταῦτα μανθάνουσι; Ἀφίημι γὰρ τέως τὸ σὸν, τέκνον ἡμῶν, οἷα οἱ πανταχοῦ γῆς ἄνθρωποι περὶ σοῦ ἐροῦσιν, ὅταν εἰς ἀκοὴν ταῦτα λάβωσιν· ἀλλὰ καὶ ὁ λόγος μεθ᾽ οὗ ἡμᾶς προσκαλῇ, καὶ πρὸς τὴν ὁδὸν παρορμᾷς, ὡς θαυμαστὸς καὶ λίαν ἐπαινετός. Λέγεις γὰρ ὡς οἱ ἀπόστολοι, τρέχοντες ἐπ᾽ ἀδήλοις καὶ τὸ ἐκβησόμενον οὐκ εἰδότες, ὅμως ἔτρεχον καὶ ἐκοπίων διὰ τὴν ἄνωθεν μισθαποδοσίαν.

все пак ме насърчаваш да дойда и ме караш да пренебрегна старост, трудности и бедствия, които ще ме сполетят по пътя. Какво да кажа на това? Какво да помисля? Где се е видяло син да съобщава на баща: „Ела при нас, татко, за да пренебрегна думите ти. Ела, за да не постигнеш нищо от онова, което искаш, и за да се покажеш, че си се нагърбил с безполезен труд?“ Аз не съм чул и досега син да се е обръщал [към баща] с подобни думи! Повтарям, чедо наше! Нима е достойно за твоя велик ум и за твоето удивително благоразумие да съобщаваш на баща си: „Отче, предприеми напразно тежък труд и дойди при сина си, за да се завърнеш излъган в надеждите си и да станеш за присмех на всички, които знаят това!“ Аз вече, чедо наше, не говоря за това, което се отнася до тебе, за това, което навсякъде ще кажат за тебе хората, когато чуят тези неща. Но колко е чудна и похвална речта ти, с която ти ме каниш и подбуждаш към пътуване! Понеже ти казваш, че и апостолите, ако и да са отивали в неизвестност и не са знаели за резултата на своето дело, все пак са ходили и страдали заради мъздовъздаяние свише.

Ἀγαπῶ τὴν παραίνεσιν, τέκνον μου ἀγαπητόν· καὶ γὰρ ἐξ ὧν λέγεις συνομολογεῖς, ὅτι καὶ ἡμεῖς κατὰ βούλησιν Θεοῦ, ὥσπερ ἐκεῖνοι, προθυμούμεθα κοπιᾷν. Πῶς γὰρ ἄλλως ἀποκείσεται ἡμῖν ὁ μισθὸς, εἰ μὴ κατὰ Θεοῦ βούλησιν ὁ κόπος ἡμῶν; Ὥσπερ γὰρ ἐκείνοις ἦν ὁ κόπος ἀρέσκων Θεῷ, διότι κατὰ τὸ θέλημα τούτου ἐκοπίων, καὶ παρ᾽ αὐτοῦ ἐλάμβανον τὸν μισθόν· οὕτω πάντως καὶ ὁ ἡμέτερος κόπος, εἰ μισθὸν ὑπὲρ αὐτοῦ λαμβάνομεν παρὰ Θεοῦ, καθὼς εὖ φρονῶν ὁμολογεῖς, κατὰ βούλησιν γίνεται Θεοῦ. Εἶτα οὐ φοβῇ τὸν κόπον ἡμῶν, ὃν ὁ Θεὸς ἀποδέχεται, ὡς κατὰ τὸ αὐτοῦ γινόμενον θέλημα; πῶς γὰρ ἄν, εἰ μὴ τοῦτο ἦν, τὸν ὑπὲρ αὐτοῦ ἐδίδου μισθόν; μὴ ἀποδεχόμενος σὺ, μηδὲ τιμῶν, ὥσπερ ἐστὶ πρέπον, καὶ παρέχων συγκατάθεσιν εἰρήνης δι᾽ ὧν κοπιῶμεν, ἀλλ᾽ ἀποστρέφεις κοπιῶντας διακενῆς. Καὶ πῶς ἔχει λόγον, Θεὸν μὲν ἀποδέχεσθαι τὴν ἐμὴν ταλαιπωρίαν, καὶ ἀντὶ ταύτης διδόναι δόσιν τῆς ἑαυτοῦ ἀγαθότητος, σὲ δὲ φιλόθεον ὑπάρχοντα, τέκνον ἡμῶν, μὴ τῷ θείῳ βουλήματι συντρέχειν, ἀλλὰ φρονεῖν ἐναντία; καὶ ὅνπερ ἐκεῖνος πόνον ἡμῶν, ὡς ὑπὲρ αὐτοῦ γινόμενον, ἄμισθον οὐκ ἐᾷ, σὲ τοῦτον ὡς φαῦλον παρορᾷν, καὶ οὐδενὸς ἄξιον λόγου νομί-

Мене ми се нрави този съвет, любезно ми чедо, защото с тези думи ти признаваш, че и ние по волята божия, както и апостолите, искаме да се мъчим. Че как ли инак ще ни бъде дадена награда, ако нашият труд не беше според божията воля? Защото ако техният труд е бил угоден богу, тъй като са се трудели по негова воля и от него са вземали награда, то и нашият труд, ако за него получим награда от бога, както ти благоразумно признаваш, става по божия воля. И наистина, не уважаваш ли нашия труд, който бог приема като ставащ по волята му? Защото как иначе той щеше да ни даде награда за него, ако не би било така? Ти пак не само не го приемаш, нито го уважаваш, както подобава, и не даваш съгласие за мира, за който ние се борим, но ни връщаш напразно, когато ние се трудим. Та и как може бог да приеме моя тежък труд и за него да ни дава като дар своята благодарност, а ти, чедо наше, който си боголюбив, да не се съгласяваш с божествената воля, но да мислиш противното? Докато той не оставя без награда нашия труд, който извършваме в негово име, ти го презираш като нещо празно и го

ζειν; Σκέψαι εἰ ἄξιον τοῦτο φιλοθέου ψυχῆς, καὶ οὐχ ἑτέρωθεν τοῦτο συνάγεται ἀλλ' ἢ ἐκ τῶν σῶν ἀληθῶς φρονίμων λόγων. Ἔφης γάρ, καὶ καλῶς ἔφης, ὡς τοῖς ἀποστόλοις ἐκ Θεοῦ ὁ μισθὸς ἐδίδοτο κοπιῶσι, κἂν πρὸς οὓς ἀπήεσαν ἐνίοτε μὴ πείθειν ἠδύναντο.

Ἀλλὰ τίνες οἱ μὴ πειθόμενοι, καὶ τοῦτο εἰπέ· πάντως ἐρεῖς, ὅτι ὅσοι μὴ ᾔδεισαν καὶ Θεοῦ βούλησιν εἶναι τὸν κόπον τῶν ἀποστόλων, οὐδ' ἀξίους αὐτοὺς ἡγοῦντο μισθαποδοσίας, ἀλλὰ μᾶλλον κολάσεως καὶ τιμωρίας· διὰ τοῦτο ἐδίωκον καὶ ἐτιμωροῦντο αὐτούς· ὁ δὲ ὁμολογῶν λήψεσθαι μισθὸν πάντως πρότερον ὁμολογεῖ ὅτι ἀποδέχεται κοπιῶντας ἡμᾶς ὁ Θεός, καὶ τούτου χάριν δίδωσι τὸν μισθόν· καὶ Θεὸς μὲν ἀποδέχεται τὴν ἐμὴν ταλαιπωρίαν, καὶ ἀνταμείβεται τῆς δικαίας κρίσεως αὐτοῦ τῇ μισθαποδοσίᾳ σὺ δὲ ἄνθρωπος ὢν οὐκ ἀποδέχῃ; Ὁ δεσπόζων οὐρανοῦ καὶ γῆς οὐκ ἀτιμάζει τὸν κόπον ἡμῶν· πῶς γάρ, εἰ ἀτιμάζει, δίδωσι τὸν μισθόν; Σὺ δέ, εἰ καὶ δεσπόζεις λαοῦ ὅσον ποτὲ καὶ δεσπόζεις, ἀλλά γε μετ' ὀλίγον γυμνὸς πάντων ἀνθρώπων παρίστασθαι μέλλων τῷ Δεσπότῃ τῶν ὅλων, παρ' οὐδὲν τίθῃς τὴν ἡμετέραν ταλαιπωρίαν; Καὶ ποῦ προσῆκον τοῦτό γε ἢ τῇ συνέσει σου, ἢ τῇ φιλοθεΐᾳ σου, ἢ ἄλλῃ βοωμένῃ τῶν τρόπων σου καταστάσει; Ταῦτα οὐκ ἀνατρέποντες λέγομεν τὸ σὸν πρόβλημα, τέκνον ἡμῶν, ἀλλ' ὑπομιμνήσκοντες καὶ διδόντες ἀφορμὴν φρονίμῳ Θεοῦ χάριτι ὄντι, φρονιμωτέρῳ γενέσθαι. Βούλομαί σε, υἱέ μου ἠγαπημένε, καὶ ἔτι τῷ λόγῳ προσαγαγεῖν σεαυτόν, καὶ ὥσπερ εἰ παρόντων ἡμῶν ἤκουες ἂν νουνεχῶς τῶν λεγομένων, οὕτω φυλάξαι τὸ νουνεχὲς τῷ λόγῳ. Πλὴν οὐκ ἀγνοεῖν οἰόμεθά σε, ἃ μέλλομεν γράφειν, μᾶλλον δὲ φέρομεν ὑπόληψιν ὡς ἐπίστασαι ταῦτα καὶ χωρὶς τῶν ἐμῶν λόγων, διότι σπουδαῖον ὄντα ὑπολαμβάνω, καὶ εἰς τὸ τὰς ἱστορίας ἀναλέγειν τῶν παλαιῶν τὴν αὐτὴν διασώζειν σπουδήν.

Ἀλλ' εἰ καὶ μὴ ἀγνοεῖς, ὅμως καὶ ταῦτα ὡς πρός εἰδότα ἐν ὑπομνήσεως τάξει προστίθημι. Ἐκράτει τῶν Ῥωμαϊκῶν σκήπτρων Ἀρκάδιος, καὶ πολὺς ἦν Γαϊνᾶς ἐκεῖνος ἀπείρῳ

смяташ за съвсем недостоен! Виж, достойно ли е това за една боголюбива душа и дали не произлиза от другаде, а не от твоите наистина благоразумни думи, понеже ти добре каза, че на апостолите бог е дал награда за трудовете им, макар понякога те да не са могли да убедят ония, при които са идвали.

Но кажи ми кого не са убедили те? Ти ще кажеш: всички ония, които не са знаели, че трудът им се извършва по божията воля, и са мислили, че апостолите са достойни не за мъздовъздаяние, а, напротив, за наказание и отмъщение. Затова са ги преследвали и наказвали. Но онзи, който признава, че ще се даде награда, предварително вече признава, че бог одобрява моята тежка работа и затова ми дава награда. И ако бог приема моя труд и ми въздава отплата според своето справедливо решение, нима ти, човек, не одобряваш? Повелителят на небето и земята не пренебрегва нашия труд, понеже ако би го пренебрегнал, то би ли давал награда? А ти, ако и да заповядваш на един народ, който ти е подчинен, но подир малко време, отделен от всичките хора, ще се представиш пред господаря на всичко, нима ти смяташ нашия труд за нищо? Как може да се съгласува всичко това с твоя ум, благочестие или другите прославени качества на твоя характер? Всичко това ние говорим с цел не за да те отклоним от предначертанието ти, чедо наше, но за да спомним и дадем на тебе, благоразумния вече по милост божия, възможност да станеш по-благоразумен. Аз желая, щото ти, любими ми сине, да вникнеш в тази реч и както ти би слушал внимателно тези думи от нас лично, тъй да съблюдаваш и тяхната разумност. Освен това ние мислим, че ти отлично знаеш за какво ще пишем, дори нещо повече, ние предполагаме, че всичко това ти е известно и без нашите думи, тъй като предполагаме, че ти, като си усърден, спазил си това усърдие и в четенето на старата история.

Обаче ако и да знаеш това прекрасно все пак аз прилагам следното за напомняне на знаещия. Аркадий[1] владеел ромейския скиптър. Известният Гайна[2] с

[1] Източноримският император Аркадий. [2] Гайна, гот по произход, бил на военна служба при цариградския двор по времето на император Аркадий. В Цариград той оглавявал готската партия, ползуваща се с голямо влияние в управлението, но поради нарасналата омраза на населението към готите той напуснал столицата и започнал да опустошава Тракия. Разбит от византийските войски, той преминал отвъд Дунава и паднал убит в сражение с хуните (ок. 400 г.).

πλήθει ταύτην δὴ τὴν γῆν πυρπολῶν καὶ αἰχμαλωτίζων, ὥσπερ καὶ ὑμεῖς, πάντα τόπον οὗ ἂν ἐπίοι καλύπτων τῷ πλήθει, καὶ οὐκ ἦν χεῖρας πρὸς αὐτὸν ἀνταίρειν, οὐ μᾶλλον ἢ πρὸς τοὺς ἐξ οὐρανοῦ ἀφιεμένους σκηπτούς. Ὡς οὖν ἐν τοιούτοις πράγμασιν ἀπήεσαν πρὸς αὐτὸν πρεσβεῖαι τοῦ βασιλέως, ἐκεῖνος ἀπέφραττε τὰ ὦτα, καὶ πρὸς πάντα λόγον ἀνένευεν, ἄκαμπτός τις ὢν καὶ ἀμείλικτος. Ἀντέπραττε γὰρ ἡ ἐπιθυμία ὑφ' ἧς ἐκινεῖτο, καὶ ἦν ἀκατάσχετος ἐν ταῖς σφαγαῖς καὶ τοῖς φόνοις, ὥσπερ καὶ ὑμεῖς. Ἤλγει πρὸς ταῦτα ὁ τοῦ Θεοῦ ἀρχιερεύς, ἐσπαράσσετο τὴν ψυχήν, ὥσπερ καὶ ἡμεῖς οἱ ἀχρεῖοι καὶ ταπεινοί· οὗτος δὲ ἦν Ἰωάννης ὁ Χρυσόστομος τὸ ἐπώνυμον. Ἀλγῶν οὖν διενοήθη πρᾶγμα γελώμενον τοῖς πολλοῖς· τὸ δὲ ἦν ἀντὶ πάντων ἑαυτὸν δοῦναι, καὶ πρὸς τὸν Γαϊνᾶν ἐπελθεῖν, καὶ τὴν ἀνήμερον ἐκείνου παρακαλέσαι ψυχήν, καὶ τοῦ θυμοῦ τὸ ἄσβεστον πῦρ τῶν λόγων αὐτοῦ τῇ δρόσῳ πειρᾶσθαι κατασβεννύειν. Ἀλλ' ὁ μὲν ἀρχιερεὺς οὕτω διενοήθη· ἐγέλων δέ, ὥσπερ ἔφην, πολλοί. Τίς γὰρ ἤλπιζεν ἐπισχεθῆναι τοῦ Γαϊνᾶ τὴν ὁρμήν, τοῦ μυρίου ἐκείνου πλήθους τὴν κίνησιν, ὑπ' ἀνδρὸς γυμνοῦ, καὶ μηδὲν ἄλλο φέροντος πλὴν τὴν τῶν λόγων παραίνεσιν; Ὅμως παραγίνεται πρὸς τὸν ἄνθρωπον, καὶ οὐδὲν ἕτερον ἢ μόνον περιπτύσσεται τοῦτον, ταῦτα λέγων· Ἀρκέσθητι, ἄνθρωπε, τοῖς μέχρι τοῦ παρόντος δεινοῖς, παῦσαι ἀνθρωπίνοις αἵμασι ποτίζων τὴν γῆν, ἐνθυμήθητι ὅτι οὐ πολὺ τὸ ἐν μέσῳ, καὶ τοῖς οἰκείοις ὑποδέξεταί σε κόλποις· ἄρχων λαοῦ κατέστης, οὐχ ἵνα πρὸς φόνους ἄγῃς, ἀλλ' ἵνα τῆς αὐτῶν προνοῇ σωτηρίας. Τί πρὸς ἀλλοτρίαν ἐλαύνεις χώραν; Ἀρκέσθητι τῇ παρὰ Θεοῦ δεδομένῃ σοι. Τί πλεονεκτεῖν ἐπιζητεῖς ἃ μὴ ἀσφαλῶς ἴσως ἕξεις; Κατάλιπε τοὺς Ῥωμαίων τόπους, τῆς ἀξίας τυχὼν φιλοφρονήσεως, καὶ πρὸς τὰ οἴκοι ἐπάνελθε. εἶδε τὸν ἀρχιερέα ὁ Γαϊνᾶς, ἤκουσε τῶν αὐτοῦ λόγων, καὶ αὐτίκα δυσωπεῖται, καὶ καταλείπει μὲν τὸ ἄγριον καὶ ἀπάνθρωπον, γίνεται δὲ τῆς ἀνθρωπίνης ἡμερότητος, παύει τὰς τῶν αἱμάτων χύσεις τοῖς προλαβοῦσι κακοῖς ἀρκεσθείς, καὶ συμβαίνει πρὸς εἰρήνην τῷ βασιλεῖ, λαβόμενος μὲν τῶν ποδῶν τοῦ ἀρχιερέως, φιλοφρονηθεὶς δὲ ὅσον ἦν ἄξιον, καὶ πρὸς τὰ οἰκεῖα ἐπαναστραφείς.

многобройна войска опустошавал с огън тая страна и пленявал, както и вие. Всяко, място, гдето той нападал, покорявал със своята войска и не било възможно да му се противопостави някой, както на ударите на мълнията, изпращана от небето. И тъй, когато при такива обстоятелства се явили при него пратеници от императора, той си запушил ушите и отказвал на всяко предложение. Той бил грубо неумолим, понеже страстта, от която бил подбуждан, се противяла, и не могъл да се въздържа от убийства и изтребление, както и вие. За това скърбял архиереят божи и се терзаел душевно, както и ние, ненужният и смирен [архиерей]. Името му било Йоан Златоуст[1]. И тъй в скръбта си той се решил на един подвиг, на който се подсмивали мнозина. Той решил да пожертвува себе си за всички, като отиде при Гайна, за да убеди неговата сурова душа и да се опита да угаси неугасимия огън на гнева му с кротките си речи. Тъй бил разсъдил архиереят. Мнозина пък, както казах, му се смеели, понеже кой се надявал, че походът на Гайна и движението на неговата хилядна тълпа ще бъдат спрени от един беззащитен човек, невъоръжен с нищо друго освен със словестно увещание. При все това той се явил при този човек, като не мислел за нищо друго, освен да го прегърне и да му каже: „Задоволи се, човече, с досегашните ужаси! Престани да напояваш земята с човешка кръв! Помисли, че подир няколко време тази земя ще приеме и тебе в своите недра! Ти си поставен за началник на войската не за да я водиш за убийства, а за да се грижиш за спасението ѝ. Защо нападаш чужда страна? Задоволи се с тази, която ти е дал бог? Защо се стремиш да увеличиш това, което може би ти няма да владееш безопасно? Остави земята на ромеите и като бъдеш почетен с достойна награда, върни се в своята!“ Гайна видял архиерея, чул думите му. Той веднага се уплашил, изоставил суровостта и безчовечието, придобил човешка кротост, прекратил кръвопролитието, като се задоволил с дотогавашните злини, склонил да се помири с императора, прегърнал нозете на архиерея и приет радушно, доколкото е заслужавал, се върнал в земята си.

[1] Йоан Златоуст заемал патриаршеския престол в Цариград от 388 до 401 г.

Οἶδα ὅτι γινώσκεις ταῦτα, καὶ λυποῦμαι ὅτι πρὸς ἄνθρωπον εἰδότα, καὶ δύναμιν ἔχοντα διδάσκειν τὸ καλὸν ἑτέρους, ταῦτα φθέγγομαι. Πλὴν ἀναγκαῖον ἡγησάμην τὸ γράφειν, ἵνα καὶ ἀφ᾿ ἧς γνώσεως σὺ φέρεις, καὶ ἀφ᾿ ὧν ἡμεῖς λέγομεν, αὐτὸς κατὰ σεαυτὸν γενόμενος, καὶ τὸν Γαϊνᾶν ἐκεῖνον κατὰ διάνοιαν παραστησάμενος ἐννοήσῃς εἰ πρέπον τῇ σῇ μεγαλοδόξῳ ἀρετῇ ἐκείνου ὀφθῆναι λειπόμενον ἐν ταύτῃ τῇ ὑποθέσει. Ὁ μὲν γὰρ οὐκ ἐδεήθη πρεσβείας δευτέρας, ἀλλ᾿ ἅπαξ μόνον προσελθόντι ἐπείσθη τῷ ἀρχιερεῖ, καὶ τὰ ὅπλα ῥίπτει, καὶ τοὺς πολέμους παύει, οὐχ ἡγησάμενος πρέπον αὐτῷ χαρίζεσθαι τῷ θυμῷ, οὐδ᾿ ὥσπερ θηρίον μόνον ἀντέχεσθαι τῆς ἰδίας ὁρμῆς, ἀλλὰ μᾶλλον ἐπέσχεν ἐκεῖνο τὸ ψυχόλεθρον ὅρμημα οἷόν τινι χαλινῷ τοῖς εἰρηνικοῖς τοῦ ἀρχιερέως λόγοις· ἡμεῖς δὲ παραγενέσθαι πρὸς σὲ μέλλοντες μετὰ τοσαύτας προλαβούσας δεήσεις, ἀπόφασιν ἐδεξάμεθα μηδὲν πλέον ἕξειν παραγενόμενοι, ὧν καὶ ἀπόντες ὤφθημεν δεηθέντες. Τί λέγεις, υἱέ μου τετιμημένε, συνετώτατε ἀνθρώπων; Ὁ δόξης εἴπερ τις ἄλλος ἔφεσιν κεκτημένος, ὑπομένεις ἡττᾶσθαι τῆς τοῦ Γαϊνᾶ ἐπιεικείας καὶ ἡμερότητος; Ὅλως ἀνέχῃ δεύτερος ἐκείνου ἀπελέγχεσθαι; Ἐγὼ ἀντὶ σοῦ ἐρυθριῶ καὶ αἰσχύνομαι. Εἶτα οὐκ ἐνθυμῇ τὰς ἐκ τῶν ἀνθρώπων μέμψεις, ὅταν εἰς σύγκρισιν ἡ σὴ τιμιότης εἴτε τῷ βίῳ παρόντος σου, εἴτε καὶ τεθνηκότος παρὰ τῶν εἰδότων τὰς ἱστορίας προάγησθε; Τίς γὰρ δὴ Ῥωμαίων ἢ Βουλγάρων ἐν τῷ μετέπειτα ἐσομένῳ καιρῷ, διηγήσεως τοιαύτης ἀκούων, ὅτι, σκανδάλων μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων γεγονότων, πρεσβύτης ἀρχιερεὺς ὡρμήθη πρεσβευτὴς γενέσθαι εἰς τὸ παῦσαι τοὺς κατ᾿ ἀλλήλων πολέμους, συναγαγεῖν ἀμφότερα τὰ γένη πρὸς τὴν ἀρχαίαν εἰρήνην, ὁ δὲ τῶν Βουλγάρων δεσπόζων οὐκ ἠξίωσε δέξασθαι τὴν πρεσβείαν, οὐ κατηγορήσει καὶ εἴποι κατὰ σοῦ, ὅσα ἐγὼ μὲν οὐκ ἂν φαίην; μηδὲ συγχωρήσοι Θεός· ἐκεῖνοι δὲ πάντως ἐροῦσι καὶ πλείονα λυθέντος τοῦ φόβου τοῦ λέγειν ἕκαστον περὶ σοῦ, ὅπως ἔχει φρονήσεως· ὅπου γε καὶ νῦν, ἵνα μὴ λέγω πάντες, ἀλλὰ πολλοί, ὥς γε ἀκούομεν, τοῦ σοῦ λαοῦ, τοῦ σοῦ γένους, μέμφονται τοῦ ἀπαύστου πολέμου, καὶ τοῖς γινομένοις ἐπιστενάζουσιν.

Аз зная, че всичко това ти е известно и тъжа, като говоря това на човек, който знае и е способен да научи на добро другите. Все пак смятам за необходимо да напиша, за да [можеш] ти сам, като се опомниш чрез знанията и думите ни и като си спомниш за този Гайна, сам да обмислиш дали подобава на твоята велеславна добродетел да се покажеш по-долен от него в това дело. За него не е било нужно второ пратеничество, понеже той веднага послушал пристигналия архиерей, хвърлил оръжието, прекъснал войната и като разсъдил, че не трябва да отстъпва на гнева си и да се предава на увлечението си като някой звяр, но, нещо повече, поради миролюбивите речи на архиерея той задържал като с някакви юзди губителния поход. Ние пък, понеже след всичките си предишни просби имахме намерение да се явим при тебе, сега решихме, че и с присъствието си няма да постигнем повече от това, за което бихме те молили, когато се намираме далеч от тебе. Какво казваш ти, най-почтени и най-разумни от хората сине мой? Нима ти, който се стремиш повече от всеки друг към слава, ще допуснеш да бъдеш по-долу по снизходителност и кротост от Гайна и ще понесеш ли да бъдеш изтъкнат втори след него? Аз се червя и срамувам за тебе. После нима ти не мислиш за укорите от страна на хората, когато твоята честност ще бъде изправена — приживе ли или след смъртта — пред съда на ония, които знаят историята? Че кой от ромеите или българите в бъдеще, като чуе такъв разказ, а именно че във време на раздорите между ромеи и българи старец-архиерей отишъл като пратеник, за да прекрати войните между тях и да доведе двата народа към предишния мир, а повелителят на българите не е благоволил да приеме пратеничеството му, кой няма да осъди и да каже срещу тебе това, което аз не се решавам да кажа? Да не дава бог! Те ще кажат това и много други неща, когато изчезне страхът им, и всякой ще каже за тебе това, което той мисли. Даже и сега, да не кажа всички, но както чуваме, мнозина от твоя народ и твоя род порицават непрестанната война и скърбят за станалото.

Αἰσθάνομαι πλέον τοῦ δέοντος εἰπών· ἀλλὰ τί πράξω; Εἰς τοῦτο, εἰ καὶ ἀνάξιος, προκεχείρισμαι ὑπὸ Θεοῦ μεσίτης εἰρήνης, διδάσκαλος εἰρήνης. Καὶ μέχρις ἂν ἡ πνοὴ ἐπαρκῇ, ταῦτά μοι φθέγγεσθαι ἀνάγκη διὰ παντός, καὶ μάλιστα

Чувствувам, че казах повече, отколкото трябваше, но какво да правя? Аз, ако и недостоен, затова съм поставен от бога за посредник и учител на мира. И докато дишам, трябва да говоря за това посто-

νῦν ὁπότε τέκνα πρὸς πατέρας, ἀδελφοὶ ἀδελφοὺς κατ᾽ ἀλλήλων ἐκμανέντες ἀποσφάττουσιν· ὅτε τὸ ἓν σῶμα τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ὥσπερ τῆς ἰδίας ἐπιλαθόμενον κεφαλῆς ἐφ᾽ ᾗ συνηρμολογήθη, καθ᾽ ἑαυτὸ στασιάζει, καὶ τὰ τῶν μαινομένων, οἳ τὰ οἰκεῖα κατεσθίουσι μέλη, ἐπιτελεῖ· καὶ δὴ σοῦ χάριν τοῦ παλαιοῦ καὶ νέου φίλου ἡμῶν καὶ υἱοῦ, κἂν μὴ πείθωμεν, κἂν εἰς τὸ μηδὲν ῥιπτώμεθα, τὸν λόγον ἐκτείνομεν· ὃν εὔχομαι καὶ κατὰ τὸν παρόντα βίον ἐκεῖνα πράττειν, ὅσα μέλλει πάσης ἐλεύθερόν σε μέμψεως ἀνακηρύττειν, καὶ ἐν τῇ μακαρίᾳ τῶν ἁγίων ζωῇ συναριθμηθῆναι. Ἔλεγε δὲ τὸ γράμμα τῆς ὑμῶν τιμιότητος καὶ περὶ ἀλλαγίου, καὶ διερχόμενος τὸν τόπον τοῦ γράμματος ἐπιπλέως ἐδάκρυσα, ὅτι τοσοῦτον ἴσχυσεν ὁ διάβολος ὥστε Χριστιανοὺς ποιῆσαι Χριστιανῶν ἀνταλλάτεσθαι· ὥσπερ εἰ τὸ ἓν σῶμα τοῦ ἀνθρώπου αὐτὸ καθ᾽ ἑαυτοῦ κεκινημένον τῶν ἑαυτοῦ μελῶν ἐπιζητεῖ ποιεῖσθαι ἀνταλλαγήν· τί λένεις; πῶς νομίζεις τὴν καφαλὴν ἡμῶν τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν ἐπὶ τούτοις ἔχειν; Ἐγὼ νομίζω πλέον ἐπὶ τοῦ παρόντος ἢ ἐπὶ τοῦ σταυροῦ ὑπομένειν τὰς ὀδύνας.

Πλὴν ἐπεὶ τοιαῦτα ἐλεεινὰ καὶ δυστυχῆ Ῥωμαίους καὶ Βουλγάρους κατέλαβε πράγματα, καὶ τοσοῦτο ὁ πονηρὸς κατέλαβε κράτος, καὶ ἔστιν ἄλλως εἰρήνης μεσιτευούσης ἕκαστον Βούλγαρον καὶ Ῥωμαῖον φιλικῶς καὶ ἀδελφοπρεπῶς εἰς τὰ οἰκεῖα ἐπανελθεῖν, εἰ οὖν τοσοῦτο ὥσπερ εἶπον ἐκράτησε τὸ κακὸν καὶ ἀμήχανον διὰ τῆς φίλης καὶ γλυκυτάτης εἰρήνης πάντας ὅσους ἡ τοῦ πονηροῦ ἐπήρεια τῶν οἰκείων ἐποίησε ἀναστάτους, ἁπλῶς οὕτω καὶ ἀδελφικῇ ἀπολύσει. πρὸς τὰ οἰκεῖα πάλιν ἐπανατρέχειν. Ἀλλὰ τοιαύτης δεῖσθε ἀναλλαγῆς, ἣν ἡ τῶν πολεμίων ἐπίσταται ψῆφος· φρίττοντες μὲν καὶ Θεόν, αἰδούμενοι δὲ καὶ τοὺς μετέπειτα ἐσομένους ἀνθρώπους, ἡ Ῥωμαϊκὴ συγκαταβαίνει πολιτεία. Προβήσεται δὲ πάντως τὸ τοιοῦτον ἀλλάγιον, ὥσπερ ἔστι νόμος τῆς τῶν ἀλλαγίων καταστάσεως· οὐκοῦν δεήσει καὶ ἐξ ὑμῶν τινας τὰ ἐνταῦθα καταλαβεῖν, καὶ πάλιν πρὸς ὑμᾶς παραγενέσθαι Ῥωμαίους, ὥστε κοινῆς γενομένης σκέψεως τοῦ πῶς δεῖ καταλλαγῆναι τοὺς μέλλοντας ὑπαλλάττεσθαι, κατὰ τὸ καλῶς ἔχον καὶ συμφέρον καὶ Βουλγάροις καὶ Ῥωμαίοις οὕτω γενέσθαι καὶ τὸ ἐλλάγιον. (XX, col. 128 D—137 B)

янно и особено сега, когато синове свирепствуват срещу бащи, братя срещу братя и се избиват помежду си; когато единното тяло на Христа и бога наш, като че забравя своята глава, с която е свързано, въстава срещу себе си и върши дела на безумци, които изяждат собствените си членове. Да, заради тебе, нашия стар и нов приятел и син, ако и да не сме те убедили, ако и да се унижаваме, пак продължаваме речта си. Моля те да вършиш в настоящия живот онова, което ще те покаже свободен от всяко порицание и ще те причисли към блажения живот на светиите. Писмото на твоя честност съобщаваше още и за размяна [на пленници]. Аз, като четох това място на писмото ти, много плаках за това, че дяволът е толкова силен, че кара християните да се разменят с християни, като че ли тялото на човека, като се бунтува само против себе си, иска да направи размяна на своите членове. Какво казваш ти? Как, мислиш ти, ще се чувствува нашият глава, Христос и бог наш, при такива обстоятелства? Аз мисля, че в сегашно време той понася много поголеми страдания, отколкото на кръста.

Но тъй като такива беди и нещастия са постигнали ромеи и българи и лукавият е получил такава сила, та не е възможно, освен като се сключи мир, всеки българин и ромей приятелски и братски да се завърне в своята земя, щом като, както вече казах, злото е добило такава сила и е невъзможно на всички, които козните на дявола бяха накарали да излязат от земите си, да се разотидат приятелски и в приятен мир, така просто и в братско помирение. Но вие искате такава размяна, каквато познават неприятелите. Като се бои от бога и срамува от бъдещите поколения, ромейската власт е съгласна, но все пак тази размяна[1] ще стане по закона, според който се извършва размяна. Затова ще трябва няколко [души] от вас да дойдат тук и от своя страна ще се явят при вас ромеи, та като се обсъди общо как трябва да се извърши размяната, тя да стане добре и да бъде полезна както за ромеи, така и за българи.

[1] Става дума за размяна на пленници от двете воюващи страни. *Златарски*, Писмата..., СбНУК, XII, стр. 136, смята, че тук се имат пред вид пленниците — българи, които били взети от византийците през пролетта на 921 г. в сражението при гр. Термопол.

19. *Ad eundem*

Τῷ αὐτῷ

Πολλάκις ἐγράψαμεν, τέκνον ἡμῶν, καὶ πῶς εἴπω διὰ τὰς ἁμαρτίας ἡμῶν, οὐκ ἐγένετο ἡμῖν ἀπολαῦσαι τῆς ὠφελείας τῶν λόγων· πολλάκις ἐσπείραμεν εἰς τὴν γῆν καρδίας σου, υἱέ μου ποθεινότατε, καὶ πάλιν φημὶ δια τὰς ἁμαρτίας ἡμῶν οὐκ ἐθερίσαμεν οὓς ἐποθοῦμεν καρπούς· πλὴν ἀλλ' οὐ διὰ τοῦτο σιωπήσω ἀπελπίζων, ἀλλὰ γράφω καὶ τῆς χρηστοτέρας ἐλπίδος γενόμενος, καὶ φέρων ἐπὶ Θεῷ τὴν πεποίθησιν ὡς καρπώσομαί τι τῶν σωτηρίων καὶ ὠφελίμων. Καὶ εἴη ὁ πάντων αἴτιος τῶν καλῶν, τὴν ἐλπίδα πρὸς τὸ τέλος ἄγων, καὶ διδοὺς καὶ ἡμῖν ἀφ' ὧν γράφομεν ὠφεληθῆναι, καὶ τῷ πνευματικῷ μου υἱῷ ἐξ ὧν τοῖς τοῦ Πατρὸς γράμμασι προσομιλεῖ. Ἐκινήθημεν δὲ πρὸς τὸ γράφειν τῷ σῷ γράμματι ἐντυχόντες, καὶ εὐθὺς ἐκ προοιμίων εὑρόντες ἐπαγγελίαν, Θεοῦ ταπείνωσιν μιμουμένην· ἐξ ὧν ἔλεγες ὅτι, μιμούμενος Θεόν, ἄνδρα ταπεινὸν καὶ εὐτελῆ οὐκ ἀπεστράφης, ἀλλὰ κατὰ πρόσωπον ἤγαγες, καὶ τῆς σῆς ἠξίωσας ὁμιλίας. Δι' οὗ καὶ τὸ γράμμα πρὸς τὰ γράμμα πρὸς τὰ ἐνταῦθα ἐπέ.τειλας· αὕτη γοῦν ἡ ἐπαγγελία τῆς ταπεινώσεως προετρέψατο ἡμᾶς γράφειν, ἐκεῖνο ἐνθυμηθέντας ὅτι ψυχὴ ἅπαξ ταπεινὸν φρόνημα κτησαμένη, καὶ πρὸς Θεοῦ μίμησιν ἀποβλέπουσα, πᾶν ὅ τι καὶ προπέπονθε παρά τινος λυπηρόν, τοῦτο εἰάσει, καὶ τὸ πικρὸν τῆς καρδίας κενώσει, καὶ τὸ φιλόνεικον ἀποθήσει, καὶ καταστήσεται μὲν καὶ ἀφ' ἑαυτοῦ καὶ πρὸς τοὺς πρέποντας λογισμούς, ἀκούσεται δὲ καὶ ἑτ.ρων εὐμενῶς τὰ ὠφέλιμα καὶ σωτήρια ὑποτιθεμένων.

Γράφομεν οὖν διὰ ταῦτα οἷα γράφομεν· καὶ εἰ μέν τις γένηται ὠφέλεια, εὐχαριστήσομεν τῷ τὴν ὑμετέραν φρονίμην ψυχὴν οὕτω διαθέντι, καὶ ταπεινοῦ καὶ ἁμαρτωλοῦ ἀρχιερέως καὶ Πατρὸς πείσαντι δέξασθαι σωτηριώδη παραίνεσιν· εἰ δὲ μὴ ὠφελήσωμεν, καὶ οὕτως εἴργασται τὸ ἡμέτερον, καὶ ὃ χρεωστοῦμεν πληροῦμεν Τὸ δὲ σόν, τέκνον ἡμῶν, ὡς φρόνιμος κατανόει, εἴ ἔστι καὶ παρὰ Θεῷ ἀκατάκριτον καὶ παρὰ ἀνθρώποις ἀνεπίμωμον· ἀλλὰ καλὴ τοῦ γράμματος ἡ ἀρχὴ, ταπείνωσιν μιμούμενος Θεοῦ, ἤγαγες κατὰ πρόσωπον ἄνθρωπον ταπεινόν, καὶ

До същия

Често сме ти писали, чедо наше, и може би заради нашите грехове не ни се падна да изпитаме ползата от нашите думи. Често ние хвърляхме, любезни ми сине, семе в твоето сърце и, повтаряме, заради нашите грехове не събрахме желаните плодове. Но при всичко това аз все пак няма да мълча и да се отчайвам и пак ти пиша с много по-голяма надежда и упование в бога, че ще достигна нещо спасително и полезно. Нека творецът на всички блага помогне да се осъществи тази надежда и ни даде възможност да извлечем полза от това, за което пишем, както и духовният ми син да извлече полза от това, за което му говорят писмата на стария баща. Като прочетохме твоето писмо, ние бяхме подтикнати да ти пишем, тъй като още в самото встъпление ние намерихме известие за подражание на смирението божие. Там ти казваш, че като подражаваш богу, не си върнал назад смирения и прост мъж, но си го допуснал при себе си и си го удостоил да беседваш с него, поради което си ми пратил това писмо. Именно това известие за твоето смирение ни подбуди да ти пиша, като имам пред вид, че една душа, ако е придобила смирени мисли и се е насочила да подражава богу, ще забрави заедно с това и всичко тягостно, което е претърпяла по-преди от някого, ще премахне горчивината на сърцето си, ще отстрани свадливостта, ще се обърне сама по себе си към надлежните мисли и ще изслуша ония, които благосклонно предлагат полезното и спасителното.

И тъй, ето защо ти пишем. И ако се получи някоя полза, то ние ще възблагодарим оногова, който така е настроил вашата благоразумна душа и ви е убедил да приемете спасителния съвет на смирения и грешен архиерей и баща; ако ли пък не извлечем никаква полза, то и тогава ние ще изпълним, доколкото зависи от нас, своя дълг. Колкото се отнася до тебе, чедо наше, то ти като умен човек обмисли няма ли нещо, което да бъде осъдено от бога и порицано от хората. Но прекрасно е началото на твоето писмо, гдето се говори, че подражавайки на божието смирение, ти си допуснал при себе си един смирен човек, че величието на

οὐκ ἐπῆρέ σε τὸ μέγεθος τῆς ἀρχῆς, οὐδὲ σεαυτοῦ ἡγήσω ἀνάξιον ὁμιλῆσαι οἰκείῳ στόματι τῷ ἀσυγκρίτως ἀπολειπομένῳ τοῦ σοῦ μεγέθους τῆς δόξης. Τοῦτο ἐπαινετόν, καὶ ἦν ἀκόλουθον καὶ τὰ ἑξῆς τοῦ γράμματος τῇ αὐτῇ συνυφανθῆναι ταπεινότητι, καὶ μὴ παρεξελθεῖν τῆς τοῦ Θεοῦ ὡς ἔφης μιμήσεως. Νῦν δὲ ἄλλον ἔχει χαρακτῆρα τὰ μετὰ ταῦτα τοῦ γράμματος· οὐ ταπεινότητος, οὐκ ἐπιεικείας οὐ φιλανθρωπίας, ἀλλά τινος ἑτέρας διαθέσεως. Φεῦ τοῦ πονηροῦ δαίμονος τοῦ τοῖς ἀγαθοῖς ἐξ ἀρχῆς διαφθονουμένου, καὶ ἀεὶ τὴν οἰκείαν κακίαν προσεπιμιγνύειν φιλονεικοῦντος τοῖς ἀγαθοῖς. Καὶ πολλὰς μὲν τὸ γράμμα, τέκνον ἡμῶν, περιπλοκὰς ἐδήλου ἡμῖν, καὶ νῦν μὲν ἐντεῦθεν στρέφεται, νῦν δὲ ἐκεῖθεν. Εἷς δὲ ὁ σκοπὸς αὐτῷ τὸ βούλεσθαι τὴν ἡμετέραν προαίρεσιν μὴ ἀρκεῖσθαι τοῖς ἰδίοις, μηδ' ἐμμένειν τοῖς ἐξ ἀρχῆς δεδομένοις ἡμῖν· ἀλλ' ἐπιπηδᾶν πράγμασιν ἀλλοτρίοις, καὶ τότε τίνων; Πατέρων τῶν γεννησάντων ὑμᾶς, καὶ προνομίῳ βασιλείας ἣ πᾶν ἔθνος ὑπὸ πόδας ἔθηκε· καὶ οὐδὲν ἔθνος ἐξ οὗ Ῥωμαίων κράτος ἐγνωρίσθη, καυχήσασθαι μὴ οὐχὶ τὸν αὐχένα κλῖναι αὐτῷ.

властта ти не те е прелъстило и че не си смятал като нещо недостойно за себе си да се разговаряш лично с оногова, който е поставен много по-ниско от твое славно величие. Това е похвално, а беше необходимо и продължението на писмото ти да отговаря на същото смирение и да не се отклонява от подражанието, както сам ти каза, на бога. В същност обаче продължението на писмото има друг характер. Това вече не е смирение, не е снизходителност, не е човеколюбие, но съвсем друго душевно състояние. О, лукави демоне, който още отначало завиждаш на всичко добро и всякак се стараеш винаги да смесиш собственото си зло с доброто! Това писмо, чедо наше, съдържа много неясности и тегли ту насам, ту нататък. Целта на дявола е една: той иска твоето стремление да се не ограничава със собствените ти владения, нито да останеш с онова, което ти е дадено отначало, но да навлезеш в чужди владения — и при това в чии владения? — във владенията на бащи, които са ви родили, и да се стремиш към привилегиите на онази царска власт, която е поставяла всеки народ под краката си. Прочее ни един народ, откакто се знае ромейската държава, не може да се похвали, че не е преклонил врат пред нея.

Εἰρήνην ἐπιζητεῖς· καλὸς ὁ λόγος, δεῖξον καὶ τῷ ἔργῳ τὸν λόγον ἀκόλουθον. Ἡ εἰρήνη οὐ τῶν ἀλλοτρίων ἐφίεται, οὐ τοῖς μηδὲν προσήκουσιν ἐπιπηδᾷ, οὐ χεῖρας αἴρει πρὸς ὅπλα, οὐ παρέχει προφάσεις πολέμων, οὐ χαίρει χύσεσιν αἱμάτων, οὐκ οἶδεν αἰχμαλώτους ἀνθρώπους ποιεῖν. Εἰ τοιαύτην εἰρήνην ποθεῖς, εἴη Χριστὸς ὁ Θεὸς ἡμῶν ὁ τὸ οἰκεῖον αἷμα ὑπὲρ τῆς εἰρήνης τοῦ κόσμου κενώσας τὸ σὸν θέλημα, μᾶλλον δὲ τὸ κοινὸν καὶ Βουλγάρων καὶ Ῥωμαίων ἐκπληρῶν· εἰ δὲ πρὸς ταύτην οὐ βλέπεις τὴν εἰρήνην, τί τοῦ ῥήματος ὄφελος, ὅταν τὰ πράγματα τυγχάνῃ πολέμια; Κατάθες τὰ ὅπλα, παυέσθωσαν τῶν αἱμάτων αἱ χύσεις, τῶν αἰχμαλώτων αἱ συμφοραί, τῶν ὀρφανῶν, τῶν χηρῶν τὰ δάκρυα, ἡ ἐπιθυμία τοῦ πλεονεκτεῖν, τοῦ τῶν ἀλλοτρίων βούλεσθαι ἄρχειν. Ταῦτα γενέσθω, καὶ ὄντως εἰρήνη Θεῷ ἀρέσκουσα βραβευθήσεται. Τὸ δὲ λέγειν τοὺς πατέρας τοὺς ἐκ τῆς δουλείας τοῦ σκότους μετά γε Θεὸν ἐλευθερώσαντας ὑμᾶς, τούτους ὑποχειρίους λαβεῖν, πῶς

Ти искаш мир. Прекрасна дума! Покажи и на дело, че следваш съобразно с тази дума. Мирът не се домогва до чуждото, не напада на ония земи, които никак не му принадлежат, не вдига ръце за оръжие, не дава повод за война, не се радва на кръвопролитие, не знае да взема пленници. Ако ти желаеш такъв мир, то нека Христос и бог наш, който е пролял собствената си кръв за мира, да изпълни твоето желание, още повече че то е общо желание на българи и ромеи. Ако ли пък не желаеш такъв мир, то каква полза ще има от думи, когато отношенията са враждебни. Сложи оръжие! Нека престанат кръвопролитията и бедствията на пленените! [Нека се спрат] сълзите на сираци и вдовици! [Нека изчезне] страстта към користолюбие и желанието да се завладява чужда собственост! Нека бъде всичко това и тогава действително мирът, угоден богу, ще бъде утвърден. Ако пък захванеш да говориш, че искаш да подчиниш под властта си бащите, които подир бога са ви освободили от робството на тъмнината, нима това е мир? Не е ли това свой-

ἐστιν εἰρήνης; Ἀλλ' οὐχὶ τῶν πώποτε πολεμιωτάτων, καὶ μηδέποτε εἰρήνην εἰδότων;

Ἀλλὰ λέγεις, τέκνον ἡμῶν, οὕτω βούλεσθαι τὸν Θεόν. Μέχρι τίνος τῶν ἀπατεώνων προσέξεις τοῖς λήροις φρόνιμος ὤν; Ἕως πότε παραχωρήσεις τοῖς ἀγαπῶσιν ἐκ τοῦ πονηροῦ φθέγγεσθαι πνεύματος, ταῖς σαῖς ἀκοαῖς τὴν πονηρίαν αὐτῶν ἐπαντλεῖν; Οὐκ ἔστι τοῦτο, τέκνον ἡμῶν, ἀληθὲς, οὐδὲ βούλεται τοῦτο Θεὸς, ἀλλ' ὁ ἀπ' ἀρχῆς ἀνθρωποκτόνος διάβολος, ὁ ἀεὶ χαίρων ταῖς στάσεσι, ταῖς μάχαις, τοῖς πολέμοις, ταῖς ἀνδροφονίαις, καὶ εἴ τι ἄλλο κακὸν ἐν τῷ ματαίῳ βίῳ τῶν ἀνθρώπων γνωρίζεται. Οὗτός ἐστιν ὁ ταῦτα καὶ βουλόμενος καὶ διαπραττόμενος, ἐκεῖθεν ταῦτα, οἴμοι τῶν ἐμῶν παθῶν, ἐπεισῆλθε τὰ κακὰ μέσον Ῥωμαίων καὶ Βουλγάρων, μεταξὺ τῶν πατέρων καὶ τῶν τέκνων, οὓς οὐχ αἷμα καὶ σάρξ, ἀλλὰ τὸ πανάγιον Πνεῦμα υἱοὺς καὶ πατέρας ἀπέδειξε. Θάνατον γὰρ ὁ Θεὸς οὐκ ἐποιήσεν, ἀλλ' ἀπάτη δαίμονος καὶ ἐπιθυμία παραλόγως τῇ ἀπάτῃ ἐξακολουθήσασα, ἐξ ἧς καὶ τὰ νῦν συμβαίνοντα χαλεπὰ προῆλθεν εἰς γένεσιν. Εἰ μὴ γὰρ ἄνθρωποι διαφθαρμένοι, καὶ πλάνοι τὴν σὴν φρονίμην ψυχὴν ἐξηπάτησαν, καὶ τῆς ἐκ τῶν πατέρων συνηθείας τοῦ βίου καὶ τῆς διαγωγῆς ἀπέστησαν, οὐκ ἂν οὐδὲ πολεμεῖν πρὸς Χριστιανοὺς ἠγάπησας Χριστιανὸς ὤν· οὐδὲ εὐσεβεῖν χάριτι Θεοῦ ὁμολογῶν, εὐσεβεῖς εἷλκες αἰχμαλώτους· καὶ ἁπλῶς εἰπεῖν οὐκ ἂν εἰς ἐρημίαν κατέστησας οἴκους καὶ τόπους, ἐν οἷς τὸ τοῦ Χριστοῦ θεῖον ὄνομα ἐδοξάζετο, ἀλλ' ὅπερ ἔφην διαβόλου φθόνος καὶ τῶν ἐκείνου μιμουμένων τὴν κακίαν ἀνθρώπων τοῖς χαλεποῖς τούτοις ἔδωκαν προελθεῖν.

Ἀλλὰ γὰρ καὶ τοῦτο ἐνεφέρετο ἐν τῷ γράμματι, ὡς ἀγαπῶν τὸ ὁμόψυχον καὶ τὸ εἰρηνεύειν, πάντα πράττεις ἃ πράττεις. Καὶ τὸ μὲν ὁμόψυχον καὶ τὸ εἰρηνεύειν ἔργον τοῦ ἀγαθοῦ, τὸ δὲ πράττειν ἃ πράττεις, ἔργον τοῦ πονηροῦ. Οὐδεὶς εἰρήνην ἐπιζητῶν ἐπιβουλεύει ἐκείνου μεθ' οὗ εἰρηνεύειν ἐπιζητεῖ· οὐδεὶς ὁμόψυχον ἔχειν βουλόμενός τινα, τῇ σφαγῇ τούτου μαίνει τὰς χεῖρας, ἀλλὰ θεραπεύει, ἀλλ' ἀγαπᾷ, ἀλλὰ παντὶ τρόπῳ τὰ τῆς ἐκείνου ἀνέσεως ἐπιτελεῖν ἀγωνίζεται. Τὰ δὲ ὑμετέρα οὐ τοιαῦτα, οὐκοῦν οὐδὲ ὁμοψυχεῖν, οὐδὲ εἰρηνεύειν ἐπιζητούντων, ἀλλὰ τοὐναντίον μᾶλλον ἐχθραινόντων καὶ μαχομένων, καὶ μηδ' ὅτι τί ποτέ ἐστιν εἰρήνη συνιέντων. Καὶ ταῦτα γράφομεν, τέκνον ἡμῶν,

ствено на непримирими и никога незнаещи мир врагове?

Но ти казваш, чедо мое, че бог така желае. Докога ти, разумни човече, ще слушаш празнословията на измамниците? Докога ще отстъпваш на ония, които предпочитат да говорят по насъскването на злия дух, и ще се вслушваш в тяхното лукавство? Това, чедо наше, не е истина. Не бог желае това, а изначалният човекоубиец — дяволът, — който всякога се радва на разприте, сраженията, войните, човекоубийството и изобщо на всяко зло, което го има в суетния живот на хората. Ето кой желае да се домогва до това! Ето откъде — о мои страдания! — са произлезли тези бедствия между ромеи и българи, между бащите и чедата, които не кръв и плът, а всесветият дух е направил синове и бащи. Не бог е създал смъртта, а измамата на дявола и страстта, която безразсъдно следва подир измамата и поради която са произлезли между народите настоящите ужаси. И наистина, ако покварени хора и измамници не бяха измамвали твоята благоразумна душа и не бяха те отклонявали от навика и начина на живота на бащите ти, ти, който сам си християнин, не би предпочел да воюваш против християните. Ти, ако изповядаш, че по милост божия си благочестив, не би откарвал в плен благочестиви хора, с една реч, не би опустошавал жилища и места, гдето се е прославяло божието име на Христа, обаче, както казах, завистта на дявола и на подражателите на злословието му е станала причина за тези бедствия.

Но в писмото си ти казваш, че всичко, което е извършено от тебе, ти си направил от любов към съгласието и запазването на мира. Наистина съгласието и запазването на мира са дела на добрия дух, но това, което ти извършваш, е дело на лукавия. Никой, който иска мир, няма да мисли зло против оня, с когото желае да живее в мир. Никой, който желае да има съгласие с някого, няма да осквернява ръцете си с неговото убийство, но го уважава, обича го и всякак се старае да направи това, което е необходимо за неговото успокоение. А вашите дела не са такива и не са даже дела на ония, които не искат нито съгласие, нито запазване на мира, а по-скоро са дела на ония, които враждуват и воюват и даже не разбират какво нещо е мир. И аз пиша това, чедо наше, не за

οὐχὶ διδάσκοντες ὡς ἀγνοοῦντα, ἀλλ' ὅτι διὰ τῶν τοιούτων ῥημάτων, οὐκ οἶδα τίνας δοκεῖ τὸ γράμμα παραλογίζεσθαι. Ἐρωτῶμέν σε, καὶ ἀποκρίθητι. Εἴ τις ἢ ἀδελφὸς ἢ τῶν τέκνων αὐτῶν παρελθὼν, πάντα πράττοι ὥστε λαβεῖν τὴν σὴν κυριότητα καὶ τὴν ἀρχὴν τοῦ ἔθνους, εἶτα λέγοι ὡς Πράττω ταῦτα καὶ ἀγωνίζομαι χάριν τοῦ εἶναι ὁμόψυχός σοι καὶ τοῦ εἰρηνεύειν, ἆρα τοῦτον ἀποδέξῃ τῆς τοιαύτης προαιρέσεως, ἢ ὡς ἐπίβουλον καὶ ἐχθρὸν παντὶ τρόπῳ καὶ τῆς ὅλης αὐτὸν ἐκδιώξεις χώρας; Καὶ τίς ἐστιν ὃς τοῦτο ἀγήοχε; Μὴ τοίνυν μηδὲ σὺ ἐκ τοιούτου φρονήματος ὁμόψυχος εἶναι, μηδὲ ἐπιζητεῖν τοιαύτην εἰρήνην· τὸ γὰρ ἰδιοποιεῖσθαι τὰ ἀλλότρια, τὸ βούλεσθαι τῶν μὴ προσηκόντων ἐπιβαίνειν, τυραννίδος ἐστὶ καὶ μαχομένου τρόπου, ἀλλ' οὐχὶ ὁμοψυχίας, οὐδὲ εἰρηνικῆς καταστάσεως. Ἡ δὲ περὶ τῶν κοσσύφων καὶ τῶν πιθήκων καὶ τῶν κισσῶν χρεία οὐκ οἶδα εἰς τί σοι προβέβληται. Ἄνθρωπος μὲν γὰρ εἰκών ἐστι Θεοῦ, καὶ τὴν θείαν μιμούμενος ἀρετήν, γίνεται κρείττων πάσης κακίας, καὶ ὅσον ἀνθρώπῳ δυνατὸν Θεὸς, καὶ διὰ τοῦτο παρὰ Θεοῦ δεδημιούργηται· ἃ δ' ἔφης ζῶα, εἰ καὶ μιμηλόν τι πρὸς ἄνθρωπον ἐπιδείκνυται, ἀλλ' οὐδὲν πρὸς τὰ ἀνθρώπινα πράγματα· οὔτε γὰρ ἀνθρώπου ἀρετὴν ἀναλαβεῖν ἱκανὰ, οὔτε ἄνθρωπος λέγεσθαι καθ' οἱονδήποτε τρόπον, ὥσπερ ἐκ προκοπῆς ὁ ἄνθρωπος παρὰ Θεοῦ λαμβάνει τὸ καλεῖσθαι Θεός

Πλὴν καὶ τοῦτο, τέκνον ἡμῶν, τὸ παράδειγμα εἰ βούλοιο συνορᾶν τοῖς ἔμπροσθεν εἰρημένοις, ὅμοια παραινεῖ· εἰ γὰρ ἐν τούτῳ γνωρίζονται Χριστιανοὶ, ἐν τῷ φυλάττειν τῶν ἀποστόλων τὰς διατάξεις ἐν τῷ ἀγαπᾶν εἰρήνην, ῥίψον τὰ ὅπλα, κατάθου τὸν πόλεμον, κάθαρον τὰς χεῖρας ἐκ τῶν Χριστιανικῶν αἱμάτων, ἐπάνηκε εἰς τὴν ἀρχαίαν κατάστασιν, ἐπίγνωθι τοὺς πατέρας καὶ ἀδελφοὺς, ἀναλαβὼν διάθεσιν ἣν ἡ ἐκ τοῦ πνεύματος συγγένεια βούλεται, καὶ κατάλιπε τὴν γνώμην πρὸς ἣν βασκανία δαίμονος καὶ ἀνθρώπων πονηρία κατεσκεύασεν. Αὕτη ἐστὶν ὡς ἀληθῶς εἰρήνη, ἣν οὐκ ἰσχύει πλάνη ἐξάραι, τὸ παυθῆναι τοὺς πολέμους, τὸ ἀνακοπῆναι τὰς τῶν αἱμάτων χύσεις, τὸ ἀρκεῖσθαί ἀνακοπῆναι τὰς τῶν αἱμάτων χύσεις, τὸ ἀρκεῖσθαί σε τῇ παρὰ Θεοῦ ἐξ ἀρχῆς καὶ ἐκ τῶν πατέρων δεδομένῃ σοι ἐξουσίᾳ καὶ τιμῇ, τὸ μὴ ὑπερβαίνειν ὅρια ἃ ἔθεντο οἱ πατέρες σου, καὶ τὴν μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων,

да те науча, като че си неук, а защото поради такива [твои] думи не зная кого повидимому писмото лъже. Ние те питаме и отговори. Ако някой — или брат, или по-големият от синовете ти — би направил всичко, за да вземе твоето господство и властта над народа и после би казал „Всичко това правя и се старая да живея с тебе в съгласие и мир", то ще одобриш ли такова желание, или пък всякак ще го прогониш от цялата страна като зломишленик и враг? И кой би започнал да действува така? Не, дори и ти самият не с такова намерение искаш съгласие и не към такъв мир се стремиш, защото присвояването на чуждото и желанието да се посяга на неща, които не ти принадлежат, е свойствено на тиранията и на враждебните отношения, а съвсем не на съгласието и на мира. Аз не зная защо ти е потрябвало да говориш за дроздовете, маймуните и свраките. Човек е образ божи и като подражава на божествената добродетел, става по-силен от всяко зло и доколкото е възможно за човека, става бог и затова е създаден от бога. А животните, за които ти говориш, ако и да проявяват наистина някое подражание на човека, но никак не подражават на човешките дела, тъй като те нито са способни да възприемат човешката добродетел, нито могат да бъдат наречени хора, докато човекът, като преуспява, получава от бога названието бог.

И тъй този пример, чедо наше, ако ти би поискал да обърнеш внимание на гореказаното, представя нещо подобно. Но ако християните се познават по пазенето на апостолските наставлення, по любовта към мира, захвърли оръжието, прекрати войната, очисти си ръцете от християнската кръв, върни се пак към предишното положение, познай отците и братята си, като възстановиш ония отношения, които се изискват от духовното родство, откажи се от намерението, към което те подбужда завистта на дявола и лукавството на хората. Ето това е истински мир, който заблудите не могат да премахнат. Това значи да прекратиш войната, да спреш кръвопролитията, да се задоволяваш от властта и честта, които са ти дадени от бога изначало и са ти оставени от прадедите, да не преминаваш границите, които са установени от твоите отци, и да спазваш мира между ромеи и българи, мир, сключен, ко-

ὅτε τὸν Χριστὸν ἐπέγνωτε καὶ Θεὸν, συμπεφωνημένην εἰρήνην. Εἰ οὕτως φρονοῦμεν, ὄντως οὐδὲ αὐτὸς ὁ διάβολος μετὰ πάσης αὐτοῦ τῆς στρατιᾶς κεκινημένος παρατρέψαι τὴν πρὸς σὲ εἰρήνην ἡμῶν δυνήσεται. Ναὶ, ἀλλὰ βούλημα Θεοῦ τὴν τῶν Ῥωμαίων ἐξουσίαν ὑμᾶς λαβεῖν· ἐπισφαλεῖς οἱ λογισμοὶ, οὐκ εὐπρεπὴς ἡ ἐνθύμησις, ἄδηλον τὸ τέλος εἰς ὃ καταντήσεται. Πολλοὶ τοῖς τέως παροῦσι μὴ ἐπαρκούμενοι, ἀλλὰ πρὸς πλείονα ὑπερεκτείνοντες ἑαυτοὺς, καὶ ἃ τέως εἶχον προσαπώλεσαν. Οὕτως ἐστὶ τὰ ἀνθρώπινα πράγματα, οὕτως ἐπισφαλῆ καὶ ἀβέβαια· πλὴν εἰ βούλημα Θεοῦ, δεῖ τὸν οὕτω πεποιθότα ὡς λήψεταί τι παρὰ Θεοῦ, ἐκείνου περιμένειν τὴν κρίσιν, ἐκεῖθεν ἐκδέχεσθαι τὴν ἀπόληψιν τῶν ἐλπιζομένων, ἀλλὰ μὴ τὰς σφαγὰς, πρὸς τοὺς φόνους, πρὸς ἃ μεμίσηκεν ὁ Θεὸς ἐφορμᾷν. Καὶ τότε πρὸς τίνας; Οὐ πρὸς ἔθνη μὴ εἰδότα Θεὸν, οὐ πρὸς λαὸν ἀλλότριον τοῦ Χριστοῦ, οὐ πρὸς ἀνθρώπους διακειμένους πολεμίως πρὸς ὑμᾶς, ἀλλὰ πρὸς πατέρας, πρὸς ἀδελφοὺς, πρὸς τοιούτους ἀνθρώπους, οἳ ὡς τέκνων ὑμῶν ἐτίθεντο πρόνοιαν, πρὸς τοιούτους ἐξεβαρβαρώθητε, ἐξεπολεμώθητε, καὶ ἡγήσασθε τὸ ἐν τοῖς ὑμετέροις ὅπλοις κεῖσθαι, καὶ ἐκχύσει τῶν Χριστιανικῶν αἱμάτων παρελέσθαι τὴν ἀρχὴν καὶ βασιλείαν, ἀδυνάτοις μὲν ἐπιχειροῦντες.

Ἐβουλόμεθα καθέκαστον ἐπεξιέναι τῷ γράμματι, ἀλλ' ὅτι συνείδομεν τὴν τοῦ γράμματος ὑμῶν πολυλογίαν πρὸς ἕνα καὶ τὸν αὐτὸν σκοπὸν συντείνουσαν, ὅνπερ ἀπ' ἀρχῆς μέχρι τοῦ νῦν ἀνεδέξασθε, οὐκ ἔδοξεν ἔχειν καλῶς πρὸς ἕκαστον ἀποκρίνεσθαι τῶν γεγραμμένων, ἵνα μὴ ἀντὶ γραμμάτων βίβλον φανῶμεν γράφοντες, καὶ συγκόπτοντες μὲν σὲ τῇ πολυῤῥημοσύνῃ μηδὲν δὲ ἴσως ὠφελοῦντες. Διὰ τοῦτο καταλιπόντες τὸ πλείονα γράφειν, τοῦτό σοι γράφομεν· Μνήσθητι τέκνον ἡμῶν, ἡμερῶν ἀρχαίων ἐκείνων ὅτε τῷ δεσμῷ τοῦ ἁγίου Πνεύματος συνδεδεμένος ἐτύγχανες τῇ τοῦ πατρὸς καὶ βασιλέως ὡς υἱὸς ποθεινὸς ἀγάπῃ· μνήσθητι τῆς καλῆς ἐκείνης καὶ ἁγίας μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων εἰρήνης, τῆς γλυκείας συναναστροφῆς, τῆς ἀταράχου ζωῆς ὅτε Θεὸς ἐδοξάζετο μιᾷ καὶ ψυχῇ καὶ γνώμῃ Βουλγάρων καὶ Ῥωμαίων τὸ πανάγιον ὄνομα δοξαζόντων, ὅτε διάβολος καὶ οἱ σὺν αὐτῷ δαίμονες ὁρῶντες τὴν ὑμῶν σωτηρίαν, τὸ φιλάδελφον, τὸν εὐσεβῆ καὶ ὅσιον τρόπον, ἐθρήνουν τε καὶ ὠδύροντο, ὅτε Βουλγάρων πρὸς τὴν γῆν τῶν Ῥωμαίων

гато вие познахте Христа и бога. И ако ние мислим така, тогава действително даже сам дяволът с всичкото си войнство не ще бъде в състояние да наруши нашия мир с тебе. Но ти казваш, че бог желае вие да завземете властта над ромеите. Погрешни съждения, неблагопристройни мисли! Неизвестен е краят, до който ще се стигне! Мнозина, като не се задоволяват от настоящото си положение и като отиват твърде далеч в своите стремления, са загубвали и това, което са имали до тогава. Такива са човешките дела! Ето доколко са те нетрайни и несигурни! Затова, ако бог желае, то онзи, който вярва, че ще получи от него нещо, дължен е да чака неговото решение и от него да получи очакваното, а не да се хвърля в истребление, убийства — в онова, което бог ненавижда. И то срещу кого? Не против племена, които не признават бога, не против народ, чужд на Христа, не против хора, враждебни вам, но против бащи, против братя и против ония, които постоянно са имали попечение за вас като за чеда — ето против кого вие проявявахте варварщина, водите война и смятате със своите оръжия и чрез проливане на християнска кръв да завладеете властта и царството. Но вие се залавяте за нещо невъзможно.

Аз исках да разгледам поотделно всяко нещо в писмото, но видях, че многословието на вашето писмо е насочено към една и съща цел, която преследвате от началото и до сега; стори ми се, че не е добре да отговарям поотделно на всичко, което е писано, та да не излезе, че вместо писмо пиша книга, и да не ти досаждам с многоглаголство, което може би няма да принесе полза. Затова, като се въздържаме да пишем обстойно, пишем ти следното: спомни си, чедо наше, за онова старо време, когато ти, свързан с връзките на светия дух, се наслаждаваше като любим син от любовта на бащата император, спомни си за онзи прекрасен и свет мир между ромеи и българи, за ония добри отношения и безметежен живот, когато бог се прославяше единодушно и единомислено от българи и ромеи, които прославяха неговото всесвето име; когато дяволът и неговите демони, виждайки вашето спасение, братолюбието и брогочестивите и набожни нрави, плачеха и ридаеха; когато ромеите приемаха българите, които иде-

εἰσιόντων, ὡς τέκνα, ὡς ἀδελφοὶ ὑποδεχόμενοι τούτους Ῥομαῖοι ἔχαιρον καὶ εὐφραίνοντο, ὅτε πάλιν Ῥωμαίων πρὸς Βουλγάρους παραγινομένων ὑμεῖς τῆς ἴσης χαρᾶς καὶ ἀγαλλιάσεως ἀπελαύετε.

ха в земята им, като синове, като братя, радваха се и ликуваха, когато вие от своя страна изпращахте със същата радост и веселие ромеите, които идеха при вас!

Ταῦτα ἐνθυμήθητι, τέκνον ἡμῶν, τὴν κοινὴν εὐφροσύνην, τὴν πνευματικὴν ἐκείνην καὶ μακαρίαν ἡδονήν, ἧς ἀπήλαυον οἱ τότε Ῥωμαῖοι καὶ Βούλγαροι, δι' ἣν ὁ διάβολος ἐξεμαίνετο, δι' ἣν ἐσκυθρώπαζε καὶ κατηφὴς καὶ ἀλύων ἐπορεύετο, καὶ πάντα τρόπον ἐμηχανᾶτο πᾶσαν πορείαν ἠλαύνετο τοῦ συγχέαι καὶ συνταράξαι τὴν τριπόθητον ἐκείνην διαγωγήν, ὃ καὶ ἐξενίκησε, φεῦ τῆς ἀμάχου κακίας, ὡς ἐνόμισε καταπράξασθαι. Ἀλλὰ μὴ συγκεχωρήσθω τῷ πονηρῷ ἐπὶ πλέον ἐγκαυχᾶσθαι, μηδὲ ἐξορχεῖσθαι κατὰ τῆς Βουλγάρων καὶ Ῥωμαίων διαστάσεως· ἀλλ' ὡς νουνεχής, ὡς φρόνιμος, ἀφεὶς τοὺς συνέχοντας λογισμούς, ἀποφράξας τὰ ὦτα τοῖς ὑποβάλλουσι τὰ πονηρὰ βουλεύματα, γενοῦ σεαυτοῦ καὶ τῆς σοι πρεπούσης ἀρετῆς, ἐπάνελθε πρὸς τὴν ἀρχαίαν εἰρήνην, ἐπάνηκε πρὸς τὸ ἥμερον καὶ ἐπιεικὲς τῆς ἔμφρονός σου ψυχῆς· ἀντιστραφήτωσαν οἱ στεναγμοὶ καὶ τὰ δάκρυα Ῥωμαίων καὶ Βουλγάρων, ἃ προσεξένησεν ὁ Σατανᾶς, ἐπ' ἐκεῖνον αὐτὸν τὸν εὑρετὴν τῆς κακίας, πορευέσθω πάλιν οἰμώζων καὶ κόπτων ἑαυτὸν ἐπὶ τῇ πρὸς τὴν εἰρήνην συμβάσει καὶ θεοφιλεῖ ὁμοψυχίᾳ τῶν οὓς ἐξ ἀλλήλων διαστῆσαι κακομηχάνως δεδύνηται. Ἐπὶ πᾶσι δὲ τούτοις τὸ ἐκεῖθεν κριτήριον, τέκνον ἡμῶν, καὶ τὸν φοβερὸν δικαστὴν ἀναλογιζώμεθα, καὶ τὴν κοινῶς μετὰ πάντων ἐπὶ τοῦ φρικτοῦ βήματος παράστασιν, ὅτε οὔτε βασιλεὺς οὐκ ἄρχων οὐκ ἰδιώτης διακρίνεται, ἀλλὰ πάντες γυμνοὶ καὶ τετραχηλισμένοι παραστησόμεθα, οὐ μόνον τὰς πράξεις, ἀλλὰ καὶ τὰς ἐνθυμήσεις καὶ τὸ συνειδὸς εἰς ἔλεγχον παριστάμενα ἔχοντες, ὅτων καὶ αὐτὰς τὰς ἐπουρανίους δυνάμεις τρόμος καὶ φρίκη καταλήψεται.

Помисли, чедо наше, за това, за общата радост, за онова духовно блаженство, от което се наслаждаваха тогавашните ромеи и българи. Поради това дяволът беснееше, огорчаваше се, мрачен и опечален се луташе и прибягваше до всякакви средства и търсеше всякакъв път, за да наруши и смути онзи твърде много желан живот, което — уви, о непобедимо зло! — той сполучи да извърши така, както мислеше. Обаче нека не бъде позволено на лукавия повече да ликува и да скача от радост поради раздора между българи и ромеи! А ти като човек умен и благоразумен, след като отстъпиш от мислите, които те обладават, запушиш ушите си за онези, които ти внушават лоши съвети, дойди на себе си, запази подобаващата ти добродетел, върни се към предишния мир, върни се към спокойствието и кротостта на благоразумната си душа. Нека стенанията и сълзите на ромеите и българите, които е причинил сатаната, се струпват върху самия виновник на нещастията. Нека той да се отдалечи със стенание и мъка поради споразумението за мир и поради боголюбивото единодушие на ония, които се опитва злобно да раздели едни от други. Освен това помисли, чедо наше, и за онзи съд, за страшния съдия и за общото представяне заедно с всички пред страшния престол, когато няма да има различие между цар, управител и обикновен човек, но ние всички ще се представим голи и открити и ще се явят на съд не само нашите дела, но и нашите помисли и съвест; и страх и трепет ще обземе даже самите небесни сили.

Ταῦτα ἐνθυμηθῶμεν, καὶ λήξωμεν τῶν ἔργων τῶν μέχρι τοῦ νῦν λυπούντων μὲν τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν, χαίρειν δὲ παρασκευαζόντων τοὺς φθονοῦντας τῇ σωτηρίᾳ ἡμῶν δαίμονας, καὶ εἰς ἐπανόρθωσιν καταστήσωμεν ἃ παρισφάλημεν, μηδὲ βουληθῶμεν ἐπιμεῖναι, διότι συνηρπάσθημεν ἐπὶ τοῖς εἰργασμένοις κακοῖς μὴ ἀναμείνωμεν τὴν ἐσχάτην ἡμέραν, ὅτε καὶ βουλόμενοι χρηστόν τι φρονεῖν ἴσως, οὐδὲν δυνησόμεθα, περισπωμένης τῆς ψυχῆς

Нека помислим и за това и нека прекратим ония дела, които досега оскърбяват Христа и бога наш и дават възможност на завиждащите на нашето спасение демони да се радват, и нека пристъпим към изправление на това, което сме прегрешили. Нека не желаем да упорствуваме в злото, поради това че сме били увлечени от извършените злини. Нека не чакаме последния ден, когато може би ще поискаме да помислим за нещо добро, но ние не ще бъдем в състояние да сторим това, тъй като ду-

καὶ πρὸς μόνην τὴν ἐκδημίαν ἀποβλεπούσης τοῦ σώματος, καὶ ἀγωνιώσης ἐφ᾽ οἷς μέλει ὑπὸ τῶν τότε παρισταμένων. Ὦ τοῦ φρικτοῦ θεάματος θείων ἀγγέλων καὶ πονηρῶν δαιμόνων διερευνᾶσθαι καὶ ἐξετάζεσθαι. Μὴ ἀπέλθωμεν οὕτως ἐκ τῆς παρούσης ζωῆς, ὅτι φοβερὸν τὸ ἐμπεσεῖν εἰς χεῖρας Θεοῦ ζῶντος· μηδὲ γένοιτο ἡμᾶς ἀκοῦσαι τῆς ὀδυνηρᾶς ἐπὶ τοῖς ἀδιορθώτως ἐφ᾽ οἷς ἐπλημμελήσαμεν ἐκ τῆς παρούσης ζωῆς ἀπιοῦσιν ἀποφάσεως, ὅτε οὐκέτι περιλείπεται προσδοκία μετανοίας, οὐκ ἐλέους τοῦ ἀπροσωπολήπτου κριτοῦ· οὐδ᾽ ἔχει τέλος ἡ ἀπόφασις, ἀλλὰ ἀπέραντος διαμένει ἐλεεινῶς τὸν πάντα αἰῶνα τοὺς ὑπ᾽ αὐτῷ πεσόντας κολάζουσα καὶ τιμωρουμένη.

Ἐμνημόνευε δὲ τὸ γράμμα καὶ περὶ ἀποκρισιαρίων ἀποστολῆς. Καὶ ἦν μέν, τέκνον ἡμῶν, ἠγαπημένον, ἁπλοῦν καὶ ἀνυπονόητον τὸ τοὺς παρ᾽ ὑμῶν κατεχομένους ἀποστεῖλαι, καὶ δι᾽ ἐκείνων δηλῶσαι τὰ δοκοῦντα· εἰ δὲ μὴ τοὺς δύο, τέως τὸν ἕτερον μετά τινος ἀνθρώπου ὑμῶν, καὶ τότε ἕτεροι ἂν ἀπεστάλησαν οὓς ἐπιζητεῖν ἐγνώκειτε. Νῦν δὲ τὸ κατέχεσθαι παρ᾽ ὑμῶν τοὺς προαποσταλέντας, οὐ δίδωσι χώραν τὸ ἑτέρους ἐξαποστέλλεσθαι. Εἰ οὖν ἀληθῶς ὁ τῆς εἰρήνης μεσίτης Χριστὸς ὁ Θεὸς ἡμῶν λογισμοὺς ἁγίους περὶ τῆς εἰρήνης ὑπέβαλεν ἐν τῇ σῇ ψυχῇ, ἀποσταλήτωσαν οἱ κατεχόμενοι, ἢ τῶν δύο ὁ ἕτερος μετὰ ἀνθρώπου τῆς σῆς μεγαλοδόξου ἀρχῆς, καὶ καταλαμβανόντων αὐτῶν, καὶ τοὺς λόγους ἀποκομιζόντων, οὓς ἂν ἐπιτρέψητε, ἐξαποσταλήσονται οἱ τὰ παρὰ τοῦ θεοστεφοῦς βασιλέως ἡμῶν καὶ τῆς συγκλήτου ἀπαγγελοῦντες. (XXI, col. 137B—148 A)

шата ще се отдели, ще гледа само раздялата си от тялото и само ще се страхува от онова, което ще настане тогава. О ужасно зрелище — човек да бъде изпитван и издирван от божествени ангели и лукави демони! Да не си отидем от този живот така, че да бъде страшно да попаднем в ръцете на живия бог; да не ни се случи да чуем мъчителното наказание на ония, които са оставили този живот без изкупване на греховете си, когато вече няма да има надежда за разкаяние и милост от безпристрастния съдия. Това наказание няма край. То вечно ще трае, ще убива и ще мъсти навеки безжалостно на ония, които бъдат подложени на него.

В писмото си ти споменаваш още за изпращане на посланици. Би било, любимо ни чедо, по-просто и вън от всяко подозрение да се изпратят назад задържаните от вас пратеници и чрез тях да ни известиш за това, което мислиш, или ако не двамата, то поне единия, с някой ваш човек. И тогава само ще бъдат изпратени други, които си намислил да искаш. Засега, поради това че вие задържате изпратените по-рано, не е възможно да бъдат изпратени други. И тъй, ако наистина посредникът на мира, Христос, богът наш, е вложил в душата ти свети мисли за мира, нека бъдат изпратени назад задържаните или пък един от двамата наедно с пратеник от твоята всеславна власт. Когато те пристигнат и ни съобщят онова, което вие им възложихте, тогава ще бъдат изпратени и ония, които ще ви възвестят решенията на нашия боговенчан цар и на сената.[1]

20. Ad eundem

Τῷ αὐτῷ

Ἐλυπήθημεν μὴ δεξάμενοι γράμμα τοῦ ἡμῖν πεποθημένου τέκνου, καὶ ὡς εἰκὸς ἐλογισάμεθα ὅτι ἐν καταπεφρονημένῃ μοίρᾳ κείμεθα παρὰ σοί, καὶ διὰ τοῦτο καὶ γράφειν πρὸς ἡμᾶς οὐκ ἠξίωσας. Τί γάρ με ἄλλο ἔδει λογίζεσθαι; Οὐδὲ γὰρ ἐνδέχεται υἱὸν ἀγαπῶντα

До същия

Понеже не получихме писмо от нашето любимо чедо, ние се опечалихме и, както подобава, помислихме, че ти си се отнесъл към нас с пренебрежение и поради това не ни удостои да ни пишеш. Защото какво друго трябваше да помисля? Не е възможно, щото син, който

[1] От настоящото писмо се вижда, че Симеон е направил предложение за мирни преговори с византийците. Обаче това писмо, както и следващото (22-о) представлявали дипломатическа маневра от негова страна. Той искал да заангажира цариградското правителство с преговори, докато получи резултат от пратеничеството, което изпроводил при арабите в Египет. Както е известно, той търсил съюз с тях, за да може да използува флотата им при обсадата на Цариград. Вж. *Златарски,* Писмата . . . . СбНУК, XII, стр. 145—148. — *Същият,* История, I, 2, стр. 431 — 440.

πατέρα καὶ στοργὴν ἀποσώζοντα τὴν ὀφειλομένην, γράμματα παρὰ τοῦ πατρὸς δεχόμενον, μὴ πάλιν ἀντιπέμπειν τὰ παρ᾽ ἑαυτοῦ γράμματα. Ὅμως οὖν, τέκνον ἡμῶν, εἰ καὶ σὺ γράψαι πρὸς ἡμᾶς οὐκ ἠξίωσας, ἡμεῖς καὶ πάλιν γράφομεν, οὐδέν τι διὰ τὸ παραλογισθῆναι τὴν πρὸς σὲ πατρικὴν στοργὴν ἀλλοιώσαντες, ἀλλ᾽ ὑγιῆ σώζοντες τὴν σχέσιν ἡμῶν τὴν πρὸς σέ, καὶ τὴν πατρὶ ἐφ᾽ υἱῷ πρέπουσαν διάθεσιν.

Ἐνετύχομεν τοῖς βασιλικοῖς γράμμασι, καὶ κατενοήσαμεν ἐν αὐτοῖς τὴν σὴν ἀγαθὴν προαίρεσιν, καὶ ὅτι Θεοῦ εὐδοκοῦντος φρόνημα κατέστη τοιοῦτο ἡ σὴ φιλάνθρωπος καὶ ἡμερωτάτη ψυχή· ὥστε παυθῆναι τοὺς πολέμους, λῆξαι τὰς σφαγὰς, ἠρεμῆσαι τὰς τῶν αἱμάτων χύσεις καὶ ἀνεκαινισθῆναι πάλιν τὴν σὴν εἰρήνην μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων, ἣν ἔδωκεν μὲν ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ὁ κοινὸς Πατὴρ, ὁ πάντων Δεσπότης, ἐφιλονείκησε δὲ ὁ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος διάβολος λῦσαι, καὶ ἀντὶ τῆς κληρονομίας ἐκείνης καταστῆσαι εἰς πράγματα Βουλγάρους καὶ Ῥωμαίους, δι᾽ ὧν καὶ ἐν τῇ παρούσῃ ζωῇ πολλὴ ἀπήντησε χαλεπότης καὶ ἀπώλεια, μεταβολὴν εἰς τὸ κρεῖττον οὐκ ἔχουσα. Εὐχαριστοῦμεν οὖν τῷ Θεῷ τῷ λογισμὸν τοιοῦτον ἐν τῇ ἔμφρονί σου καὶ συνετωτάτῃ καρδίᾳ θεμένῳ, καὶ εὐχόμεθα, εἰ καὶ ἁμαρτωλοί, ἔτι καὶ ἔτι τῷ εἰρηνικῷ πνεύματι τὴν σὴν τιμίαν ψυχὴν ἐμπνέεσθαι, καὶ δοῦναι τῶν σωτηρίων καρπῶν τῆς εἰρήνης κοινῶς ἀπολαῦσαι Ῥωμαίους καὶ Βουλγάρους, εἰς δόξαν μὲν τοῦ οἰκείου ὀνόματος, εἰς δόξαν δὲ σὴν, τέκνον μου ἠγαπημένον ἀείμνηστον, καὶ εἰς αἰσχύνην τοῦ δαίμονος ὃς τῇ ἑαυτοῦ κακοτροπίᾳ ἐπὶ τοσούτοις ἔτεσιν ἐξέμηνε κατ᾽ ἀλλήλων, Χριστιανοὺς πρὸς Χριστιανοὺς, φίλους πρὸς φίλους, καὶ ἵνα συντόμως εἴπω, ἀδελφοὺς πρὸς ἀδελφοὺς, καὶ τέκνα πρὸς πατέρας. Ταῦτα εὐχόμεθα καὶ πεποίθαμεν καὶ Θεῷ καὶ τῇ σῇ ἀγαθῇ συνειδήσει, ὅτι οἱ τῆς εἰρήνης λογισμοὶ ἐν τῇ σῇ καρδίᾳ ὥσπερ νῦν φαίνονται ἀνατέλλοντες, οὕτω καὶ τὸ οἰκεῖον φῶς τέλειον διαυγάσουσιν. Ἐπειδὴ δὲ, τέκνον ἡμῶν, τὸ σὸν ἔλεγε γράμμα καὶ ἄνθρωπον ἀποσταλῆναι, δι᾽ οὗ ὁ τρόπος τῆς εἰρήνης τελείως σοι γνωρισθήσεται, πρὸς τὸ μηδαμῶς ἔτι ἀμφιβολίαν τινὰ ὑπάρχειν ἡμῖν, ἀπεστείλαμεν ἄνθρωπον ὃς τέκνον ἡμῶν οἰκεῖον καθέστηκε· καὶ γὰρ καὶ ὀνύχων ἐξ ἁπαλῶν ἡμῖν συνεγένετο, καὶ παρ᾽ ἡμῶν ἐκπεπαίδευται καὶ τοῦ ἀγγελικοῦ σχήματος ἠξίωται, καὶ τὸ εἶναι ἀρχιερεὺς ἐν ἁγίῳ Πνεύματι παρὰ τῆς ἡμετέρας ταπεινῆς χειρὸς ἐδέξατο, καὶ ἁπλῶς τοιοῦτό ἐστι τέκνον ἡμῶν

обича баща си и запазва дължимата към него обич, след като получи от него писмо, да не му отговори със свое писмо. Но, чедо мое, ако и да не си ни удостоил да ни пишеш, ние пак ти пишем, без да изменим ни най-малко поради това пренебрежение бащината си обич към тебе, но запазваме добрите си отношения към тебе и подобаващото бащинско разположение.

Ние случайно прочетохме писмото ти до императора и от него узнахме за това, че по божие изволение твоята човеколюбива и кротка душа има намерение да прекрати войната, да тури край на убийствата, да прекрати кръвопролитията и да възобнови отново мира между ромеите и българите, който е дарувал Христос и бог наш, общия отец и господар на всичко. [Тоя мир] изначалният човекоубиец — дяволът — се постара да наруши и вместо това наследие той се помъчи да тури българите и ромеите в тежко положение, поради което в настоящия живот настанаха много трудности и гибел, без надежда да се промени към по-добро. И тъй ние благодарим на бога, който е вложил такава мисъл в благоразумното ти и много разсъдително сърце, и се молим, ако и да сме грешници, той да вдъхнови твоята честна душа все повече и повече с миролюбив дух и да позволи на ромеи и българи общо да се наслаждават от спасителните плодове на мира за вечна слава на неговото име и за твоя слава, незабравимо и любимо чедо мое, за позор на демона, който със злобата си през толкова години враждебно настройва християни против християни, приятели против приятели и, накратко да кажа, братя срещу братя и чеда против бащи. Затова ние молим бога и се уповаваме на него и на твоята добра съвест, че мислите за мир постоянно, както и сега, ще се проявяват в твоето сърце и ще пръскат своята пълна светлина. Тъй като, чедо наше, твоето писмо съобщаваше за изпращането на човек, чрез когото да ти бъде съобщен точно начинът за сключване на мира, за да няма никакви недоразумения, ние изпратихме човек, който е наше собствено чедо. Той е живял с мене заедно от самото си детинство, от мене е възпитан и се е удостоил с ангелска одежда, приел е в името на светия дух от моята смирена ръка архиерейски сан, с една реч, той ми

οἷον ἐν νυκτὶ καὶ ἡμέρα πρὸ τῶν οἰκείων ἔχοντες ὀφθαλμῶν τὴν ἐπ᾽ αὐτῷ πνευματικὴν χαρὰν κεκτήμεθα.

Τοῦτον οὖν, ἐπειδὴ ἐπεζήτησας, ἄνθρωπον πιστὸν καὶ μηδὲν ἔξω τῆς ἀληθείας φθέγγεσθαι εἰδότα, ἀπεστείλαμεν, ἵνα πᾶσαν τὴν ἀλήθειαν ἁπλῶς καὶ ἀπανουργεύτως παρ᾽ αὐτοῦ μάθῃς, ὅπως περὶ τῆς σὺν Θεῷ μελλούσης ἔσεσθε εἰρήνης οἵ τε λαχόντες τοῦ βασιλεύειν, καὶ πᾶσα ἡ σύγκλητος αὐτῶν, καὶ βουλὴν ἔθεντο, καὶ τὴν βουλὴν εἰς ἔργον μέλλουσιν ἄγειν, εἰ μή τι αὐτὸς τέκνον ἡμῶν, ὅπερ μὴ δοίη Θεὸς, ἄλλο τι διανοηθείη ἐμπόδιον τῇ εἰρήνῃ ἐσόμενον. Ἀλλὰ ταῦτα μὲν οὐκ ἐπὶ τοσοῦτον. Αὐτὸν δὲ τὸν πάντων Κύριον καὶ Θεὸν καὶ βασιλέα ἐνορκίζομέν σε τοῦ μὴ κατασχεῖν αὐτὸν, μηδὲ λυπῆσαι τὸ γῆρας ἡμῶν ἐπὶ τῇ κατασχέσει αὐτοῦ, ἀλλὰ μέχρι πέντε καὶ δέκα ἡμερῶν ἃ βούλει περὶ τῆς εἰρήνης ἀνακοινώσασθαι αὐτῷ, καὶ, τῆς πεντεκαιδεκάτης ἡμέρας τὸ τέλος λαμβανούσης, ἀκωλύτως, ἀλύπως, ἀβλαβῶς, ἀποστεῖλαι αὐτὸν πρὸς ἡμᾶς. Ναὶ, τέκνον μου, αὐτὸν δυσωπήθητι τὸν οὐρανοῦ καὶ γῆς Ποιητὴν, τὴν ἡμῶν τῶν ταπεινῶν πρὸς σὲ στοργήν. Προσθήσομεν εἰ βούλει καὶ τὴν λειτουργίαν, ἣν λειτουργοῦμεν παριστάμενοι τῷ θυσιαστηρίῳ τοῦ Θεοῦ· ναὶ δὴ καὶ τὸ ταπεινὸν ἡμῶν γῆρας, καὶ μὴ λυπήσῃς ἡμᾶς· ἐν Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι τῇ τῶν ὅλων δημιουργῷ Τριάδι, δεσμὸν ἐπιβάλλομεν σοι· μηδὲ ποιήσῃς ἡμᾶς στενάζειν διὰ παντὸς κατὰ σοῦ καὶ προσεντυγχάνειν Θεῷ μέχρις ἂν ἐν τῇ ζωῇ ταύτῃ ἀναστρεφώμεθα, καὶ τὴν ματαιότητα τῶν ἀνθρωπίνων πραγμάτων ἀναθεωροῦντες ὑπάρχωμεν. (XXII, col. 148 B—149 C)

е такова чедо, щото, като го имахме нощем и денем пред очите си, чрез него получавахме духовна радост.

Тъй като ти именно пожела такъв човек, ние изпратихме верен и истинен човек, за да узнаеш от него просто и без хитрости цялата истина за това, как се отнасят към очаквания с помощ божия мир управителите на държавата, целият им сенат, които вече са взели решение и имат намерение да го изпълнят, ако ти сам, чедо наше, — което да не дава бог, — не си намислил нещо друго, което да попречи на мира. Но едва ли може да се боим от това. В името на самия господар на всичко, бога и царя, заклеваме те да го не задържаш и с това да не оскърбиш нашата старост, но да му съобщиш в продължение на петнадесет дни всичко, което ти искаш, относно мира, и след изтичането на петнадесетия ден безпрепятствено и без оскърбление да го изпратиш назад при нас невредим.[1] Да, чедо мое, убой се от самия създател на небето и земята и се засрами от любовта на нашето смирение към тебе. Ние от своя страна, ако искаш, ще добавим и литургия, която ние отслужваме, застанали пред божия олтар, а също добавяме и смирената ни старост; и не ни огорчавай. Ние те обвързваме в името на отца и сина и светия дух и на животворящата Троица, създателка на всичко. Не ни принуждавай постоянно да ридаем заради тебе и да прибягваме към бога, докато още се движим в този живот и ни е позволено да гледаме суетността на човешките дела.

21. Ad eundem

Τῷ αὐτῷ

Ἐγὼ καὶ πρότερον ἔγραφον τῇ τιμιότητι σου, τέκνον ἡμῶν, καὶ γράφων παρειχόμην πληροφορίαν τῇ συνέσει σου, ὅτι οὐχ ἕνεκεν τῆς τῶν Ῥωμαίων κακώσεως, ἀλλὰ χάριν τῆς κοινῆς σωτηρίας Βουλγάρων καὶ Ῥωμαίων τοὺς λόγους ποιοῦμαι· καὶ τότε ἴσως ἐδόκουν ἄπιστα λέγειν ὑμῖν, καὶ νῦν δὲ γράφω τῆς αὐτῆς προαιρέσεως ὑπάρχων, καὶ τὴν αὐτὴν ἔχων κηδεμονίαν ὑπὲρ ἑκατέρου γένους, Βουλ-

До същия

И по-напред бях писал аз на твоя честност, чедо наше, и в писмата си уверявах твое благоразумие, че аз говоря не заради нещастието на ромеите, но заради общото спасение на българи и ромеи. И може би тогава речта ми да ви се е показала, че не заслужава доверие, а и сега аз пиша със същото намерение, като имах същата грижа и за двата народа, сиреч за българите и ромеите, та ако е възможно, поне сега

[1] Византийското правителство, изглежда, повярвало на предложението за мир от страна на цар Симеон и затова изпратило специален пратеник.

γάρων φημὶ καὶ Ῥωμαίων· ἵνα εἰ δυνατὸν, ὅπερ ἐξ ἀρχῆς ἔδει γενέσθαι ἐπηρείᾳ δὲ τοῦ δαίμονος οὐ γέγονε, κἂν νῦν δέξηται γένεσιν. Ποῖον δὴ τοῦτο; Φημὶ τῆς εἰρήνης τὸ μέγα πρᾶγμα, τὸ ἀγαπώμενον καὶ τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν, καὶ πρὸς συμφέρον ἐσόμενον τοῖς μέχρι τοῦ παρόντος ἐλεεινῶς καὶ ἀθλίως τὸν βίον διεξανύσασι, τὸ λῆξαι τῶν αἱμάτων τὰς χύσεις ὅσαι παρὰ Χριστιανῶν εἰς Χριστιανοὺς ἐνεργοῦνται. Καὶ ταῦτα ἔγραφον μὲν πρότερον, ὡς εἶπον, μετ᾽ ὀδύνης καρδίας, καὶ νῦν ἐπιστέλλω μετὰ κέντρου τῆς ὀδύνης πληκτικωτέρου. Πόθεν δὲ τὸ αἴτιον τοῦ νῦν σφοδροτέρῳ πλήττεσθαι ἡμᾶς κέντρῳ ἄκουέ μου, ἠγαπημένε· συγκίνησις δυνατωτάτη, ὅσον ἔστιν ἐμὲ ὑπολαβεῖν, ἐκ τῆς βασιλικῆς σπουδῆς κατὰ τῆς ὑμετέρας ἐξουσίας καὶ τοῦ σοῦ γένους, ἢ παρεσκεύασται, ἢ παρασκευασθήσεται, τῶν τε Ῥῶς, καὶ σὺν ἐκείνοις τῶν Πατζηνακιτῶν, ἔτι δὲ καὶ Ἀλανῶν, καὶ τῶν ἐκ τῆς Δύσεως, Τούρκων, πάντων ὁμοφρονησάντων, καὶ τὸν κατὰ σοῦ πόλεμον ἀραμένων.

Ταῦτα ἐπειδὴ ταῖς ἐμαῖς ἀκοαῖς προσῆλθον, ὅλως συνεχύθην, καὶ πλήρης ἐγενόμην δακρύων, καὶ τὰς ὀλίγας καί πονηρὰς τῆς ἐμῆς ζωῆς ἐμεμψάμην ἡμέρας, ὅτι πρὸς σύμβασιν τοιούτων πραγμάτων, καὶ τὴν ἐξ αὐτῶν ἀλγηδόνα τῆς ἐμῆς καρδίας παρέτεινεν ὁ βίος ἡμῶν, καὶ οὐ προαπολώλειν οὐδ᾽ ἀπῆλθον ἐκ τῆς παρούσης ζωῆς πρὶν ἢ ταῦτα γενέσθαι, καὶ ταῖς ἐμαῖς ἀκοαῖς τοὺς περὶ αὐτῶν προσελθεῖν λόγους· οὕτως οὖν διατεθειμένος καὶ τοῖς φιλοχρίστοις ἡμῶν βασιλεῦσιν, ἃ τὸ ἄλγος ἐμῆς ἐπέτρεπε καρδίας προσειπεῖν οὐκ ἀπώκνησα, καὶ πρὸς ὑμᾶς δὲ ἃ γράφειν προεθυμήθην γράφω. Ἃ μὲν οὖν πρὸς τοὺς ἐκ Θεοῦ λαχόντας τοῦ Ῥωμαίων βασιλεύειν γένους ἐφθεγξάμην, ἃ ἐδυσώπησα, ὅσην παραίνεσιν ἐποιησάμην, ταῦτά ἐστιν· ἐπισχεῖν τῶν ἐθνῶν ἐκείνων τὴν καθ᾽ ὑμῶν συγκίνησιν μακροθυμῆσαι, καὶ ἔτι ἐπὶ πᾶσιν οἷς ὑπέστησαν παρ᾽ ὑμῶν ἀνιαροῖς· μηδὲ τοσοῦτον κινηθῆναι πικρίᾳ ψυχῆς καὶ ἀγανακτήσει τυχόν εὐλόγῳ τοῦ τοσαύτην ἄμυναν πρὸς τὸ Βουλγάρων ἐπιδείξασθαι γένος, ὥστε παντὶ τρόπῳ φέρειν σπουδὴν τοῦ ἔθνη ἀθεΐᾳ συζῶντα συγκόπτειν ἐπιτρέψαι τοὺς ὀνόματι μὲν τοῦ Χριστοῦ καὶ Θεοῦ ὑμῶν ἐπικεκλημένους, ἀδελφοὺς δὲ καὶ τέκνα ὑπάρχοντα, εἰ καὶ διαβόλου ἐπινοήμασιν ὀλεθρίοις εἰς ἐχθροὺς καὶ πολεμίους κατέστησαν.

да се сбъдне това, което трябваше да стане още отначало, но поради злобата на демона не стана. А какво именно е то? Аз говоря за великото дело на мира, което е угодно на Христа и бога наш и ще бъде полезно за ония, които досега жалостно и бедствено влачеха живота си, а именно за прекратяването на кръвопролитието, извършвано от християни срещу християни. Писах аз за това и преди, като казах с болка на сърцето, а сега изпращам ти писмо с още по-тежка болка. Изслушай [ме], любими сине, защо аз сега съм уязвен от още по-силна болка. Защото, доколкото мога да разбера, поради императорското старание да се противопоставя срещу вашата власт и твоя народ подготвя се или пък ще се подготви твърде силно раздвижване на русите и заедно с тях на печенегите, па още и на аланите и на западните турки[1], които всички се споразумели и са започнали война срещу тебе.

Когато това дойде до моя слух, аз силно се смутих и се облях със сълзи, проклинах малкото и нещастни дни на живота си, загдето нашият живот се продължи до такива събития, а поради тях — до такова страдание на моето сърце и загдето предварително не погинах, нито се махнах от този живот, преди това да се случи и преди да дойдат до моя слух известията за тия неща. В такова състояние на духа аз не се поколебах да изкажа и пред нашите христолюбиви императори[2] всичко, което ми внуши скръбта на сърцето ми, а на вас пиша това, за което силно желая да пиша. А това, което казах на избраните от бога да царуват над ромейския народ и за което ги умолявах и толкова увещавах, е следното: да не позволяват да се разпростира нашествието на тези народи срещу вас, без да гледат злините, нанесени от вас; да не се предават до такава степен на злобата и ненавистта си, áко и под благовидния предлог, че се бранят от българския народ, но всякак да се стараят да внушат на тези племена, живеещи в безбожие, че те изтребват наречените братя и чеда по името на Христа и бога наш, макар че поради губителните внушения на дявола са станали врагове и неприятели.

---

[1] Западни турки били наричани маджарите. Вж. *Moravcsik*, Byzantinoturcica, II, p. 321. [2] По това време във Византия формално имало няколко императори (Константин VII Багренородни, Роман Лакапин и неговите синове Константин, Христофор и Стефан), но фактически властта била в ръцете на Роман Лакапин. Срв. *Ostrogorsky*, History, pp. 239 — 241.

Τοιαῦτα καὶ ὅσα ἄλλα περιττόν ἐστι τῷ γράμματι συντάττειν, πρὸς τοὺς φιλοθέους ἡμῶν ἐφθεγξάμην βασιλεῖς, καὶ τό γε φιλάνθρωπον αὐτῶν καὶ ἐπιεικὲς αὐτίκα τῶν ἡμετέρων προσέσχε λόγων, καὶ οὐκ ἀντεῖπον οὐδ' ἐφιλονείκησαν πρὸς ἡμᾶς τοῦ ἄμυναν γενέσθαι· πρὸς Βουλγάρους τοὺς οὕτω κακώσαντας τὴν Ῥωμαϊκὴν ἐξουσίαν, ἀλλὰ πρὸς τὴν ἐξ ἀρχῆς παρ' αὐτῶν ἐπιζητουμένην εἰρήνην ὅλην τὴν προαίρεσιν ὤφθησαν ἐπικλίναντες, καὶ εἶπον τοιαῦτα πρὸς ἡμᾶς· „Ὦ πάτερ καὶ ποιμὴν τῆς τοῦ Χριστοῦ ποίμνης, οὐκ ἐξέστημεν τῆς οἰκείας γνώμης, ὁπόσα δ' ἂν τὸ Βουλγάρων γένος εἰργάσατο εἰς ἡμᾶς χαλεπά, οὐδὲ λογιζόμεθα τὰ κεχυμένα παρ' αὐτῶν αἵματα τοῦ ἡμετέρου λαοῦ καὶ τὴν ἄλλην πανωλεθρίαν, ὅσην τῷ πονηρῷ δαίμονι ἐνεργούμενοι κατὰ τῶν ἡμετέρων εἰργάσαντο ὑπηκόων, οὐ μὴν ἀλλ' οὐδὲ τὴν καινοτομίαν ὅσην ὑπήστημεν ὑπὸ χρόνοις τοσούτοις εἰς τὴν τῶν νῦν ἀποκεκινημένων ἐθνῶν ἀποκίνησιν, οὐδ' ὅσα ἔτη μέλλομεν καινοτομεῖσθαι, εἰς ἀριθμοῦ λόγον ποιούμεθα. Ἀλλ' ἐπεὶ ταῦτα τὴν ἡμῶν διενοήθης παρακαλεῖν βασιλείαν, ἐκείνῳ εἰ βούλει ἐπίστειλον, ἀντὶ τοῦ πολέμου καὶ τῶν σφαγῶν τὴν εἰρήνην ἐπιζητῆσαι, καὶ εἴ γε λάβοις αὐτὸν τοῖς σοῖς πειθόμενον λόγοις, ἡμᾶς ἔχεις τῇ σῇ παρακλήσει μὴ ἀντιλέγοντας.“ Ταῦτα μὲν ἃ ἡ ἐκείνων χρηστότης, καὶ ἡ τοῦ καλοῦ πράγματος τῆς εἰρήνης ἔφεσις πρὸς τὴν ἡμετέραν ὑπεφθέγξατο δέησιν. Τὸ λοιπὸν ἐπὶ σὲ τέκνον ἡμῶν προβάλλομαι τὴν παράκλησιν, καὶ ὅπερ ἐξ ἀρχῆς, τοῦτο καὶ νῦν γράφω μετὰ θρήνων καὶ ὀδυρμῶν· ἀπόβλεψον πρὸς τὸ τῆς εἰρήνης ἀγαθὸν, ἀπόβλεψον πρὸς τὴν τοῦ σοῦ γένους σωτηρίαν, μηδ' ἐπιμείνης ἔπι τῇ κακίστῃ φιλονεικίᾳ, μηδὲ προτιμήσῃς τὰς σφαγὰς καὶ τὰ αἵματα, τὰς χηρείας, τὰς ἀπαιδείας, ἁπλῶς τῆς γῆς τὴν ἐρημίαν, τῶν καλῶν πραγμάτων καὶ ἡδίστων ὅσα ἐκ τῆς εἰρήνης Ῥωμαίοις περιγίνεται καὶ Βουλγάροις.

Γίνωσκε γὰρ φημὶ καὶ πάλιν εἴ τι ἐγὼ τὰ τῆς βασιλικῆς κινήσεως καθ' ὑμῶν κατενόησα πράγματα, πᾶν γένος οὐ μὴ λήξωσιν εἰς τὸν καθ' ὑμῶν ὄλεθρον συγκινοῦντες, οὔτε Τούρκους, οὔτε Ἀλανοὺς, οὔτε Πατζινακίτας, οὔτε Ῥῶς, οὔτε τὰ ἄλλα Σκυθικὰ γένη, μέχρις ἂν τὸ τῶν Βουλγάρων εἰς τέλος ἐξαπολέσωσι γένος. Καὶ οὐκ ἔχω πῶς ἐπὶ τοῦτο ἀμφίβολον ἀναλήψωμαι γνώμην, ὅτι μὴ πρὸς ἔργον ἢ καθ' ἑκάστην αὐτοῖς σπουδαζομένη μελέτη οὐκ ἀπο-

С такива и други подобни думи, за които излишно ще бъде да говоря в писмото си, аз се обръщах към боголюбивите наши царе и те поради своето човеколюбие и снизходителност веднага обърнаха внимание на думите ми. Те не възразиха и не се постараха да се защитят пред нас по отношение на българите, които са причинили толкова злини на ромейската държава, но се показаха благосклонни към търсения отначало мир и ни казаха следното: „Отче и пастирю на стадото Христово! Каквито бедствия и да ни е причинил българският народ, ние няма да отстъпим от собственото си решение; ние не държим сметка за пролятата от тях кръв на нашия народ и другата обща загуба, която те [българите], подбуждани от лукавия демон, са причинили на нашите поданици. Но ние даже не вземаме пред вид онова напрежение, което претърпяхме през толкова години при изгонването на отблъснатите вече племена, нито пък ония [промени], на които още ще трябва да се подложим. Но тъй като ти имаш желание да молиш нашата царска власт за това, то, ако искаш, извести му да поиска мир вместо война и убийства и, ако ти сполучиш да го убедиш със своите думи, ние няма да противоречим на просбата ти.“ Ето какво по добрината си и от стремеж към благото на мира те отговориха на нашата просба. Най-после и аз ще прибавя просбата си към тебе, нашето чедо, и ще пиша, както и преди, със сълзи и ридания. Погледни към благото на мира, погледни към спасението на своя народ, не упорствувай в това най-лошо съперничество, не предпочитай убийствата, кървите, овдовяването, безчадието, с една дума, опустошението на земята пред ония добри и приятни дела, каквито произтичат за ромеите и българите от мира.

Знай, повтарям, че ако аз колко годе съм разбрал смисъла на царското движение срещу вас, то те [императорите] няма да престанат да подбуждат за вашето погубване всеки народ — нито турците, нито аланите, нито печенегите, нито русите и други скитски племена — дотогава, докато последните не изтребят българския народ съвършено. Аз не зная защо би било съмнително моето предположение, че тяхната [на императорите] всекидневна усърдна грижа няма да се осъществи на дело. Ако да бях

βήσεται. Εἰ μὲν γὰρ ἑώρων τὰ σὰ πράγματα μετὰ τοῦ δικαίου τυγχάνοντα, καὶ πρὸς Θεοῦ ἀρέσκειαν προβαίνοντα, τάχα ἂν περὶ τῆς τῶν βασιλείων καθ᾽ ὑμῶν σπουδῆς καὶ τῆς ἐπικρατείας ἔσχον λογισμοὺς ἀμφιβόλους παρέχοντας, ὡς τυχὸν οὔτε τῶν ἐθνῶν ἡ συγκίνησις, οὔτε τὸ τῆς Ῥωμαϊκῆς βασιλείας ἐπιμελὲς καὶ πεφροντισμένον ἰσχύσει κατὰ Βουλγάρων, τῆς δικαιοσύνης συστρατευομένης ὑμῖν, καὶ τῆς ἄλλης παρὰ Θεοῦ παρ᾽ ὑμῶν θεραπευομένης ῥοπῆς. Ὅταν δὲ εἰς ἐνθύμησιν ἔλθω τῶν τοσούτων ἐκκλησιῶν τοῦ Θεοῦ τῆς καταστροφῆς, τῶν ἐπισκοπείων, τῶν μοναστηρίων, τοῦ φόνου τῶν ἱερέων, τῆς φθορᾶς τῶν παρθένων, τῶν μοναζόντων τῆς ὕβρεως, τίς ἐστι λογισμὸς, ὅτι ταῦτα παρόψεται ὁ Θεός; καὶ οὐχὶ τὴν μακροθυμίαν ἣν ἐπεδείξατο μέχρι τοῦ παρ ντος, ὡς φιλάνθρωπος, ὡς ἀνεξίκακος ζητῶν ἡμῶν τὴν ἐπιστροφὴν, οὐχὶ πρὸς ὀργὴν καὶ θυμόν τὸν κατὰ Βουλγάρων ἐπιστρέψει, καὶ τὴν ἐκδίκησιν τῆς τοσαύτης ἐπάξει μιαιφονίας; Ταῦτα, υἱέ μου ἀγαπητὲ, ὁ Θεὸς γὰρ οἶδεν ὅτι ἀγαπῶ ὑμᾶς, τὴν ταπεινήν μου σπαράσσει ψυχὴν, καὶ ὅτι μανθάνω καὶ νῦν τὴν τοσαύτην συγκίνησιν τῶν καθ᾽ ὑμῶν ἀποκεκινημένων ἐθνῶν· καὶ ἀλγῶ καθὼς ὑπὲρ τῶν Ῥωμαίων, αὕτω καὶ ὑπὲρ τῶν Βουλγάρων, μή ποτε φιλονεικούντων ὑμῶν καὶ ἔτι καὶ πολέμους ἐπιζητούντων ἀναλωθῆτε, οἷα πολλάκις συνέβη ἐν πολλοῖς ἔθνεσιν, αὔξησιν μὲν κατά χρόνους λαβόντων, τῇ δὲ φιλοπολέμῳ προαιρέσει τελείαν δεξαμένων ἀπώλειαν.

видял, че делата ти са съединени с правда и насочени за угода на бога, то аз по-скоро бих се усъмнил в старанието и силата на императора срещу вас, а именно че нито раздвижването на тези племена, нито обмислените и пресметнати мерки на ромейското царство ще могат да надвият българите, тъй като справедливостта воюва на ваша страна и изобщо волята божия ви благоприятствува. Но когато си спомня за разорението на толкова църкви божии, епископии, манастири, избиването на свещениците, насилието над девиците, поруганието на монасите, то с какво ще докажеш, че бог ще пренебрегне всичко това, че дълготърпението, което той е показал досега по своето човеколюбие и търпеливост, очаквайки нашето покаяние, няма да се преобърне в гняв и негодувание срещу българите и да навлече отмъщение за такова изтребление? Ето какво, обични ми сине, — богу е известно, че те обичам — терзае смирената ми душа, а също и това, че зная за толкова голямо раздвижване на народите против вас. Страдам както за ромеите, тъй и за българите, да не би, като си съперничите помежду си и търпите войни, да погинете, както често се е случвало с много народи, които са се засилвали за известно време, обаче поради наклонност към война окончателно са загивали.

Τοιαῦτα μὲν πολλὰ καὶ πολλάκις κατὰ τοὺς ἰδίους συνέβη καιρούς. Νῦν δὲ ἀπευχόμενος μὴ τοῦτο καὶ ἐφ᾽ ὑμῖν συμβῆναι, μηδὲ Χριστιανοὺς ὑμᾶς ὄντας πρὸς τοιοῦτον καταντῆσαι τέλος, ἐπὶ πᾶσιν οἷς προλαβὼν τὴν σὴν φρονίμην καὶ ἥμερον ψυχὴν ἐδυσώπησα, καὶ νῦν δυσωπῶ, καὶ ὡς παρὼν περιπτύσσομαι, καὶ ὡς υἱῷ ἠγαπημένῳ τὰ συμφέροντα παραινῶ τέκνον ἡμῶν, ἀρκετὸς ὁ χρόνος, ὃν ἐξωρχήσατο κατὰ τῶν Ῥωμαίων καὶ τῶν Βουλγάρων ὁ κοινὸς ἐπίβουλος καὶ ἐχθρὸς, ἱκανὴ παρ᾽ αὐτοῦ ἡ γενομένη ἐπήρεια, ἀρκεῖ τὰ μέχρι τοῦ παρόντος εἰς κοινὴν ἀπώλειαν γεγενημένα Βουλγάρων καὶ Ῥωμαίων, καὶ εἰς ἀλγηδόνα τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν οὗ τινος καὶ Ῥωμαῖοι καὶ Βούλγαροι σῶμα τυγχάνουσιν ὡς μιᾶς κεφαλῆς. Οἶδα ὅτι καθ᾽ ἑκάστην τοῖς ζωοποιοῖς νάμασι τῆς διδασκαλίας τῶν τοῦ μακαρίου Ἀποστόλου τὴν σὴν καλὴν καταρδεύῃ ψυχήν· „Μὴ νικῶ ὑπὸ τοῦ κακοῦ, ἀλλὰ νίκα ἐν τῷ ἀγαθῷ τὸ κακὸν, ὁ ἥλιος μὴ ἐπιδυέτω ἐπὶ τῷ παροργισμῷ ὑμῶν.“ Τί τοῦτο; πῶς ταῦτα μελετῶν; πῶς ἐκ παιδόθεν τούτοις ἐντραφείς; Οἶδα γὰρ ὅτι

Много подобни примери често са ставали в наше време. Сега обаче се моля да се не случи това и с вас, да не постигне и вас, християните, същият край, въпреки че аз съм молил по-рано благоразумната ти и кротка душа и сега пак [те] моля, като че ли съм при тебе и те прегръщам и те съветвам като любим син за онова, което е полезно. Чедо наше, доста вече време се е подигравал над ромеите и българите общият зломишленик и враг, достатъчно е злото, причинено от него, доста е и това, което досега се е извършило за обща гибел на българи и ромеи и за наскърбление на Христа и бога наш, чието тяло съставят ромеи и българи като под една обща глава. Зная, че ти всекидневно напояваш своята прекрасна душа с животворящата влага на учението на блажения апостол. „Не се оставяй да бъдеш победен от злото, но побеждавай злото с добро. Залезът на слънцето да не те сварва разневен! Какво значи това? Как разбираш ти това? Не си ли възпитан от детин-

ὥσπερ φυτὸν ἐν διεξόδοις ὑδάτων εὐθαλές, οὕτω καὶ ἡ σὴ ἐν τούτοις ἀνετράφη ψυχή. Διὰ τί τοσοῦτον ἐκράτησεν ἡ τῆς ψυχῆς πικρία; διὰ τί ἐπὶ τοσοῦτον ἐξέτεινεν ἡ ὀργή, καὶ βλέπειν ἐδώκαμεν τῷ ἡλίῳ ἐπὶ τοσοῦτον μακρὸν χρόνον τὰ ἐλεεινὰ ταῦτα θεάματα ὅσα τὰ κινούμενα ὅπλα μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων θεάσασθαι παρέσχεν αὐτῷ;

Ἀρκεῖ οὖν ὅσα μέχρι τοῦ νῦν ἐθεάσατο πονηρὰ καὶ χαλεπὰ πράγματα. Δεῖξον μεταβολὴν τὴν πρέπουσαν Χριστιανισμῷ καὶ τῇ σῇ φρονήσει ἐπιστράφηθι πρὸς τὴν ὁμαλὴν τῆς εἰρήνης τρίβον· κατάλιπε τὴν τραχεῖαν τοῦ πολέμου ὁδὸν καὶ ἀκανθοφόρον, μᾶλλον δὲ ἀνθρωποφθόρον, ἣν ὁ τοῦ ἐξ ἀρχῆς ἀνθρωποκτόνου καὶ πονηροῦ δαίμονος ὑπέδειξε φθόνος. Ἔτι καὶ νῦν ὁ φιλόχριστος βασιλεὺς ἕτοιμος τῷ συνδέσμῳ τῆς εἰρήνης ὡς υἱῷ σοι καὶ ἀδελφῷ συνδεδέσθαι, καὶ πάντα χαρίζεσθαι καὶ πράττειν ὅσα μετὰ τοῦ πρέποντος λόγου τὴν ὑμετέραν οἶδε θεραπεύειν ἐξουσίαν. Μὴ βουληθῶμεν ἐπιμένειν ταῖς ἐπιβλαβέσιν ἐπινοίαις· μηδὲ πρὸς τοσούτων πλῆθος ἐθνῶν ἑτοίμων ὄντων, ἢ τὰς ἑαυτῶν ἀφεῖναι ψυχάς, ἢ παγγενῆ ἐξολέσαι Βουλγάρους, προαιρεθῶμεν παρατάξεις συνιστᾶν καὶ πολέμους. Ἄδηλος ἡ τοῦ πολέμου ἔκβασις· μᾶλλον δὲ οὐκ ἄδηλος, ὅσον ἐστὶ καὶ ἀνθρωπίνως λογίζεσθαι, καὶ πρὸς τὴν τοῦ Θεοῦ δικαίαν νέμεσιν ἀφορῶντας ἐλπίζειν. Σκεψώμεθα τὸ ἀσφαλές, καὶ μὴ προπετῶς ἐμβῶμεν εἰς τὰς πρὸς ἐκείνους συμπλοκὰς καὶ τὰς μάχας καὶ τὰς σφαγάς, μή ποτε μετ' ἐκείνων τῆς νίκης γενομένης περιπέσῃς κινδύνοις καὶ πράγμασιν, ἐξ ὧν ὕστερον ἀπαντήσεται μὲν βλάβη καὶ αἰσχύνη καὶ μεταμέλεια. Οὐκ οἶδα δὲ εἰ καὶ μεταμελόμενος ἐπιτεύξῃ τινὸς τῶν δυναμένων παραμυθίαν τινὰ τῶν περιστοιχιζόντων χαλεπῶν περιποιήσασθαι ὑμῖν.

Ταῦτα, τέκνον ἡμῶν, ἔγραψα δακρύων καὶ ὀδυρόμενος καὶ ἀγωνιῶν καὶ φόβῳ πολλῷ συνεχόμενος, μή πως καταλάβοι τὸ Βουλγάρων γένος τοιαῦτα πάθη οἷα πολλοὺς κατέλαβε, δόξαντας μὲν πρὸς καιρὸν εὐτυχίαν τινὰ περιβαλέσθαι, μετέπειτα δὲ τῇ ἐσχάτῃ δυστυχίᾳ περιπεσόντας. Ἀφίημι τὰ παλαιά, καὶ ὧν ἐξ ἱστορίας καὶ ἀναγνώσεως τὴν γνῶσιν κεκτήμεθα, ἀλλ' ὅπερ νῦν γέγονε, πάντως δὲ νομίζω

ство в такова учение? Аз зная, че както добре разцъфтява дървото при изворите на водите, тъй и душата ти е възпитана в такова [учение]. Защо обаче толкова много надделява душевната злоба? Защо дотолкова се продължи гневът и толкова дълго време ние оставихме слънцето да гледа тези жалостни зрелища, които му дават възможност да вижда как между ромеи и българи се повдига оръжие?

И тъй доста лоши и ужасни работи е видяло досега слънцето. Покажи промяна, подобаваща на християнството и благоразумието ти; върни се пак по гладката пътека на мира, остави неравния и трънлив, а още повече и пагубен за хората път към войната, по който те е насочила завистта на изначалния човекоубиец и лукавия демон. И сега още христолюбивият цар е готов с връзките на мира да се съедини с тебе като със син и брат и да даде всичко и да извърши онова, с което би могъл да удовлетвори ваше господство, както е уместно. Да не настояваме да упорствуваме в пагубните си намерения, нито пък да предпочетем въоръжението и войната, когато едно толкова голямо множество от народи е готово или душата си да положат, или наистина да изтребят българите. Изходът на войната е неизвестен, но твърде добре е известно, доколкото е възможно по човешки да се разсъждава и очаква, че ние не ще избегнем справедливото божие наказание. Нека имаме пред вид сигурното и нека не започваме необмислено сблъсквания, сражения и убийства с тях, за да не се подложим, в случай че те спечелят победата, на опасности и такива обстоятелства, от които след това ще последва вреда, позор и разкаяние. Аз не зная дали ще намериш, дори ако почнеш да се разкайваш, някого от тия, които могат да ти дадат някакво утешение при бедствията, които те заобикалят.

Ето какво, чедо наше, аз написах със сълзи, ридание и стенание, понеже много се боя да не би да постигнат българския народ същите такива страдания, каквито постигнаха мнозина, които сметнаха, че за известно време се радват на някакво щастие, а след това изпаднаха в такова бедствие. Оставям настрана древните неща, за които знаем от четене на историята, но аз ще кажа само това, което сега се случи и което, разбира се,

καὶ μέχρι τῶν σῶν ἀκοῶν φθάσαι τὸν λόγον. Λέων ἐκεῖνος ὁ Τριπολίτης ὁ ἐπὶ τῇ ἁλώσει τῆς Θεσσαλονίκης διὰ τὰς ἁμαρτίας ἡμῶν ὄνομα κτησάμενος μέγα, καὶ ἀναβεβηκὼς πρὸς ὀφρῦν εἰς οἵαν οὐκ οἶδα εἴ τις ἄλλος ἐν ταῖς ἡμέραις ταύταις, ἐξεστράτευσε τοιαῦτα καυχησάμενος, ὡς „Μέχρι τῆς βασιλίδος ἀφίξομαι πόλεως, καὶ τυχὸν μὲν ἑλῶ ταύτην· εἰ δὲ μὴ τοῦτο, ἱκανόν μοι καυχήσασθαι ὅτι πρὸς τὴν βασιλίδα τῆς Ῥωμαϊκῆς ἐξουσίας παρεγενόμην πόλιν, καὶ βέλη κατ᾿ αὐτῆς ἐξεκένωσα.“ Ἀλλὰ γὰρ οὗτος ὁ τοιαύτην λαβὼν φαντασίαν, ὁ οὕτως ἐπηρμένος, ἤλασε μὲν μέχρις οὗ τοῦτον ἡ τοῦ Θεοῦ συνήλασε ψῆφος. Ἔστι δ᾿ ὁ τόπος νῆσος ἡ λεγομένη Λῆμνος· ἐκεῖ τοίνυν καταλαβὼν, καὶ φανταζόμενος οἷα ἐφαντάζετο, ἔτυχε τῆς παρὰ τοῦ Θεοῦ δικαίας ἀνταποδόσεως. Καὶ ὅρα μοι ὅσος ὁ χρόνος τῆς τοῦ Θεοῦ ἀνοχῆς καὶ μακροθυμίας, τέκνον μου ἠγαπημένον· καὶ γὰρ ὑπερήλασεν ἔτος που δέκατον καὶ ἐπὶ τοῦτο ἕβδομον ἢ ὄγδοον· ἀλλὰ γὰρ μετὰ τὴν τοσαύτην παρολκὴν τοῦ χρόνου, οὐκ ἐξέφυγε τοῦ Θεοῦ τὴν κρίσιν, οὐδ᾿ εἰς τέλος συνεχωρήθη τοῖς ματαίοις λογισμοῖς ἐγκαυχᾶσθαι. Πλοΐμου γὰρ στόλου νῦν ἐπ᾿ αὐτὸν ἐξαποσταλέντος, ἀπήντησεν αὐτῷ τοιαύτη ἀπροσδόκητος καταστροφὴ καὶ ἀπώλεια· καὶ γὰρ ὁ μὲν ἐν τῇ ῥηθείσῃ νήσῳ διέτριβε πορθῶν καὶ ληϊζόμενος ἀδεῶς τὰ κατὰ τὴν χώραν ἅπαντα ὡς ἐνόμιζε. Τούτου δὲ οὕτως διὰ τὰς ἡμετέρας ἐντρυφῶντος ἁμαρτίας καὶ φαντασιοσκοποῦντος τὰ τῶν οἰκείων λογισμῶν, καταλαμβάνει ὁ πλόϊμος τῶν Ῥωμαίων στόλος, καὶ πάντας ἐκεῖσε καὶ πλοῖα καὶ μαχητὰς, καὶ ἁπλῶς τὴν ἀγαρηνὴν ἐκείνην δύναμιν μετὰ τῆς ἄνωθεν εὐμενείας καὶ δικαίας τοῦ Θεοῦ ἐπιβλέψεως τῷ ὀλέθρῳ παρέδωκαν.

Ὁρᾷς, υἱέ μου ἀγαπητὲ, μετὰ πόσου χρόνου διάβασιν τὸν ἀλαζόνα καὶ ὑπέροφρυν ἐταπείνωσεν ὁ Θεός; Τοιαύτη γὰρ ἡ Θεία χρηστότης, ἡ φιλανθρωπία· οὐκ αὐτίκα τὴν αὐτοῦ ῥομφαίαν ἐπάγει κατὰ τῶν ἐπαιρομένων καὶ ἀλαζόνων, ἀλλὰ στίλβει μὲν αὐτὴν, ἐπέχει δὲ τὴν ἐπιστροφὴν ἀναμένων καὶ τὴν ἐπὶ τὰ χρηστότερα μεταβολὴν τῶν τέως ἀγαπώντων τὰ πλημμελῆ πράττειν, καὶ τὰ ἐκεῖνον λυποῦντα. Μὴ γένοιτο δὲ καὶ πρότερον ηὐχόμην καὶ νῦν

е дошло вече до твоя слух. Известният Лъв Триполит, който си придоби велико име с превземането на Солун[1] заради нашите грехове и с това се прочу повече, отколкото друг някой в наши дни, тръгна в поход, като се хвалеше със следните думи: „Ще дойда аз до царския град и може би ще го превзема; ако пък не, то доста ще бъде да се похваля, че съм ходил срещу столицата на ромейската държава и съм насочвал срещу нея стрелите си“. Обаче с такава мечта и самохвалство той нападаше дотогава, докато съд божи не се разрази над него. Има остров, наречен Лемнос. Там именно той, след като пристигнал и си въобразявал това, получил справедливо божие въздаяние. И виж сега, любимо ми чедо, колко време се продължава въздържанието и дълготърпението божие, защото от тогава се изминаха приблизително 17 или 18 години,[2] но и след изтичането на толкова време той не избягна божия съд, нито пък накрая му беше дадено да се хвали със своите суетни помисли. Когато срещу него беше изпратена въоръжена флота, него го постигна неочаквана катастрофа и гибел в това време, когато, пребивавайки на поменатия остров, той по своя обичай опустошаваше и плячкосваше безпощадно цялата страна. Докато по такъв начин поради греховете ни той се подиграваше и се предаваше на мечтанията си, настига го ромейската флота и по благоволение свише и по справедливо божие решение предава на погибел всичките намиращи се там кораби и войници, с една реч, цялата агарянска сила.[3]

Виждаш ли, любими ми сине, след изтичането на колко време бог усмири самохвалеца и горделивеца? Такава е божията кротост и човеколюбие. Бог изведнаж не отправя своя меч върху ония, които се въздигат и се гордеят, но блясва с него и го задържа, та да се обърнат и променят към това, което е по-добро, ония, които обичат да извършват и прегрешения и да го оскърбяват. Аз преди се молих, моля се и сега и постоянно

[1] На 31 юли 904 г. Солун бил превзет чрез неочаквано и дръзко нападение от арабски пирати, предвождани от византийския ренегат Лъв Триполит. Срв. тук стр. 184, бел. 1. [2] Поражението на Триполит при остров Лемнос е станало в края на август или началото на септември 922 г., а това писмо на патриарх Николай Мистик било написано след това — в края на 922 г. Вж. *Златарски*, Писмата..., СбНУК, XII, стр. 154. [3] Хората на Лъв Триполит били предимно от арабски произход, т. е. мюсюлмани (агаряни), затова тук се наричат *агарянска сила.*

εὔχομαι, καὶ διὰ παντὸς τὴν εὐχὴν ταύτην ποιήσομαι, τοιαῦτα ὑμᾶς καταλαβεῖν, ἀλλὰ παρασχεθῆναι μὲν ὑμῖν ὑπὸ Θεοῦ ἐπὶ λογισμὸν ἐλθεῖν τῆς ἀγάπης καὶ τοῦ πόθου τῆς εἰρήνης, ναὶ Χριστὲ Σῶτερ ἡμῶν καὶ Θεὲ, καὶ σβεσθῆναι μὲν τὴν ἔχθραν, ἀπελαθῆναι δὲ τὸν φιλοπόλεμον δαίμονα, καὶ διὰ τῆς ὑμετέρας ἐπιστροφῆς πρὸς τὰ καλὰ καὶ σωτήρια γενέσθαι ἀποστρόφους ἐκ τοῦ καθ' ὑμῶν πολέμου, τοὺς οὕτω συγκινηθέντας καὶ ἔτι συγκινεῖσθαι καθ' ὑμῶν μέλλοντας, καὶ ἀπειράτους συντηρηθῆναι ὑμᾶς πάσης βλάβης καὶ χαλεπότητος, ὅσην τοῦ πολέμου οἶδεν ἡ φύσις ἐπιφέρειν τοῖς ἐπὶ μοῖραν δυστυχεστέραν διὰ τῶν ὅπλων καταλυομένοις. (XXIII, col. 149 C — 157 B)

ще извършвам тая молитва: да не постигне и вас това същото, но бог да ви внуши и насочи към любов и желание за мир — да, Христе спасителю и боже наш — и да угаси враждата, а войнолюбивият дявол да бъде изгонен и чрез вашето обръщане към онова, което е добро и спасително, да бъдат отвърнати от войната срещу вас конните [народи],[1] които са раздвижени и ще се раздвижат срещу вас, та и вие да бъдете запазени от всякаква вреда и беди, причинявани обикновено от войната на ония, които чрез оръжието изпадат в по-нещастна участ.

22. *Ad eundem*

Τῷ αὐτῷ

Πολλάκις ἔγραψα πρὸς υἱὸν ἀγαπώμενον, ὡς πατὴρ ἐβουλόμην εἰπεῖν ἀγαπώμενος, ἀλλ' οὐ δίδως μοι τοιαύτην ἀναλαβεῖν παῤῥησίαν, καὶ τοῦτο φθέγξασθαι, δι' ἄλλην οὐδεμίαν αἰτίαν ὡς ἔοικεν, ἢ διὰ τὰς ἐμὰς ἁμαρτίας. Γράφω καὶ νῦν τὴν αὐτὴν σώζων τῆς ἀγάπης πρὸς σὲ, τέκνον ἡμῶν, διάθεσιν, καὶ τὴν αὐτὴν φροντίδα ἔχων ἐν τῇ ἐμῇ ταπεινῇ ψυχῇ περὶ τῆς δόξης καὶ τῆς σωτηρίας τῆς κοινῆς τοῦ γένους τῶν Βουλγάρων καὶ Ῥωμαίων ἀνέσεως, καὶ τῶν κακῶν ἀποπαύσεως. Οὐ δύναμαι δὲ σιωπᾷν ἐπὶ κοινοῖς πάθεσι, δι' ὧν οὐ μόνον ἡ παροῦσα ζωὴ τοῦ κοινοῦ γένους ἀφανίζεται Ῥωμαίων καὶ Βουλγάρων, ἀλλὰ καὶ ἡ μέλλουσα ζωὴ ἀλλοτρίους ἀποδείκνυσιν αὐτοὺς τῆς ἰδίας μετοχῆς, καὶ θάνατος καλύπτει οὐδέποτε λύσιν δεχόμενος· ἡ γὰρ τῆς τοῦ Θεοῦ βασιλείας ἔκπτωσις καὶ τῆς γλυκείας αὐτοῦ ἀπολαύσεως ἀποστέρησις, καὶ ἡ πρὸς κόλασιν αἰώνιον κατάκρισις· οἶδας, τέκνον μου ἀγαπητὸν, ὅτι θάνατός ἐστιν ἁμαρτωλῶν πονηρός. Διὰ τοῦτο καὶ νῦν ἐπὶ τὸ γράφειν κεκίνημαι, δεόμενος καὶ προσπίπτων, καὶ τῶν σῶν γονάτων ἁπτόμενος ἀκοῦσαι κἂν ὀψέ ποτε καὶ μὴ ἀτιμάσαι τὴν δέησιν ἡμῶν, ἀλλὰ παρασχεῖν Πατρὶ ταπεινῷ ἔτι παρόντι μοι ἐν τῷ βίῳ ἰδεῖν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων εἰρήνην, ἰδεῖν τὴν ἀνακοπὴν τῶν χριστιανικῶν αἱμάτων τῆς ἐκχύ-

До същия

Често съм писал до любимия си син — исках да кажа като любим баща, но ти не ми даваш да говоря с тебе тъй откровено и както ми се струва, не по друга някоя причина, а заради моите грехове. Пиша обаче и сега,[2] като спазвам същото разположение към тебе, чедо наше, и като имам в смирената си душа същата грижа за твоята слава, за общото спасение [и] успокоение на българите и ромеите и за прекратяването на бедствията. Аз не мога да мълча при общите страдания, от които не само сегашният живот на двата народа, ромеи и българи, се погубва, но и в бъдещия живот те ще бъдат лишени от своето наследие и безкрайна смърт ще ги покрие, именно ще отпаднат от царството божие, ще бъдат лишени от сладката наслада от него и ще бъдат осъдени на вечна мъка. Ти знаеш, любимо мое чедо, че смъртта на грешниците е лоша. И затова аз се заех сега да пиша, като прося и умолявам, обгръщам твоите колена, за да изслушаш, ако и късно, нашата просба и да не я пренебрегнеш, но да дадеш възможност на мене, смирения баща, докато съм още жив, да видя мир между ромеи и българи, да видя прекратяването на проливането на християн-

---

[1] Авторът има пред вид споменатите по-горе печенеги, алани и маджари. След като Одрин бил превзет в 922 г., нямало друга голяма крепост, която би спряла движението на българската войска към Цариград. Византийското правителство схванало опасността и, за да забави появяването на българите под стените на столицата, прибягнало до открити заплахи — че срещу България щели да бъдат насочени печенеги, алани, маджари и други племена. Вж. *Златарски*, Писмата... СбНУК, XII, стр. 155—156. — *Същият*, История, I, 2, стр. 440—442. [2] Настоящото писмо е било написано в началото на 923 г. Вж. *Златарски*, Писмата..., СбНУК, XII, стр. 162.

σεως ὑπὸ χριστιανικῆς δεξιᾶς ἐνεργουμένην. Καὶ μὴ βουληθῇς, υἱέ μου ἀγαπητέ, ἀπελθεῖν ἡμᾶς ἐκ τῆς παρούσης ζωῆς, ἤδη γὰρ εἰς τὸν τάφον προκύπτομεν, μετὰ τοῦ ἄλγους, μετὰ τοῦ σπαραγμοῦ τῆς ταπεινῆς ἡμῶν καρδίας, ὃν ἐπιφερόμεθα ἐπὶ τῇ τοσαύτῃ κακώσει τοῦ κοινοῦ λαοῦ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, ἐπὶ τῇ τοσαύτῃ οὐκ οἶδα πόθεν ποινηλασίᾳ, ἣν ὁ πονηρὸς δαίμων ἐμβαλὼν εἰς τὸ μέσον οὐ δύναται κόρον λαβεῖν τῆς ἀφορήτου κακώσεως.

Μὴ βουληθῇς, καὶ πάλιν φημί, τὸ ἀπελθεῖν ἡμᾶς τοὺς πενοὺς ἐκ τοῦ παρόντος βίου κεκακωμένους, καὶ τὴν ψυχὴν ὅλην διεσπαραγμένους ἐπὶ ταῖς κοιναῖς συμφοραῖς, αἳ, χρόνος ὁρᾷς ὅσος, Ῥωμαίους καὶ Βουλγάρους διαμερίζονται. Ἀλλὰ τὸ μὲν ἐμὸν τοιοῦτον· δὸς δέ μοι καὶ περὶ σοῦ εἰπεῖν ἀλύπως καὶ ἀνεπαχθῶς, καὶ μηδὲν ἐφ' οἷς λέγομεν ἀγανακτήσῃς. Ἀστάθμητός ἐστιν ἡ ἀνθρωπίνη ζωή, τέκνον ἡμῶν· οὐ μόνον οἱ γεγηρακότες οἷος ἐγὼ ὑπὸ τοῦ θανάτου ταχέως καταλαμβάνονται, ἀλλὰ καὶ πολλοὶ τῶν ἀκμαζόντων ἐν αὐτῇ τῇ ἀκμῇ τοῦ θανάτου τῷ δρεπάνῳ ὑπέπεσον, καὶ ἐν αὐτῷ τῷ ἄνθει τῆς ἡλικίας διεδέξατο τὸ ἀνθηρὸν ἡ τομή. Τίς οἶδεν εἴ γε οἷα πολλὰ τὰ ἀνθρώπινα καὶ ἐπὶ τῆς ὑμῶν θεοτιμήτου ἀρχῆς καὶ ἐξουσίας συμπεσεῖται; Εἶτα προσθήσω γὰρ καὶ τοῦτο τῆς σῆς ψυχικῆς φροντίζων καὶ σωτηρίας καὶ τῆς ἐν τῇ μελλούσῃ βιοτῇ ἀναπαύσεως· „Τί ὠφελήσει ἄνθρωπον, ἐὰν τὸν κόσμον ὅλως κερδήσῃ, καὶ τὴν ψυχὴν αὐτοῦ ζημιωθῇ;" Τίς δὲ ἀμφιβάλλει, θεοτίμητέ μου υἱέ, ὅτι ἀδελφὸς ἀδελφὸν ἀποκτείνας, οὐ ζημιοῦται τὴν οἰκείαν ψυχήν; Ἐνθυμήθητι οὖν τὴν ἐν Χριστῷ ἀδελφότητα Βουλγάρων καὶ Ῥωμαίων, καὶ ὅσοι ἀδελφοὶ ἐξ ἑκατέρου γένους ὑπὸ ἀδελφικῆς ἐσφάγησαν δεξιᾶς.

Καὶ τούτων οἴδαμεν ὡς ἑαυτὸν ἔξω ποιεῖς αἰτίας, καὶ λέγεις ἄλλους ἄρξαι τῶν τοσούτων κακῶν· καὶ ἀληθῆ λέγεις καὶ ἡμεῖς ὁμολογοῦμεν, ὡς ἀνθρώπων ἀφροσύνη τῶν κατὰ καιροὺς εἰς τοῦτο συνελαθέντων ὑπὸ τοῦ δαίμονος παρέσχε τοῦ πολέμου τὴν αἰτίαν. Ἀλλ' ἐκείνους μὲν ἡ θεία δίκη δικάσασα ὡς ἐβούλετο, τῶν πεπραγμένων ἀπῄτησε τὴν ποινήν, σοὶ δὲ παρέσχετο πολλαπλασίονα ὧν ἔπαθες ἀντιδράσαι αὐτούς. Ἀρκεσθῶμεν, τέκνον ἡμῶν, μέχρι τοῦ νῦν εἰς κοινὴν βλάβην διαπεπραγμένοις· οὐ κατὰ ἀσεβῶν ὁπλίζῃ, οὐ κατ' ἐχθρῶν τοῦ

ска кръв извършвано от християнска десница. Не пожелавай, любезни ми сине, ние, които вече се приближаваме към гроба, да се разделим от настоящия живот със страдание и терзание на нашето смирено сърце, което ние понасяме поради такова голямо бедствие на общия народ на Христа и бога наш, поради такова велико — не зная защо — наказание, което лукавият демон наложи на нас, без да може да се насити в непоносимата си злоба.

Не пожелавай, повтарям, щото ние, смирените, да се разделим от настоящия живот обидени и изтерзани в цялото си сърце заради общите бедствия, които ти виждаш, че вече от толкова време разделят ромеи и българи. Това е тъй, колкото се отнася до мене. Позволи ми да кажа и за тебе без докачение и омраза и никак не се сърди за това, което казвам. Неустойчив е човешкият живот, чедо наше! Не само остарелите вече като мене бързо биват грабвани от смъртта, но и мнозина, пълни със сила, в цветущата си възраст са падали под косата на смъртта. Нейният удар унищожава в разцвета на годините всички техни сили. Кой знае какво според общата човешка съдба ще се падне и на твоята богочтима власт и сила? Сетне, като се грижа постоянно за твоето душевно спасение и упокоение в бъдещия живот, ще добавя и следното: каква полза за човека, ако спечели цял свят, а погуби душата си? Кой се съмнява, богочтими ми сине, че брат, като убива брата си, вреди на собствената си душа? И тъй, спомни за братството во Христе между ромеи и българи и за това, колко много братя от двата народа са били избити от братска десница!

Аз зная, че ти снемаш от себе си вината и казваш, че други са турили начало на тези толкова големи бедствия. Ти казваш истината и ние признаваме, че безумието на ония хора,[1] които бяха подбудени към това по внушение на дявола, даде повод за война. Но съдът божи, като ги наказа, както трябваше, поиска наказание за техните дела, на тебе пък беше предоставено многократно да им отплатиш за онова, което претърпя. Нека се задоволим, чедо наше, с това, което досега се извърши за обща вреда! Ти се въоръжаваш не срещу не-

[1] Тук става дума за управниците на Византия, преди Роман Лакапин да вземе властта.

σταυροῦ τοῦ Χριστοῦ, οὐ κατ᾿ ἐθνῶν μὴ εἰδότων τὸ ὄνομα τοῦ Θεοῦ, ἀλλὰ κατὰ πατέρων, κατὰ ἀδελφῶν, ἁπλῶς, κατὰ συγγενείας, ἣν οὐ σὰρξ καὶ αἷμα, ἀλλὰ τὸ πανάγιον Πνεῦμα ἥνωσε τοῦ Θεοῦ. Ἕως πότε χορεύειν τῷ διαβόλῳ καὶ τοῖς αὐτοῦ παρέξομεν δαίμοσιν; Οὐκ ἀγνοεῖς δὲ ὅτι χορείαν ἐκεῖνος συνίστησιν ἐπὶ τῇ τῶν Χριστιανῶν πρὸς ἀλλήλους ἐκπολεμώσει καὶ τῇ τῶν αἱμάτων αὐτῶν ὑπ᾿ ἀλλήλων γινομένῃ χύσει. Καὶ σιγῶ τὰ λοιπά, τῶν Ἐκκλησιῶν τὴν ἀπώλειαν, τῶν μοναζόντων τὸν σκεδασμόν, τῶν παρθένων τὴν διαφθοράν, τῶν γινομένων ὕμνων καὶ δοξολογιῶν ἐν τοῖς ἱεροῖς ναοῖς τὴν ἀπόσβεσιν. Ἕως πότε τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν τῷ διὰ τὴν ἡμῶν σωτηρίαν πτωχεύσαντι, τῷ ὑβρισθέντι, τῷ σταυρωθέντι, καὶ τοῖς φιλανθρώποις ἀγγέλοις αὐτοῦ ὑπόθεσιν λύπης καὶ κατηφείας διδόαμεν; Ἢ ἀμφιβάλλεις, υἱέ μου, ἀλλ᾿ οἶδα ὅτι οὐκ ἀμφιβάλλεις, ὡς ἐπὶ τούτοις μεγάλην ὀδύνην, καί, ἵνα εἴπω, μείζονα τῶν ἐπὶ σταυροῦ ἥλων ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν ὑπομένει, καὶ σκυθρωπότης ἀσύγκριτος τὰς ἀγγελικὰς περιτρέχει δυνάμεις; Εἶ καὶ κρίμασιν οἷς εἶδε χρηστεύεται καὶ μακροθυμεῖ, καὶ τέως ἀνέχει τὴν τιμωρίαν, καὶ τὴν ἐστιλβωμένην αὐτοῦ ῥομφαίαν κατὰ τῶν λυπούντων οὐκ ἐπαφίησι.

Τί με δεῖ πλέον πρὸς ἄνθρωπον χάριτι Θεοῦ πεπληρωμένον φρονήσεως γράφειν; Οὐκοῦν ἐνταῦθα πεπαύσομαι· καὶ γὰρ εἰ μόνον βουληθείης πρὸς τὸ σὸν ἥμερον καί φιλάνθρωπον ἐπανελθεῖν, οὐ μόνον ταῦτα, ἀλλὰ πολὺ ἀνθρωπινώτερα καὶ κρείττονα κατὰ σεαυτὸν καὶ ἀνασκέψῃ, καὶ τὴν ἐξ αὐτῶν ὠφέλειαν ἀναθεωρήσεις. Διὰ τοῦτο προσκείσθω ἣν διὰ παντὸς ἀναφέρομεν εὐχὴν τῷ Θεῷ, καὶ πλέον οὐδέν· ὁ Θεὸς καὶ Πατὴρ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, ὁ εἰς τὸν κόσμον ἐξαποστείλας αὐτὸν ἵνα λύσῃ τὸ μεσότοιχον τῆς ἔχθρας διὰ τοῦ αἵματος τοῦ Υἱοῦ αὐτοῦ, καὶ εἰρηνοποιήσῃ τὰ πάντα, αὐτὸς καὶ νῦν βραβεύων εἰρήνην ἐν τῇ σῇ καρδίᾳ συντρίψοι τὸν Σατανᾶν ὑπὸ τοὺς πόδας ὑμῶν, καὶ στρέψοι τὴν ἀπὸ τῶν σκανδάλων γενομένην κάκωσιν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων εἰς τὴν ἐκείνου κεφαλήν· καὶ δοίη πάλιν τῷ συνδέσμῳ τῆς γλυκείας εἰρήνης ὡς τὸ ἀπ᾿ ἀρχῆς ἑνωθῆναι ὑμᾶς· καὶ ἀποκαθιστῶν εἰς τὴν πρέπουσαν πατράσι καὶ τέκνοις καὶ ἀδελφοῖς ἀγάπην τε καὶ στοργήν, οὕτως ἡμᾶς μὲν τῆς ταλαιπώρου ταύτης ἐξάγων ζωῆς, ὑμῖν δὲ μετὰ τῆς εἰρήνης μακρότητα ἡμερῶν παρέχων, καὶ τῆς ἐκεῖθεν αἰωνίου ζωῆς τὴν ἀπόλαυσιν. (XXIV, col. 157 C — 161 B)

честиви, не срещу врагове на кръста Христов, не срещу народи, които не знаят името божие, но срещу отци, срещу братя, с една реч, срещу родството, което са създали не плътта и кръвта, а пресветият дух божи. Докога ние ще позволяваме на дявола и на неговите демони да ликуват? Ти твърде добре знаеш, че той ликува, когато християните воюват един срещу друг и проливат братска кръв. Аз ще премълча другото: разрушаването на църквите, разпръсването на монасите, обезчестяването на девиците, прекъсването на песнопенията и славословията в свещените храмове. Докога ние ще причиняваме скръб и печал на Христа и бога наш,който е приел заради нашето спасение образ на беден, поруган и разпнат на кръст? Докога ние ще наскърбяваме неговите човеколюбиви ангели? Нима ти се съмняваш, сине мой (но аз зная, че ти не се съмняваш), че поради това Христос и бог наш претърпява голямо страдание и, нека кажа, много по-голямо, отколкото от гвоздеите на кръста, и че несравнима тъга обзема ангелските сили? Обаче той по своето решение, което сам знае, още е добър и дълготърпелив, та и досега сдържа наказанието и не повдига своя огнен меч върху тия, които го наскърбяват.

Какво повече трябва да пиша на човек, който по милост божия е изпълнен с благоразумие? И тъй тук ще прекъсна, защото, ако ти само би пожелал да се възвърнеш към кротостта и човеколюбието си, ти би постигнал не само това, но и нещо много по-добро и по-съгласно с човешката природа и би извлякъл полза от това. Затова нека бъде приложена молитвата, която ние винаги възнасяме към бога, и нищо друго: нека бог и отец на господа наш Исуса Христа, самият той, който го е пратил в света, за да разруши с кръвта на сина си преградата на враждата и да въдвори мир във всичко, нека той и сега, като даде мир на твоето сърце, да съкруши сатаната под вашите нозе, да обърне върху главата му злобата, която възникна между ромеи и българи поради неговите съблазни, и да даде пак да се съедините чрез връзката на сладкия мир, както това беше отначало. И като възстанови той подобаващата на бащи, деца и братя любов и обич, тогава да ни изведе от този тежък живот, а на вас да даде заедно с мира дълголенствие, а и благоденствие в отвъдния живот.

23. Ad eundem

Τῷ αὐτῷ

Ὅπερ ἐν ταῖς κοιναῖς συντυχίαις ὁρῶ συμβαῖνον, τέκνον μου θεοτίμητον, ὅταν πολλάκις θόρυβος προσπίπτων ταῖς ἀκοαῖς τὸν λόγον τοῦ προσομιλοῦντος οὐ συγχωρεῖ ἐξακούεσθαι τοῦτο καὶ ἐφ᾽ ἡμῶν γινόμενον κατανοῶ. Καὶ γὰρ καὶ νῦν ὡς ἔοικεν ὁ θόρυβος τῶν ἐμῶν ἁμαρτιῶν ἀποκωλύει τοὺς λόγους ἡμῶν ταῖς σαῖς προσελθεῖν ἀκοαῖς, καὶ δι᾽ αὐτῶν εἰς τὴν ἥμερόν σου καὶ φιλάνθρωπον ψυχὴν διελθεῖν. Εἰ γὰρ μὴ τοῦτο ἦν, πῶς ἔχει λόγον τὰς τοσαύτας ἡμῶν δεήσεις ὑπὲρ τοῦ καλοῦ καὶ συμφέροντος Βουλγάροις καὶ Ῥωμαίοις ἀνηνύτους μέχρι καὶ σήμερον διαμεῖναι; Πλὴν καὶ οὕτως ἔχοντος τοῦ πράγματος, ἐπειδὴ ἀνάγκη μοι ἐπίκειται μὴ σιωπᾶν, οὐαὶ γάρ μοι ἐστὶν ἐὰν τὸ μεσιτεύειν ὑπὲρ τῆς εἰρήνης καταλείψω, καὶ πάλιν γράφω καὶ οὐ παύσομαι γράφειν, ὥσπερ οὐδὲ τοῦ δέεσθαι τοῦ Θεοῦ, μέχρις ἂν αἱ ὀλίγαι τῆς ζωῆς ἡμῶν ἡμέραι διατρίβειν ἡμῖν ἐν τῷ πάροντι βίῳ διδόασι.

Τέκνον ἐμόν, σπλάγχνον ἐμόν, υἱὲ ποθεινότατε, μετὰ τῆς ἄλλης ἣν ἔχεις τῶν σῶν πράξεων ἀναθεωρήσεως, καὶ τοῦτο ἐπίσκεψαι, ὅτι ἀφ᾽ οὗ τὸ Βουλγάρων γένος τὸν αὐχένα ὑπέκλινε τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν, δεύτερος σὺ τυγχάνεις ὁ τούτων δεσποτείαν ἐγκεχειρισμένος. Καὶ δίκαιόν ἐστιν ὥσπερ κληρονόμος γέγονας τῆς ἀρχῆς τοῦ σοῦ μακαρίου πατρός, οὕτω καὶ τῆς ἐκείνου κληρονόμον εἶναί σε εἰρηνικῆς ψυχῆς, καὶ τῆς ἄλλης χριστιανικῆς καταστάσεως. Ἐκεῖνος ἔπηξε σὺν Θεῷ τὸν θεμέλιον, σὲ πρέπον ἐστὶν οἰκοδομεῖν, ἀλλ᾽ οὐχὶ καταλύειν, οὐδὲ τὸν θεμέλιον ἐξορύσσειν· ἐκεῖνος συνέδησε τὸν δεσμὸν τῆς πρὸς Ῥωμαίους ἀγάπης, σὺ ὀφείλεις συσφίγγειν, ὅση δύναμις, ἀλλ᾽ οὐχὶ διατέμνειν· ἐκεῖνος διὰ τῆς ἄνωθεν ἐπιπνοίας ἀπέστρεψε τὰ ὅπλα τῆς κατὰ Χριστιανῶν σφαγῆς, σὺ ὡς τιμῶν τὸν πατέρα, ὡς ἐκείνου ὑπάρχων γνήσιος υἱὸς καὶ κληρονόμος τοῦ φιλοθέου τρόπου, ὀφείλεις παντελῶς αὐτὰ ῥίπτειν ὡς ἀχρησίαν τῆς τοιαύτης ἐνεργείας. Ταῦτο προσῆκόν ἐστι φρονεῖν τῇ σῇ μεγαλοδόξῳ

До същия

Това, което аз виждам, мое богочтимо чедо, че става в обществените събрания, когато често пъти шумът, като поразява слуха, не позволява да се чуе речта на говорещия, това същото, аз мисля, става и с мене. Сега, както ми се струва, шумът на моите прегрешения пречи на речите ми да достигнат до твоя слух и чрез него да дойдат до кротката ти и човеколюбива душа; понеже, ако не беше така, как може да си обясним, че толкова много наши просби за благото и ползата на българи и ромеи до днешен ден остават неизпълнени? Но тъй като работата се намира в такова положение и тъй като върху мене лежи обязаност да не мълча (горко ми, ако престана да ходатайствувам за мир), аз пак пиша и не ще престана да пиша, както не ще престана да моля бога дотогава, докато малкото дни от нашето съществуване ми позволяват да остана още в този живот.

Чедо мое, сърце мое, сине мой пережелани, със свойствената на тебе строгост към действията си вземи пред вид и това, че откак българският народ е преклонил врат пред Христа и бога наш, ти си вторият от ония, които са получили власт над него.[1] И справедливо е, както си станал наследник на властта на блажения си баща,[2] така да бъдеш наследник и на неговата миролюбива душа и на другите християнски качества. Той с божия помощ положи основата, на тебе пък подобава да градиш (по-нататък), а не да разрушаваш, нито да подкопаваш основата. Той завърза връзки на любов с ромеите, а ти пък трябва да ги затегнеш, доколкото имаш сила, а не да ги скъсаш; той по внушение свише отвърна оръжието от убийствата на християните, а ти като почиташ баща си и си негов роден син и наследник на неговия боголюбив нрав, длъжен си съвсем да го захвърлиш като вредно нещо. Това, що трябва да мисли твоята велеславна добродетел, това трябва да пра-

---

[1] Очевидно патриарх Николай Мистик смята цар Симеон за втори християнски владетел на България, след Борис, като прескача управлението на Владимир (889 — 893). Златарски (Писмата ..., СбНУК, XII, стр. 164, бел. 1) предполага, че причина за това е краткото управление на княз Владимир или пък че през неговото царуване не се е случило някакво събитие в отношенията между България и Византия. По-вероятно е управлението на Владимир да се игнорира поради опита му да възвърне езичеството. [2] Т. е. на княз Борис (852 — 889).

ἀρετῇ, τοῦτο ποιεῖν καὶ χωρὶς τῆς ἑτέρωθεν παρακλήσεως, ἀλλ᾽ οὐχὶ τοιαῦτα οἷά περ νῦν ἐλεεινὰ πράγματα γίνεται. Ἐρωτῶ σε, τέκνον ἐμὸν, καὶ ἀποκρίθητι ἀξίως τῆς σῆς ἐπιεικείας καὶ ἀγαθότητος· εἰ τῷ βίῳ ἔτι παρῆν ὁ νῦν μετὰ τῶν ἁγίων ἐν οὐρανοῖς συνδιαιτώμενος, καὶ ταῦτα ἑώρα σε διαπραττόμενον καὶ τὰς σφαγὰς καὶ τοὺς πολέμους ἐνεργοῦντα, τίνας ἂν ἔφη πρὸς σὲ λόγους; Πῶς οἴει τοῦτον διατεθεῖσθαι τὴν ψυχήν. Ἆρ᾽ οὐκ ἂν ἐπληροῦντο δακρύων; Οὐχί σκυθρωπότητος ἐγεγόνει πλήρης καὶ κατηφείας, καὶ ἀβίωτον εἶχε τὸν βίον; οὐχὶ τὰς τιμίας τρίχας τῆς κεφαλῆς καὶ τοῦ πώγωνος τίλλων ἀμφοτέραις χερσὶ μετὰ θρήνου τοιαῦτα ἐκέκραγε· Τί ποιεῖς, τέκνον ἐμόν; τί τὴν δόξαν ἡμῶν καθαιρεῖς; Τί τὸ ἔργον ὃ σὺν Θεῷ εἰργασάμην, καὶ ἐφ᾽ ᾧ τὸ καύχημα ἦν ἐμοὶ καὶ σοὶ καὶ παντὶ τῷ ἡμετέρῳ γένει καταλύεις; Τί τοὺς ἡμετέρους ἀγῶνας δι᾽ ὧν ὁ σύμπας τῶν ἀνθρώπων βίος ἔμελε μακαρίζειν ἐμέ τε καὶ τὴν ἐμὴν γενεὰν κενοὺς ἀπεργάζῃ, καὶ ζημίαν οὕτως ἀσύγκριτον σεαυτῷ καὶ ἡμῖν ἐπάγεις;

Τι οὖν; Εἰ μὲν ἐνταῦθα παρῆν καὶ σὺν ἀνθρώποις εἶχε τὴν διαγωγὴν, οὕτως ἂν διετέθη, καὶ τοιαῦτα θρηνῶν ἐκεκράγει· νῦν δὲ τοῖς ἁγίοις συνὼν καὶ Θεῷ παριστάμενος, καὶ πολλῆς ἀποδοχῆς ἠξιωμένος ἕνεκεν τοῦ ἔργου, ὃ μετὰ Θεὸν Βουλγάροις εἰργάσατο, καὶ τοῦ θεμελίου τῆς πίστεως, καὶ εἰκότως ἐπ᾽ αὐτῷ σεμνυνόμενος, καὶ τῶν νῦν ἐναντίων πραγμάτων λαμβάνων τὴν αἴσθησιν, πάντως δὲ οὐκ ἀμφιβάλλεις, τέκνον ἐμὸν, ὡς ἔστι τοῖς ἐκεῖθεν βιοῦσιν ἁγίοις ἡ τῶν ἐν κόσμῳ γινομένων αἴσθησις, οὐ πολλῷ πλέον καί τοι λύπης ἁπάσης, ἀνωτέρας τῆς ἐκεῖθεν ζωῆς τυγχανούσης, ὀδυνήσεται, καὶ μεταξὺ τῆς ἀνεκδιηγήτου ἐκείνης φαιδρότητος σκυθρωπάζων ὀφθήσεται: Τοῦτο μὲν, καὶ τὸ οἰκεῖον ἔργον ὑπὲρ οὗ τὴν ψυχὴν αὐτὸς ἔθηκεν, εἰ καὶ διὰ τῆς θείας δυνάμεως ὑπέρτερος γέγονε τῶν φονευτῶν· ταῦτο δὲ καὶ ὑπὲρ τοῦ οἰκείου τέκνου, ὑπὲρ οὗ δυσωπεῖ τὸν Θεὸν, πᾶν, εἴ τι καλὸν καὶ ἀρετῆς ἔνδειξιν ἔχον, παρσχεθῆναί σοι, καὶ μετὰ τοῦτο καὶ τῆς ἄνω δόξης προσεπικτήσασθαι τὴν κληρονομίαν. Αὐτὸν παρεῖναί σοι νόμιζε, τέκνον ἐμὸν, οὕτως ἐλεεινῶς διατεθειμένον, καὶ ἃ γράφομεν μὴ λόγους ἡμετέρους εἶναι, ἀλλ᾽ ἐκεῖνον ὡς ἀληθῶς ταῦτά σοι δια-

ви и без чуждо наставление, а не да стават такива достойни за съжаление дела, каквито произлизат сега! Питам те, чедо мое, и ти ми отговори, както е прилично на твоята кротост и доброта: ако беше жив още онзи, който сега се намира при светиите на небето, и те види, че действуваш така и вършиш убийства и войни, с какви думи би се обърнал той към тебе? Какво, мислиш, би било неговото душевно настроение, нима той не би се облял със сълзи, не би ли се изпълнил с печал и униние и не би ли сметнал живота си за непоносим? Нима той, като скубе с двете си ръце космите от побелялата си глава и брада, с ридание не би извикал: „Какво правиш, чедо мое! Защо унищожаваш нашата слава? Защо разрушаваш това, което аз с помощ божия създадох и което е станало похвала и за мене, и за тебе, и за целия наш народ? Защо осуетяваш моите трудове, за които цялото човечество ще облажава мене и моя род, и с това нанасяш на себе си и на нас несравнима щета?"

Е, какво? Ако той присъствуваше тук и живееше заедно с хората, то той би се трогнал и с ридание би възкликнал така. Но сега той се намира със светиите и стои пред бога, удостоен с голяма похвала за делото, което с помощта на бога е направил за българите, а именно за това, че е турил основата на вярата, заради което и справедливо се почита.[1] Той чувствува сегашните противни дела (разбира се, ти не се съмняваш, чедо мое, че живеещите там светии чувствуват всичко, което става в света). Нима той, ако и животът на светиите да е по-горе от всяка печал, не ще скърби много повече и не ще ли се яви сред онова неизказано сияние мрачен, първо, за собственото си дело, за което той сам е положил душата си, въпреки че поради божествената сила стои по горе от убийствата; второ, за собственето си чедо, за което моли бога да му дарува всяко благо и всичко, което е проява на добродетел, та след това ти да придобиеш като наследство небесната слава? Представи си, чедо мое, че той сам присъствува при тебе в такова достойно за съжаление положение и че това, за което ние пишем, не са наши думи, а той

[1] След като се отрекъл от престола в 889 г., княз Борис се оттеглил в манастир. След смъртта си бил обявен за светец.

λέγεσθαι. Τίς γὰρ ὅλως ἀμφιβάλλει, ὡς ὁ τοῦ Θεοῦ ἄνθρωπος ἐκεῖνος ἐπὶ τοῖς σήμερον γινομένοις παρὰ σοῦ οὐ σφοδρῶς ἀνιᾶται; Καὶ εἴ γε δυνατὸν ἦν ἐκ τῆς ἐκεῖθεν μακαρίας ζωῆς πρὸς τὴν ἀθλίαν ταύτην καὶ ἡμετέραν παραγενέσθαι, ἧκεν ἂν οὐ μόνον τοιαῦτα πρὸς σέ, οἷα ἔφημεν λέγων, ἀλλὰ καὶ πολὺ πλείω τούτων, ἅ τε καὶ πολλὴν ἔχων εὐπορίαν, ὡς ἀπηλλαγμένος τῆς ματαίας ταύτης περιστροφῆς, καὶ τῷ πρώτῳ νοῒ πλησιάζων, καὶ ὅλως τῆς ἐκεῖθεν πεπληρωμένος ἐλλάμψεως.

Προέφερεν, υἱέ μου θεοτίμητε, τὸ σὸν γράμμα τὸν μέγαν Μωσῆν, καὶ τῇ ἐκείνου μνήμῃ ἔγραψας οἷα δὴ καὶ ἔγραψας. Καὶ τίνα πρὸς τὸν Μωσῆν ἔχει τὰ ἡμέτερα κοινωνίαν; Ποίους ἐδέξω παρὰ Θεοῦ χρησμούς; Ποῦ δὲ τὴν θεῖαν ἐθεάσω δόξαν τοιαῦτα ποιεῖν προτρεπομένην οἷα πράττεις; Ποίας δουλείας, ποίας κακώσεως λυτρωτὴς ἀνεφάνης τῷ λαῷ τοῦ Θεοῦ; Ἐῶ γὰρ λέγειν, ἐπεὶ πολλάκις αὐτὰς ἐξετραγῳδήσαμεν, ὅσαι κακώσεις παρ' ὑμῶν καὶ κατέλαβον καὶ καταλαμβάνουσι καθ' ἑκάστην τὸν λαὸν τοῦ Θεοῦ· μή, τέκνον ἡμῶν, οὐκ ἔστι ταῦτα Θεοῦ προτροπῆς, οὐδ' ἀποστολῆς, ἀλλ' ἀνθρωπίνης οἴμοι πῶς εἴπω ἐπηρείας καὶ πράττειν ἀπεναντία τοῦ θεϊκοῦ θελήματος προαιρουμένης. Ἔλεγε δὲ καὶ τὸ γράμμα καὶ ὅτι τῶν προπατόρων καὶ πατέρων πεπονηκότων, ἡμεῖς ἀπολαύομεν τῶν ἐκείνων πόνων· καλῶς· καὶ ἦν ἁρμόδιον, τέκνον ἡμῶν, τοῦ σοῦ ἁγίου Πατρὸς ἐν τοῖς ὑπὲρ τῆς εἰρήνης πράγμασι τῆς μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων πολλὰ καμόντος ἀπολαύειν ὑμᾶς ἀκολούθως τῶν ἐκείνου καμάτων, ἀλλ' οὐχὶ πρὸς ἐναντίαν τρέπεσθαι γνώμην, οὐδ' ἐν ἐκείνοις στρέφεσθαι καὶ νομίζειν ἀπόλαυσιν ὑπὲρ ὧν ἐκεῖνος, ἵνα σὺν Θεῷ καταργηθῇ μακροὺς ἐνεδείξατο πόνους.

Εἶπον ταῦτα ἐκ τοῦ τὸ σὸν ἀναλέγεσθαι γράμμα, διδοὺς τὴν ἀπόκρισιν· λέγομεν δὲ πάλιν, ἃ καὶ πρότερον πολλάκις εἰρήκαμεν· Ῥίψον τὰ ὅπλα, τέκνον ἐμόν· παῦσον τοὺς πολέμους καὶ τὰς τῶν αἱμάτων χύσεις, ζήτησον εἰρήνην καὶ δίωξον αὐτὴν μετὰ τοῦ μακαρίου προφήτου, εἰ καὶ ἀνάξιος παραινῶ, καὶ ἀντὶ ταύτης τῆς προαιρέσεως ἐπιζήτησον ἃ ἴσως καὶ σὲ δίκαιον λαβεῖν, καὶ Ῥωμαῖοι δώσουσι προθύμως. Χρυσὸν εἰ βούλει καὶ ἄργυρον, γῆς τὴν ἐνδεχομένην ἀπόμοιραν, ἄλλων τινῶν πραγμάτων δόσεις, ὅσα καὶ Βουλγάρους εὐφρανοῦσι, καὶ Ῥωμαίοις οὐκ ἔσται ἡ δόσις ἀφόρητος·

в действителност разговаря с тебе. Защото изобщо кой ли би могъл да се съмнява, че тоя божи човек няма да започне силно да скърби за онова, което се върши днес от тебе? И ако беше възможно да се завърне той от оня блажен живот в този наш жалък живот, не само казаното [по-горе] от нас, но и много повече би ти казал, защото той като свободен от тази суетна превратност, приближен към висшия разум, изпълнен с божествена светлина има по-голяма възможност за това.

Писмото ти, богочтими ми сине, споменава за великия Мойсей и това, което си написал, е написано в спомен за него. Но какво общо има нашето дело с Мойсея? Какви предсказания ти си получил от бога? Где си ти видял божията слава, която да заповядва да правиш такива дела, каквито ти правиш? От какво робство, от какво зло си избавил божия народ? Аз няма да повтарям, тъй като много пъти вече описвам със скръб, какви бедствия поради вас са постигнали и постигат всеки ден божия народ. Всичко това става, чедо наше, не по божия подбуда и внушение, а по човешко — уви! как да кажа — злорадство, което предпочита да се правят противни на божията воля дела. В писмото се говореше още, че ние след подвизите на праотците и отците се ползуваме от трудовете им. Добре! Но в такъв случай следвало би, чедо наше, тъй като твоят свети отец много се е трудил за мира между ромеи и българи, и вие да се ползувате съответно от неговите трудове, а не да се обръщате към противното мнение, не да се занимавате с такива дела и да смятате за нещо добро онова, за прекратяването на което той с божия помощ е положил много трудове.

Ето какво ти възразявам, като прочетох писмото ти. Ще кажа пак, както вече много пъти по-рано сме казали: захвърли оръжието, чедо мое, прекрати войните и кръвопролитията, потърси мира и се устреми към него, съветвам те аз, ако и недостоен, заедно с блажения пророк. Вместо сегашните домогвания поискай онова, което може би справедливо би било да получиш и което ромеите на драго сърце ще ти дадат. Злато ли желаеш, или сребро, или подходяща част земя, или да ти се дадат други неща, които са за българите приятни, а за ромеите неотегчителни. Срещу роме-

γεγόνασι πλειστάκις καὶ Πέρσαις πόλεμοι πρὸς Ῥωμαίους, καὶ Βουλγάροις τοῖς ὑμῶν προγόνοις, ὡσαύτως καὶ ἐπὶ χρόνοις νῦν μὲν πλείοσι νῦν δὲ ἐλάττοσιν· ἀλλὰ τέλος ἔλαβον, καὶ πρὸς σπονδὰς κατήντησαν εἰρηνικάς, ὡρισμένων τελῶν χορηγουμένων, ποτὲ μὲν ἐξ ἐκείνων πρὸς Ῥωμαίους, ποτὲ δὲ Ῥωμαίων ὑποτελούντων ἐκείνοις. Καὶ ὡς ἐπὶ τὸ πλεῖστον τοιαύτη ἐστὶ τῶν πολέμων ἡ φύσις. Τὸ δὲ φιλονεικεῖν παντελῶς ἀρχὴν λαβεῖν ἀλλοτρίαν, καὶ Κύριον αὐτὸν καταστῆσαι τοῦ ὅλου γένους καὶ τῆς ἐξουσίας, τοῦτο τῶν πάνυ δυσχερεστάτων, πρὸς δὲ τὴν Ῥωμαϊκὴν βασιλείαν καὶ παντελῶς ἀδύνατον. Ταῦτα ἐπειδὴ πλειστάκις ἐγράφη, ἴσως καὶ νῦν οὐκ ἔδει γραφῆναι, ἀλλ᾽ ὅμως τὸ γράμμα διὰ βραχέων ἀπεμνημόνευσεν· ἓν δὲ προσθεὶς ἔτι τοῦ γράφειν πεπαύσομαι.

ите обаче са имали често пъти войни персите и българите, вашите прадеди, войни малко или много продължителни, но все пак те са се свършвали с мирни договори, според които била установявана дан, плащана понякога от другите на ромеите, а понякога от ромеите на другите. Такова е обикновено естеството на войните. Но да се съперничи изобщо, за да се заграби чужда власт — да станеш господар на цял народ и държава, — това е едно от най-тежките дела, а спрямо ромейското царство е и съвсем невъзможно. Може би и сега не трябваше да се пише, понеже много пъти се е писало за това, но все пак трябваше накратко да се спомене в писмото. Ще прибавя още едно и ще свърша.

Οὐδὲν οὕτως ἀρχῆς καὶ ἐξουσίας ἴδιον, ὡς τὸ ἀτάραχον καὶ γαληναῖον τῆς ψυχῆς καὶ τὸ καθάριον ἔν τε λόγοις καὶ πράξεσι. Διὰ τί οὖν, τέκνον ἡμῶν, ἀνάξια ποιῶν τῆς σῆς ἀρχῆς ὑβριστικῶς γράφεις πρὸς τοὺς ἐγκεχειρισμένους ὑπὸ τῆς ἄνωθεν ψήφου τὴν βασιλείαν, ἣν μόνην ὁ Θεὸς ἀκατάλυπτον ἐπὶ γῆς ἔπηξεν; Εἰ καὶ κρίμασιν οἷς οἶδε παραχωρεῖ τοῖς νομίζουσιν ἐπιτίθεσθαι, μέχρις ἂν ὁ παρ᾽ αὐτοῦ διωρισμένος καιρὸς ἐπιστῇ· καθ᾽ ὃν πάντες καὶ ἑκόντες καὶ ἄκοντες ὑποκλινοῦσι τὸν αὐχένα, καὶ τὴν αὐτῆς κυριότητα, καὶ ὁμολογήσουσι καὶ προσκυνήσουσι· γράφεις ὡς εἰκὸς ἃς οἱ πολέμιοι ἀντιλογίας προβάλλονται· γράφε ἀντιλέγων καὶ μὴ ὑβρίζων, ἀλλὰ φυλάττων τὴν ἐξ ἀρχῆς πρέπουσαν τοῖς ἄρχουσι μεγαλοπρέπειαν, καὶ μὴ καταβαίνῃς πρὸς τὸ εὐτελὲς καὶ ταπεινὸν τῆς σῆς ἐξουσίας ἀνάρμοστον. Εὐτελῶν γὰρ ἀνθρώπων ὑβρίζειν, καὶ ἵν᾽ εἴπω μὴ γνωριζόντων εὐσχημοσύνην, ἀλλ᾽ οὐχὶ τῶν ἀναβεβηκότων καὶ εἰδότων ἑτέρως εὐσχήμονας ἀποτελεῖν. Ἢ ἀγνοεῖς, τέκνον ἡμῶν, ὅτι ὡς ἐπίπαν οὐ μόνων τῶν ἄρχειν λαχόντων, ἀλλὰ καὶ ὅσοι τῶν ἄλλων ἀνθρώπων σεμνότητος ἀντιποιοῦνται, τὰς ὕβρεις ὥσπερ τι ῥύπασμα διωθοῦνται καὶ ἀποστρέφονται, καὶ φείδονται τὸ καθάριον τῆς γλώττης καὶ τῶν λόγων καὶ πρό γε τούτων τῆς γνώμης ἐν τῷ ῥυπάσματι περισύρειν τῶν ὕβρεων.

Нищо тъй не е свойствено на един началник и владетел, както невъзмутимостта и спокойствието на душата и искреността в думи и дела. И тъй, чедо наше, защо извършваш недостойни за твоята власт дела и пишеш хулно на ония, на които от висшата воля е поверено царството, което единствено бог е учредил на земята като неразрушимо. Макар той по свое произволие и да отстъпва на ония, които имат обичай да вършат нападения, обаче това ще бъде до определеното от него време, когато всички щат-нещат ще преклонят врат и ще признаят неговото господство и ще се поклонят. Ти справедливо пишеш, че враговете обикновено си противоречат един на друг. Пиши, като [ни] противоречиш, но не обиждай, а запазвай достойнството на владетелите, което от древно време подобава, и не изпадай в простота и низост, които са несъобразни с твоята власт. Понеже да се хули е свойствено на долните хора и, тъй да кажа, на незнаещите приличие, а съвсем не на ония, които са издигнати и, от друга страна, знаят да проявяват приличие. Нима ти не знаеш, чедо наше, че обикновено не само самодържците, но и ония хора, които претендират за почтеност, странят и се отвръщат от хулите като от нещо скверно, съблюдават чистотата на езика и речта си и наймного се грижат да не осквернят помислите си с хули.

Τί με δεῖ λέγειν ἀρχαίους τε καὶ νέους Πέρσας, Ἀγαρηνούς, ἄλλους πρὸ τούτων, ὅσοι ἀρχὰς ἐπιστεύθησαν; Ὡς πολλάκις πολέμων ἀναμεταξὺ κινουμένων, τὰ μὲν τοῦ πολέμου ἐνήργουν, ὕβρεων δὲ καλῶς καὶ ἀρχικῶς φρο-

Какво трябва да кажа за старите и новите перси, за агаряните и други предишни [народи], на които им беше дадена власт? Те, когато са имали войни помежду си, изпълнявали са свойственото на войната, но разсъждавайки добре и по

νοῦντες ἀπείχοντο Καὶ μέχρι τοῦ νῦν οὔτε ὁρᾶται γινόμενον. Γράφουσιν Ἀγαρηνοὶ τὰ μὲν ἄλλα ὅσα ὑποβάλλουσι τῶν πραγμάτων αἱ ὑποθέσεις, τὴν ὀφειλομένην δὲ καὶ προσηγορίαν καὶ τιμὴν ἀποσώζοντες τῇ βασιλείᾳ. Οὕτω καὶ σύ, τέκνον ἡμῶν, τὸ πρέπον τῇ σῇ μεγαλοπρεπείᾳ σώζων, ἀπέχου τῶν ὕβρεων, ὅταν γράφῃς· μάλιστά γε καὶ τοῦ πρὸς σὲ στελλομένου βασιλικοῦ γράμματος μηδὲν ὑβριστικὸν ἔχοντος, ἀλλ' ἐπιεικῶς προσδιαλεγομένου, καὶ τὴν ὀφειλομένην σοι τιμὴν διαφυλάττοντος. Καὶ γὰρ οἶδας ὡς εἴ τι καὶ πολλάκις πρὸς σέ τραχύτερον οἱ τὴν Ῥωμαϊκὴν βασιλείαν διέποντες σὺν Θεῷ ἔγραψαν, οὐ παρ' ἑαυτῶν εἰς τοῦτο κεκίνηνται, ἀλλὰ σοῦ γράψαντος ἃ μὴ προσῆκον ὑπῆρχε, καὶ αὐτοὶ πρὸς τὸ τραχύτερον διατυπῶσαι τὸ γράμμα ἐξεβιάσθησαν· ὥστε ἡ μὲν τραχύτης ἐκ τῶν σῶν ὕβρεων λαμβάνει τὴν ἀφορμήν. Ἡ δὲ βασιλικὴ διάθεσις διασώζουσα τὸ οἰκεῖον, ἀδελφόν σε ὀνομάζει καὶ φίλον ἠγαπημένον, καὶ ὅσα στοργῆς καὶ ἀγάπης ἐστὶν ἀληθινῆς· καὶ ἵνα τὸ πᾶν εἴπω, ἀγκαλιζομένη φιλοφρόνως οἷα πατὴρ οἰκεῖον υἱόν.

Χρὴ οὖν καὶ σὲ τὴν ὁμοίαν διάθεσιν ἐπιδείκνυσθαι, καὶ ὡς εἶπον τὰ μὲν ἄλλα τοῦ πολέμου γράφειν οἷα βούλει, τὰς δὲ ὕβρεις ἀφιέναι, καὶ προσάγειν τοιαύτην τιμὴν ἐν τῷ σῷ γράμματι, ὁποίας καὶ αὐτὸς παρὰ τοῦ βασιλέως ἀξιούμενος διαδείκνυσαι. Ταῦτά σοι γράφω, τέκνον ἐμόν, ἵνα καὶ διὰ τοῦτο γνῷς, ὅτι ὡς πατὴρ ἀληθῶς φιλῶν, καὶ τῆς σῆς δόξης καὶ τιμῆς κηδόμενος, ἐν οἷς τι κατανοῶ τῇ σῇ δόξῃ ἀπρεπὲς καὶ ἀνάρμοστον οὐ βούλομαι σιωπᾶν, ἀλλὰ παντὶ τρόπῳ ὅσον εἰς ἐμὴν ἧκεν δύναμιν πειρῶμαι τὴν ὑμετέραν συνιστᾶν εὐδοξίαν. Ὁ δὲ Θεὸς τῆς δόξης ὁ τῆς παρούσης καὶ τῆς μελλούσης ζωῆς χορηγός, αὐτὸς πᾶσαν πρᾶξιν ὅση πρὸς ἀδοξίαν ἀπάγει ποιήσειεν ἐκποδών, καὶ καταισχύνοι τὸν πονηρὸν δαίμονα, ὃς ἐξ ἀρχῆς καὶ μέχρι τοῦ νῦν καταισχύνειν οὐκ ἐλλείπει διαγωνιζόμενος τὸ τετυγμένον τοῦ Θεοῦ πλάσμα· καὶ δοίη εὐδόξως ὑμᾶς καὶ τῆς παρούσης μεταστῆναι ζωῆς καὶ δόξης ὁπότε τῷ ἁγίῳ αὐτοῦ βουλήματι παραστῇ, εἰς τὴν ἀμάραντον δόξαν κατασκηνῶσαι σὺν πᾶσι τοῖς ἀπ' αἰῶνος ὑπ' αὐτοῦ δοξαζομένοις. (XXV, col. 161 B — 168 D)

царски, удържали се от обиди. И досега не се е видяло да става нещо такова. Агаряните пишат всичко друго, което им налага положението на работите, но спазват подобаващата за царската власт чест и уважение. Тъй и ти, чедо наше, като запазваш достойнството на своето величие, удържай се от обиди, когато пишеш, а особено когато изпращаното до тебе царско писмо не съдържа нищо обидно, но като запазва дължимото към тебе почитание, представя от себе си само благосклонен отговор. И ти знаеш, че ако управляващите по божия воля ромейското царство и да са ти писали често пъти грубо, то това са сторили не по свой почин, а защото ти си сам писал това, което не подобаваше, и те са били принудени да прибягнат към по-сурови изрази. Така щото суровостта е била предизвикана от твоите обиди. Императорите, оставайки верни на своето разположение към тебе, те наричат брат и любим приятел. И тази любов и разположение са истински. С една реч, тук се проявява същата искреност, каквато проявява баща към собствения си син.

И тъй, трябва и ти да показваш подобно разположение. Както казах, пиши по работите на войната каквото искаш, но остави обидите и отдавай в писмото си същото почитание, с което се удостояваш от императора. Това ти пиша, чедо мое, за да узнаеш и по тоя начин, че понеже аз искрено те обичам като баща и се грижа за твоята слава и чест, не искам да мълча, ако чуя нещо неприлично и несъответно на славата ти, но според силите си всякак се старая да поддържам вашата добра слава. А пък бог на славата, подателят на настоящия и бъдещия живот, нека сам да отблъсне всяко действие, което води към безславие; да посрами лукавия демон, който от начало и до сега не престава да унижава в постоянна борба украсеното божие създание; да ви даде славно да преминете от този живот и слава, когато бъде угодно на неговата света воля, и да се поселите в неувяхваща слава заедно с всички прославени отвеки от него.[1]

[1] Това писмо е било написано в отговор на едно писмо от цар Симеон до Роман Лакапин, което е загубено. По всяка вероятност писмото на Николай Мистик е било писано през първата половина на 923 г. Вж. *Златарски*, Писмата . . . , СбНУК, XII, стр. 168.

24. Ad eundem

Τῷ αὐτῷ

Εἰ καὶ πλειστάκις ἔγραψα, τέκνον ἡμῶν, ὑπὲρ τῆς κοινῆς εἰρήνης καὶ σωτηρίας τῶν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν τέκνων, τέκνα γὰρ ἐκείνου Ῥωμαῖοι καὶ Βούλγαροι, καὶ τῷ τιμίῳ τῆς πλευρᾶς αὐτοῦ αἵματι ἐξηγορασμένοι, καὶ λαὸς αὐτῷ περιούσιος ἀνατεθειμένοι· ἀλλὰ γὰρ εἰ καὶ πλειστάκις ἔγραψα περὶ τοῦ κοινῇ συμφέροντος ἑκατέρῳ γένει, καὶ εἰς οὐδὲν ἐλογίσθη τὰ παρ᾽ ἡμῶν γεγραμμένα, οὐκ ἀφίσταμαι τοῦ γράφειν, οὐδ᾽ ἀποστήσομαι τὸ ἐμοὶ κεχρεωστημένον πληρῶν, καὶ ὅσον ἐμοὶ δυνατὸν τῆς ἀπειλῆς ἐκείνης ἔξω καθιστῶν ἐμαυτὸν τῆς ἀπειλούσης τῷ σκοπεῖν τεταγμένῳ, ὅταν μὴ τὴν ἐπερχομένην ῥομφαίαν ἀναγγείλῃ κατὰ τοῦ ταύτην δεχομένου, ἐξ αὐτοῦ τὸ αἷμα ζητεῖσθαι τοῦ διὰ τῆς ῥομφαίας ἀπολωλότος. Οὗτος ὁ φόβος καὶ πρότερον καὶ νῦν ποιεῖ, τέχνον μου ἠγαπημένον, μὴ σιωπᾶν· ἅμα δὲ καὶ λογισμός τις ἐπὶ τοῦ παρόντος εἰσῆλθέ με, ὅτι εἰ καὶ μὴ πρότερον, ἀλλά γε νῦν ἡ σὴ καλὴ καὶ ἥμερος ψυχή, ὅσα ἐγὼ τὴν σὴν φύσιν ἐνόησα τὴν ὀλίγην ἐκείνην ὥραν ἐν ᾗ ἑνωθῆναι ὑπῆρξε, δέξεται πατρὸς τὸν υἱὸν ἀγαπῶντος παραίνεσιν, καὶ σβέσει τὸ πῦρ καὶ τὴν φλόγα τὴν τέως ἀνάπτειν φιλονεικοῦσαν καὶ διαλημαινομένην Ῥωμαίους καὶ Βουλγάρους. Πάλιν οὖν δυσωπῶ, πάλιν οὖν παραινῶ, πάλιν αἵματι δακρύω τὰ παρόντα γράμματα ἐπιστέλλων. Καὶ γὰρ εἰ δάκρυσιν ἀντὶ μέλανος δυνατὸν ὑπῆρχε γράψαι τὰ γράμματα, ἐθεάσω ἂν τὴν τῶν ἐμῶν δακρύων φύσιν ὡς οὐ παρὰ πολὺ αἵματος ἀποδέουσι. Καὶ πῶς γὰρ οὐ μέλλω τοιαῦτα δάκρυα φέρειν, ὅταν ἐπὶ νοῦν ἀνανήψωμαι τὰ πάθη καὶ τὰς συμφοράς, τὴν οὐκ ἔχουσαν παράδειγμα τῶν κακῶν τραγῳδίαν, ἣν ἐφιλονείκησεν ὁ Σατανᾶς ἐξ αἱμάτων Χριστιανικῶν, καὶ σφαγῶν, καὶ ὀλέθρου τοσούτου ἐπισκοπείων, μοναστηρίων, ἰδιωτικῶν οἴκων, εἰς τὸν βίον εἰσαγαγεῖν, καὶ τῷ μετέπειτα γένει τὴν τοιαύτην παραπέμπει διήγησιν;

Διὰ τοῦτο, υἱέ μου ἠγαπημένε, ἃ πρὸς τοὺς θεοστεφεῖς ἡμῶν βασιχεῖς γλώσσῃ προσφθέγγομαι, ταῦτα καὶ σοὶ τῷ γράμματι διαλέγομαι. Ἀποβλέψατε πρὸς τὸ τῆς εἰρήνης ἀγαθὸν, ἀποβλέψατε πρὸς τὴν τῶν ὑπηκόων σωτηρίαν, μὴ ἐπιμείνητε τῇ κακίστῃ φιλονεικίᾳ μηδὲ προτιμήσητε τὰς σφαγὰς καὶ τὰ αἵματα, τὰς

До същия

Ако и вече много пъти да съм писал, чедо наше, за общия мир и за спасението на чедата на Христа и бога наш, понеже ромеите и българите като изкупени с драгоценната кръв на неговата плът са негови синове, а като посветени нему са негов избран народ; ако и много пъти да съм писал за общата полза на двата народа и моите писма да са били оставяни без внимание, все пак аз не се отказвам да пиша и няма да престана да изпълнявам дълга си. Доколкото [ми] е възможно, ще заставам вън от заплахата, която виси над поставения да бди, за да не би да пропусне да извести за надвисналия меч срещу онзи, който ще понесе удара, та да се иска от него сметка за кръвта на онзи, който погине от меч. Този страх, както и преди, тъй и сега не ми позволява, любимо ми чедо, да мълча, а освен това сега ми е дошла мисъл, че ако не преди, то поне сега твоята прекрасна и кротка душа — доколкото аз узнах характера ти през нашето непродължително свиждане — ще приеме наставленията на един баща, който обича сина си, и ще угаси огъня и пламъка, който със силното си избухване вреди на ромеи и българи. И тъй, отново умолявам и пак увещавам, и пак се обливам с кървави сълзи при изпращането на това писмо. Ако да беше възможно да се пише със сълзи вместо с мастило, то ти би видял, че сълзите ми по същество никак не се отличават от кръвта. Че и как да не проливам такива сълзи всеки път, когато ми идват на ум ония страдания и злополуки, оная безмерно гибелна трагедия, която сатаната се стараеше да въведе в нашия живот чрез християнска кръв, убийства, чрез толкова голямо опустошение на епископства, манастири и частни домове и оставя на бъдещото поколение такава [печална] история!

Затова, любими сине, аз ще ти изложа писмено онова, което устно говорих с нашите боговенчани императори: обърнете внимание на благото от мира, погледнете на спасението на поданиците, не упорствувайте в това най-лошо съперничество, не предпочитайте убийствата, кръвопролитията, овдовяването и безчадието; спомнете си ония прекрасни и приятни

χηρείας, τὰς ἀπαιδείας· ἀναμνήσθητε τῶν καλῶν πραγμάτων καὶ ἡδίστων, ὅσα ἐκ τῆς εἰρήνης Ῥωμαίοις καὶ Βουλγάροις περιεγίνετο. Ἀλλ' οἱ μὲν τῶν Ῥωμαίων βασιλεῖς φασιν ἕτοιμοι πειθαρχεῖν τῇ παραινέσει, καὶ δέχονται τὴν παράκλησιν, καὶ οὐ μνησικακοῦσιν οὐδ' ἐπιζητοῦσι τὸν πόλεμον ἔτι, κἂν δεινὰ παρὰ Βουλγάρων πεπόνθασι, κἂν ἐλπίδα φέρουσιν ἐξ ὧν ἀδίκως ὑπέστησαν παρ' ὑμῶν, καὶ ἐξ ὧν ἱκανοὶ μάλιστα μετὰ τῆς ἄνωθεν δικαιοσύνης ἀνακαλεῖσθαι τὴν ἑαυτῶν ὡς ὑμεῖς νομίζετε κάκωσιν. Σὲ δὲ πρὸς τὴν ὁμοίαν καταστῆναι γνώμην δυσωπῶ, καὶ ἀναλαβεῖν ὅμοιον φρόνημα, καὶ ἀρκεσθῆναι τοῖς φθάσασι χαλεποῖς. Ἱκανὸς γὰρ ὁ παρεληλυθὼς χρόνος, μᾶλλον δὲ καὶ πέρα τοῦ ἱκανοῦ τοσαύτας δημιουργήσας συμφορὰς ἀνεπιλήστους μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων. Ἐνθυμήθητι, τέκνον μου, τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ τὴν ἀπώλειαν, ὅσαι εἰς τάξιν ἐπισκοπείων, ὅσαι μοναστηρίων, τὸν φόνον τῶν ἱερέων, τὴν φθορὰν τῶν παρθένων, τῶν μοναζόντων τὴν ὕβριν. Μὴ ταῦτα παρόψεται ὁ Θεός; Οὐχὶ τὴν μακροθυμίαν ἣν ἐπεδείξατο μέχρι τοῦ παρόντος ὡς φιλάνθρωπος, ὡς ἀνεξίκακος τὴν ἐπιστροφὴν ἀναμένων, πρὸς ὀργὴν ἐκκαύσῃ; καὶ τὴν ἐκδίκησιν τῆς τοσαύτης ἐπάξει μιαιφονίας; Καὶ τίς ἂν λογικὴν σύνεσιν ἀποσώζων οὐ συνθήσεται; Ἐπάκουσον ἡμῶν, ἄνθρωπε τοῦ Θεοῦ, ἄκουσον Πατρὸς ἀγαπῶντός σε καὶ τὸ σὸν ἔθνος· ὁ Θεὸς γὰρ οἶδεν ὅτι ἀγαπῶ ὑμᾶς, καὶ ἀλγῶ καθὼς ὑπὲρ τῶν Ῥωμαίων, οὕτως καὶ ὑπὲρ Βουλγάρων.

Ἀλλὰ περὶ μὲν τῶν Ῥωμαίων ἔχω τινὰς ἐλπίδας χρηστοτέρας, ἀποβλέπων ὡς ἄδικα πάσχουσι, καὶ εἰδὼς ὅτι ἀεὶ τοῖς ἀδικουμένοις Θεὸς ὑπερέχει βοηθείας χεῖρα, ὁπότε παραστῇ τῇ τούτου ὑπερσόφῳ κρίσει. Καὶ ἐνίοτε ἀναβάλλεται τὴν ὑπομονὴν, ἐκκαλύπτειν βουλόμενος τῶν πασχόντων τὰ ἄδικα. Περὶ Βουλγάρων οὐκ ἔχω τινὰ χρηστοτέραν ἐλπίδα θεωρουμένην· ἐδόξατε γὰρ εὐτυχίαν τινὰ περιβαλέσθαι. Ἀλλὰ τί τὸ εὐτύχημα ὅταν οὐκ ἔχει στρατηγοῦσαν τὴν δικαιοσύνην; Συνέβη καὶ ἄλλα ἔθνη κατὰ καιρούς τινας εὐτυχῆσαι, καὶ ὡς ἐνόμισαν αὔξησίν τινα προσλαβεῖν, ἀλλὰ τῇ φιλοπολέμῳ προαιρέσει κατέστησαν εἰς τελείαν ἀπώλειαν, καὶ οὐδ' ὄνομα περιλείπεται αὐτῶν τὰ νῦν ἐν ἀνθρώποις γινωσκόμενον, πλὴν ὅσα οἱ τὰς ἱστορίας ἀναλεγόμενοι τὴν μνήμην αὐτῶν περιφέρουσιν. Οἶδα ὅτι καὶ αὐτὸς, υἱέ μου ἠγαπημένε, φιλομαθὴς ὢν καὶ τῶν παλαιῶν διερχόμενος τὰς βίβλους ἐπιγινώσκεις ἃ γράφομεν. Ἀπεύχομαι τοίνυν, φοβοῦμαι δὲ μὴ,

дела, които от мира се падныха на ромеите и българите. Но ромейските императори казаха, че са готови да послушат [нашите] наставления и да приемат съвета ни, не злопаметствуват и не искат повече война, ако и да са жестоко изпатили от българите, и се надяват, че за всичко, което са несправедливо претеглили от вас, те, особено с помощта на висшето правосъдие, ще бъдат способни да прекратят своята според вашето мнение злина. Но аз те моля и ти да имаш същото мнение, да покажеш същото благоразумие и да се задоволиш със станалите вече бедствия. Защото достатъчно, повече от достатъчно време се измина, през което станаха сред ромеи и българи толкова незабравими нещастия. Спомни си, чедо мое, за унищожението на божиите църкви, епископии, манастири, за избиването на свещенослужители и за насилието над девиците и поруганието на монасите. Нима бог няма да види това? Нима онова дълго търпение, което като човеколюбив и незлобив е проявявал досега, очаквайки поправление, той няма да обърне в гняв и няма да отмъсти за такова кръвопролитие? Та и кой човек със здрав смисъл няма да се съгласи с това? Послушай ни, човече божи, послушай баща си, който обича тебе и твоя народ! Защото бог знае, че аз ви обичам и страдам както за ромеите, така и за българите.

Обаче относно ромеите аз имам някои по-добри надежди, като виждам, че те несправедливо страдат, и като зная, че бог всякога протяга своята помагаща ръка на онеправданите, когато той реши с премъдрия си съд. И понякога той подълго време чака, като иска да разкрие неправдите спрямо страдащите. Относно пък българите аз не виждам никаква добра надежда, защото вие мислите, че ви съпътствува някакво щастие. Но какво значение има щастието, когато няма справедливост? Случвало се е и други народи понякога да бъдат щастливи и те са помисляли, че са достигнали до известно величие, но окончателно са загивали поради войствената си наклонност и дори името им не е известно днес между хората и за тях сега знаят само ония, които четат историята. Аз зная, мили ми сине, че и ти като любознателен читател на съчиненията на древните разбираш за какво пишем. И тъй, умолявам те, но в същото

ἐπιμενόντων ὑμῶν ταῖς σφαγαῖς καὶ τοῖς πολέμοις, ἄπρακτος ἡ εὐχὴ καταστῇ, τοῦτο καὶ ἐφ' ὑμῖν συμβήσεται. Ἀλλὰ μὴ εἴη τοῦτο, μηδὲ γένηται, μηδ' ἀπαντήσῃ Χριστιανοῖς οὖσιν ὑμῖν πρὸς τοιοῦτον καταντῆσαι τέλος, ἀλλὰ μᾶλλον ἐκ μέσου γενέσθαι τὰ σκάνδαλα ἃ ὑπέβαλεν ὁ πονηρὸς, καὶ τῆς σπορᾶς ἐκείνου τὰ ζιζάνια· καὶ τὸ Βουλγάρων ἔθνος πάλιν τὴν τοῦ Χριστοῦ εἰρήνην ἐπανελομένους ἐν εὐπαθείᾳ, ἐν εὐζωίᾳ διατελεῖν τῇ μιᾷ κεφαλῇ τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν, οὗτινος καὶ Ῥωμαῖοι καὶ Βούλγαροι σῶμα τυγχάνουσι, καὶ φυλαττομένους καὶ αὐξανομένους. (XXVI, col. 168 D — 172 B)

то време се боя да не би просбата ми да остане неизпълнена, да не би и вас да постигне същото, тъй като вие упорствувате да вършите убийства и войни. Но да не стане това, да не се случи и да не постигне и вас, християните, такъв край, а, напротив, нека бъдат изтръгнати съблазните и плевелите, посеяни от лукавия. Нека прочее българският народ, като приеме отново мира Христов, живее в доволство и благополучие, запазван и умножаван от единствения глава, Христос и бог наш, чиито членове са ромеи и българи.[1]

25. *Ad eundem*

Τῷ αὐτῷ

Ὁσάκις ἂν ὁρμήσω πρὸς σὲ, υἱέ μου θεοτίμητε, γράφειν, ἐλπίδες χρηστότεραι τὴν ἐμὴν περιλαμβάνουσι ψυχὴν, ὅτι πάντως τὴν σὴν ἡμερότητα καὶ φιλανθρωπίαν τὸ γράμμα παρακαλέσει, καὶ πρὸς εἰρήνην ἐκκαλέσεται, καὶ τὸ πέρας τῆς αἰτήσεως ἕξομεν, ὥσπερ τινὸς γλυκείας αἰσθάνομαι διαθέσεως, καὶ τὴν ψυχὴν ἐλαφρύνομαι τῆς ὀδύνης ἣν ἐπὶ ταῖς κοιναῖς συμφοραῖς Ῥωμαίων καὶ Βουλγάρων φέρω, ἃς ὁ μισάνθρωπος δαίμων εἰς μέσον αὐτῶν ἀπέῤῥιψε, καὶ τὸ σκυθρωπὸν καὶ ἡ κατήφεια ἡ ἐπὶ τούτοις ὥσπερ δοκεῖ ἀναστέλλεσθαι. Ὅταν δὲ τὸ γράμμα τῆς σῆς μεγαλοδόξου ἀρχῆς ἀναγινώσκων διέρχωμαι, πολλαπλασιάζεταί μοι τὸ ἄλγος, καὶ βαθύτερος ὁ γνόφος τῆς ἀθυμίας τὴν ἐμὴν ἐπικάμπτει ψυχήν. Καὶ γὰρ οὕτως ἔχει. Ἐπεὶ καὶ ἰατρὸς φάρμακον ἐπιτιθεὶς κατὰ τραύματος, καὶ βλέπων τὴν φλεγμονὴν ἐπὶ πλέον ἀγριαινομένην, πληροῦται ἀθυμίας καὶ συγχύσεως· καὶ ἡμεῖς οὖν οἱ ταπεινοὶ, κρίμασιν οἷς ἐπίσταται ὁ Θεὸς, εἰς τὸ τὰ τῶν ψυχῶν πάθη θεραπεύειν κατασταθέντες, ἐπείπερ ὁρῶμεν τὴν κατὰ δύναμιν προσαγομένην θεραπείαν ὠφελοῦσαν οὐδὲν, ἀλλὰ τὸ τραῦμα οἴμοι τῷ ἀθλίῳ, καὶ ἡλίκον τραῦμα, ἐπὶ τὸ χεῖρον προκόπτον, ὅλως κατηφείας καὶ σκυθρωπότητος καὶ συγχύσεως, οὐμενοῦν οὐκ ἔστιν εἰπεῖν, ὅσου πληρούμεθα· μάλιστα μὲν τὴν σὴν, υἱέ μου θεοτίμητε, μεγάλην φρόνησιν, οὐ φήμαις, ἀλλ' αὐτῇ πείρᾳ γινώσκοντες· καὶ

До същия

Всеки път, когато се залавям да ти пиша, благочтими ми сине, душата ми се обзема от все по-добри надежди, че писмото ми[2] ще произведе впечатление върху твоята кротка и човеколюбива душа и ще я склони към мир, че ние ще достигнем целта на молбата си. Чувствувам известно приятно разположение на духа и душата ми се облекчава от скръбта, която ме обхваща поради общите нещастия на ромеи и българи, причинени от човеконенавистника дявол, а съкрушението и мрачността като че ли изчезват. Но колчем прочитам писмото на твоята всеславна власт, скръбта ми отново се увеличава и още по-дълбок мрак на отчаяние обзема душата ми. Така обикновено бива. Както един лекар, като тури лекарство на раната и види, че възпалението се усилва, се отчайва и смущава, тъй и ние, смирените, поставени по божие решение за лекуване на душевните страдания, като виждаме, че лекуването, което ние прилагаме според нашите сили, не принася никаква полза, а раната — горко на мене, клетия, и то каква рана! — отива към още по-лошо, се изпълваме от неизразима печал, мрачност и смущение! Това изпитваме, още повече че знаем, богочтими ми сине, твоето голямо благоразумие и не по слух, а от опит, защото онова време, когато ние беседвахме по-

[1] Това писмо на Н. Мистик било написано около средата на 923 г. Планът на Цар Симеон за съюз с африканския халиф е бил разстроен поради залавянето на българските и арабските пратеници от византийците. Византийското правителство смятало, че моментът е благоприятен и че Симеон след своя неуспех щял да бъде склонен да сключи мир. Вж. *Златарски*, Писмата. . . , СбНУК, XII, стр. 173. — *Същият*, История, I, 2, стр. 448—451. [2] Настоящето писмо било написано около средата на 923 г. Вж. *Златарски*, Писмата . . . , Сб НУК, XII, стр. 172, 177—179.

γὰρ ἐκεῖνος ὁ καιρὸς, καθ᾽ ὃν ἀλλήλως πρὸς ὁμιλίαν συνήλθομεν, εἰ καὶ ὀλίγος ἦν, ἀλλ᾽ οὖν ἱκανὴν παρέσχεν ἡμῖν γνῶσιν τῆς σῆς τελειοτάτης φρονήσεως.

Καὶ λαμβάνει μὲν ἡμᾶς ἔκπληξις, δριμυτάτη δὲ συνέχει ὀδύνη πῶς ἄνθρωπος τοσοῦτος καὶ τηλικοῦτος, οἷον ἐγὼ καταμαθεῖν ἔσχον, οὐ μόνον ὑπὸ τῆς οἰκείας φρονήσεως τοῦ πονηροῦ δαίμονος κατανοεῖς τὴν ἐπήρειαν, καὶ μετὰ τῆς ἄνωθεν δυνάμεως τὰ ἐκείνου καταπατεῖς μηχανήματα, καὶ τὰ σκάνδαλα εἰς τὸ πρόσωπον αὐτοῦ ἀποῤῥίπτεις, καὶ γίνῃ τῆς σοι πρεπούσης ἀρετῆς καὶ τῆς ἐξ ἀρχῆς ἁγίας εἰρήνης, ἣν διὰ τοῦ σοῦ ἁγίου Πατρὸς ὁ πάντων Πατὴρ καὶ Θεὸς μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων ἐφύτευσεν. Ἀλλὰ καὶ ἡμῶν τῶν ταπεινῶν πολλάκις δυσωπησάντων, ἱκετευσάντων, ἢ καί, ἵν᾽ οὕτως εἴπω, δακρύοις τὰ γράμματα γεγραφότων, εἰς τὸ μηδὲν ἐλογίσθη ὅσα μέχρι τοῦ παρόντος δυσωποῦντες ἐγράψαμεν. Καίτοι, τέκνον ἡμῶν, εἰ καί τινος τῶν ἄλλων μὲν Θεῷ ὑπουργούντων, ἐν γωνίᾳ δὲ καθημένων, τοσαύτη δυσώπησις ἐγεγόνει, οὐκ ἔστιν ἄξιον οὐδὲ πρέπον τῇ σῇ ἀρετῇ χριστιανικωτάτῃ οὔσῃ τὴν δέησιν παρὰ φαῦλον ποιεῖσθαι. Εἰ δὲ τοῦτο, σκέψαι τὸ ἡμέτερον, οὓς εἰ καὶ ἀχρείους ἔθηκεν ὁ Θεὸς λειτουργεῖν μὲν τῷ ἁγίῳ θυσιαστηρίῳ χρίειν δὲ καὶ λειτουργοὺς τῆς αὐτοῦ ὑπηρεσίας καὶ καταστάσεως, Ὡς εἶπον, ἔκπληξις ἡμᾶς ἐπὶ τούτοις κατέχει καὶ δριμυτάτη ὀδύνη.

Ἀλλ᾽, υἱέ μου ἠγαπημένε, φίλε πεποθημένε, στῆσον τὴν ἔκπληξιν παῦσον τὴν ὀδύνην· δός μοι τὴν σὴν εὐσύνετον ἀκοὴν δέξαι ῥήματα ταπεινοῦ τὰ ἀρχιερέως καὶ γέροντος Πατρὸς, καὶ ὑποτιθεμένου τὰ συμφέροντα εἰσηγουμένου τὰ σωτήρια, καὶ ἃ δοξάσει καὶ μεγαλυνεῖ τὸ σὸν ὄνομα, καὶ ἐν τῷ παρόντι αἰῶνι καὶ ἐν τῷ μέλλοντι μετὰ τῶν παρὰ Θεοῦ δοξαζομένων συναριθμήσει. Δός μοι τὴν σὴν ἡμερωτάτην ψυχήν· ἡμερωτάτη γάρ ἐστιν, ὅσον ἐγὼ ταύτην κατενόησα, καὶ εἰ πονηρὸς δαίμων ἐφιλονείκησεν ἀλλοιῶσαι ταύτης τὸ ἥμερον· δός μοι οὖν τὴν σὴν φιλάνθρωπον ψυχὴν, καὶ δέξαι τοὺς τῆς παρακλήσεως λόγους, οὓς ὑπὲρ Χριστοῦ παρακαλοῦντες προσάγομεν. Ὑπὲρ ἐκείνου δυσωποῦμεν, ὅτι ἐκείνου λαὸς καὶ κληρονομία Ῥωμαῖοι καὶ Βούλγαροι, καὶ τῷ τιμίῳ αὐτοῦ αἵματι ἐσφραγισμένοι τυγχάνουσιν, ὢ τῶν ἐμῶν παθημάτων· οἱ νῦν τῷ αἵματι τῆς κατ᾽ ἀλλήλων σφαγῆς μολύνοντες ἑαυτούς· στῆσον τὸν ὄλεθρον ἑκατέρου γένους ἐν τῷ τὴν εἰρήνην ἀνακαινίσαι, ἣν ὁ ἀπ᾽ ἀρχῆς ἀνθρωποκτόνος κατέλυσεν· ἀνακαινισθήσεται δὲ πάντως, υἱέ μου

между си, ако и да беше непродължително, все пак ни даде възможност да се запознаем с твоето превъзходно благоразумие.

Наистина, мене ме обзема ужас и ме мъчи най-силна скръб, че ти — един такъв и толкова велик човек, какъвто аз узнах в тебе — не само със собствения си ум не разбираш козните на лукавия дявол, но и при помощта на небесната сила не ги потъпкваш и не отхвърляш явно съблазните му, а тъй също не търсиш подобаващата ти добродетел и оня първоначален свещен мир, който чрез светия ти отец бог, бащата на всичко, установи между ромеи и българи. Но въпреки че ние, смирените, често сме се унижавали и молили или, тъй да кажа, със сълзи сме писали писмата, всичко, което сме писали досега с молба, бе оставено без внимание. А при това, чедо наше, ако някой от угодниците божии и от живеещите в усамотение би се обърнал към тебе със същата просба, би било неприлично и недостойно за твоята християнска добродетел да се отнесеш с презрение към неговата молба. Ако това е така, то обърни погледите си и към нас, ако и недостойни, но от бога поставени да служим на свещения олтар, а тъй също да помазваме ония, които служат нему и управляват [църквата]. При това положение мене ме обземат, както казах, ужас и най-силна скръб.

Но, любими ми сине, желани приятелю, тури край на моя ужас, прекрати моята скръб! Насочи към мене благоразумния си слух, приеми думите на смирения архиерей и стария баща, който внушава онова, което е полезно, предлага спасителни неща и това, което ще прослави и възвеличи твоето име и в настоящия, и в бъдещия живот и ще те включи в числото на прославяните от бога! Обърни към мене своята прекротка душа, понеже тя е прекротка, доколкото аз я познах, при все че коварният демон се постара да промени нейната кротост. Обърни към мене човеколюбивата си душа и приеми увещенията, които ние привеждаме в името на Христа. Заради него ние те умоляваме, тъй като негов народ и наследие са ромеи и българи, които са запечатани с драгоценната му кръв, а сега — мои страдания! — те сами се оскверняват с кръвта на взаимното си избиване. Спри гибелта на двата народа и с това възобнови мира, който отколе е

ποθεινότατε, τῶν προτάσεων τῶν βαρυτάτων ἃς προβάλλεις πρὸς τὸ ἐπιεικέστερον μεταβαλλομένων.

Οἶδας γὰρ φρόνιμος ὤν, ὅτι ἐπὶ πάντων τῶν πρὸς μάχην καὶ φιλονεικίαν ὑπὸ τοῦ πονηροῦ διαστασιασάντων οὐκ ἔστιν ἄλλως τὴν ἔχθραν καὶ τὴν ἔριν καταπαυθῆναι, εἰ μή συγκαταβατικώτερον πρὸς ἑαυτοὺς συνέλθωσιν οἱ ὑπὸ τῆς ἔχθρας διαστασιάσαντες, ἐπεί τό γε ἀπὸ ἐξουσίας τὸ ἕτερον μέρος τοὺς οἰκείους λόγους προτείνειν καὶ τὰ αὐτῷ δοκοῦντα ζητεῖν, οὐκ οἶδεν εἰρήνην οὐδὲ ἀγάπην βραβεύειν. Φανερὸν γὰρ ὅτι ὁ ζητῶν ἀδύνατα οὐκ εἰρήνην ἐπιζητεῖ, ἀλλὰ μᾶλλον τὸ ἀκατάλυτον τῇ ἔχθρᾳ προνοεῖται. Καὶ σὺ οὖν, υἱέ μου ἀγαπητὲ, ὡς τῆς εἰρήνης υἱὸς, υἱὸς γὰρ εἶ τῆς εἰρήνης, ὅτι ἐν καιρῷ τῆς εἰρήνης ἀπεγεννήθης τῷ ἁγίῳ σου Πατρὶ, ὡς παρὰ Χριστοῦ τοῦ τὴν εἰρήνην δωρησαμένου τῷ κόσμῳ τὴν ἀρχὴν τοῦ οἰκείου ἔθνους λαβὼν, τὰ τῆς εἰρήνης ἐπιζητῶν, εἰρηνικὰς προτείνου καὶ τὰς ὑπὲρ ὧν ἔπταισαν εἰς σὲ Ῥωμαῖοι ἀποτίσεις· λέγομεν δὲ οἷα καὶ πάλαι προεγράφη, χρυσίου συνεισφορὰν, ἀργύρου, χρημάτων ἄλλων, τυχὸν καὶ μέρους τινὸς γῆς ἀποκλήρωσιν, καὶ μὴ τοιαῦτα οἷα προβάλλεις ἀδύνατα. Καὶ γὰρ οὔτε ἡ εἰς τὴν πόλιν εἴσοδος ἀνεκτὴ, οὔτε τὸ ἕτερον ὅπερ λέγεις· τῆς πάσης Δύσεως ἡ κυριότης τῇ Ῥωμαϊκῇ βασιλείᾳ τυγχάνει. Ὥστε ταῦτα καταλιπὼν, τὰ δυνατὰ προβαλοῦ, καὶ ἃ σὺν Θεῷ καὶ σέ θεραπεύσει, πάντως γὰρ θεραπεύσει, ἐκεῖνά σοι προσγενόμενα· ἃ μήτε οἱ πρὸ σοῦ τὴν Ῥωμαϊκὴν βασιλείαν ἔσχον ὑποτελοῦσαν μήτε ὑμεῖς, μέχρι τοῦ παρόντος καιροῦ τοιαῦτα κέρδη ἐγνωρίσατε. Παρέξουσι δὲ καὶ οἱ τὸ βασιλεύειν λαχόντες καὶ ἡ τούτων σύγκλητος χωρὶς βαρύτητος καὶ ὅλῃ προαιρέσει· καὶ σὺν Θεῷ τῆς ἁγίας εἰρήνης τὰ δεσμὰ πάλιν συνάψουσι Βούλγαροι καὶ Ῥωμαῖοι· καὶ γενήσεται ὁ Σατανᾶς μὲν ἐκποδὼν, εὐφρανθήσεται δὲ ὁ Χριστὸς καὶ Θεὸς ἡμῶν, καὶ ὅσοι τῆς ἐκείνου μερίδος καὶ ἡ ἐξ ἀρχῆς εὐδαιμονία καὶ γλυκεῖα κατάστασις πάλιν μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων πλατυνθήσεται.

Περιεῖχε δὲ καὶ τὸ νῦν ἀποσταλὲν γράμμα σου, τέκνον ἡμῶν, καὶ πρὸ τούτου ἕτερα γράμ-

нарушил човекоубиецът. А и мирът напълно ще бъде възобновен, въжделени ми сине, само когато промениш тежките условия, които предлагаш, в по-снизходителни.

Като благоразумен човек ти знаеш, че за да се прекъснат враждата и раздорът между всички, които водят война и си съперничат поради насъскването на лукавия, не е възможно иначе, освен ако враждуващите не проявят по-голяма отстъпчивост помежду си. Защото, ако [само] едната от двете страни по своя воля предлага свои условия и търси това, което ѝ се струва [приемливо], едва ли тя е в състояние да утвърди мира и дружбата. Ясно е прочее, че онзи, който иска невъзможното, не желае мир, но се старае [да има] непрестанна вражда. Тъй и ти, любими ми сине, като син на мира, — и наистина, ти си син на мира, понеже си се родил от светия си баща във време на мир, — като си получил властта над своя народ от Христа, който е дал мир на света, като искаш мирни отношения, предложи условия за мир, и ще получиш удовлетворение за загубите, които ромеите са ти нанесли. Ние говорим за това, за което вече отдавна е писано, а именно да ти се даде злато, сребро и други неща, а тъй също и да ти се отстъпи и някоя част от земя, а съвсем не за такива невъзможни неща, които ти предлагаш. Нито влизането ти в столицата е приемливо, нито другото, за което ти говориш, тъй като целият Запад[1] се намира под ромейската власт. И тъй, остави всичко това, предложи изпълними условия и такива неща, които с помощ божия ще ти принесат полза, и наистина ще те ползуват, ако ги получиш. Нито твоите предшественици са получавали дан от Ромейската империя, нито вие досега сте знаели за такива придобивки. Обаче императорите и техният сенат, без мъка и единодушно ще се съгласят на това и с помощ божия ромеи и българи отново ще се съединят пак с връзките на свещения мир. И сатаната ще бъде отритнат, а Христос, бог наш, и всички ония, които са с него, ще се възрадват и предишното благополучие и щастие отново ще настанат между ромеи и българи.

В своите писма — последното и предишното — ти молиш да се изпратят

[1] Под Запад се разбират балканските владения на империята.

ματα, ὡς ἀποσταλῆναί τινας οἵ περὶ τῆς εἰρήνης συνομιλήσουσιν ὑμῖν· καὶ ἀπεστάλη ἐπὶ τούτῳ ἄνθρωπος θείᾳ χάριτι καὶ συζῶν εὐλαβείᾳ καὶ ἀρετῇ καὶ τῆς Θεομήτορος καὶ Δεσποίνης ἡμῶν τοῦ ἐν Βλαχέρναις ναοῦ σκευοφύλαξ, ὃν ὑποδεχόμενος τὰ δοκοῦντά σοι γνώρισον· καὶ μετὰ τὴν ἐκείνου ἐπαναστροφήν, εἴ γε ἡ σὴ ἀγαθὴ καὶ ἥμερος ψυχὴ πρὸς τὸ καλὸν εἰρήνης ὅλῃ ψυχῇ ἀποβλέψει, ἀποσταλήσονται καὶ τῆς Ἐκκλησίας ἄνθρωποι καὶ τῆς πολιτείας τῶν προκρίτων. δι' ὧν οἱ λόγοι τὸ βέβαιον καὶ πάγιον λήψονται. Εἴη δὲ Χριστὸς ὁ Θεὸς ἡμῶν, ὃν οἶδα ὅτι θεραπεύειν γνώμην ἀδιάλειπτον ἔχεις, ὡς τῆς ἐκείνου δόξης ἐφιέμενος ἐκεῖθεν κληρονόμος γενέσθαι,ἡ γὰρ παροῦσα δόξα ἄνθος χόρτου, ἐκεῖνα ἐμπνέων, ἐκεῖνα εἰς λογισμούς σου φέρων, ὅσα τὴν εἰρήνην βραβεύσει· ὑπὲρ ἧς τὸ ἄχραντον αὐτοῦ αἷμα κἀκεῖνος ἐξέχεε, καὶ τὰ λοιπὰ ὑπέστη πάθη, δι' ὧν τὸν πατέρα τῆς ἔχθρας κατήργησε τὸν διάβολον. (XXVII, col. 162 C — 176 D)

някои при вас за мирни преговори. За това е изпратен един мъж, по божия милост предаден на благочестието и добродетелта, скевофилаксът[1] на храма на Св. Богородица и владичица наша във Влахерните.[2] Като го приемеш, съобщи мнението си. И след завръщането му, ако твоята добра и кротка душа напълно бъде склонена към благото на мира, ще бъдат изпратени духовни лица и държавни сановници, чрез които преговорите ще добият тежест и сигурност. Нека пък Христос, бог наш, комуто аз зная, че ти си винаги готов да служиш — тъй като ти се стремиш да станеш на небето наследник на неговата слава, понеже земната слава е като градинско цвете, — нека внуши и всели в тебе мисли за онова, което ще затвърди мира, заради който той е пролял своята пречиста кръв, като приел върху себе си страданията на другите и с това унищожи дявола — бащата на враждата.

26. *Ad eundem*

Τῷ αὐτῷ

Πάλιν γράφομεν πρὸς υἱὸν ἀγαπώμενον παρ' ἡμῶν, εἰ καὶ παραλογιζόμεθα ὑπὸ τοῦ υἱοῦ, ἀλλὰ γράφομεν πρὸς τὴν ἀγάπην μᾶλλον τὴν κεχρεωστημένην τοῖς πατράσι πρὸς τὰ τέκνα ἀποβλέποντες, ἀλλ' οὐ πρὸς τὸν σὸν παραλογισμόν, ὃν ποιῇ πρὸς ἡμᾶς· γράφομεν δὲ τὸ μέν τι κινούμενοι ἐξ ἑαυτῶν, τὸ δέ τι καὶ παρὰ τοῦ ἁγιωτάτου Πάπα τοῦ ἀδελφοῦ ἡμῶν καὶ συλλειτουργοῦ. Οὗτος γάρ, ἐπειδὴ πρὸς πᾶσαν ἐξηπλώθη τὴν γῆν καὶ πανταχοῦ λαλεῖται τὰ μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων ἐλεεινὰ πράγματα, καίτοι μὴ θεασάμενος τοῖς ὀφθαλμοῖς τὴν τοσαύτην συμφοράν, τὴν αἰχμαλωσίαν, τὴν πυρκαϊάν, τὴν ἀπώλειαν τῶν ἐκκλησιῶν, τὴν διαφθορὰν τῶν παρθένων, τὴν χηρείαν, τὴν ὀρφανίαν, μὴ θεασάμενος ταῦτα ἀλλ' ἀπὸ μόνης τῆς ἀκοῆς ὀξεῖαν φέρων ἐν τῇ καρδίᾳ τὴν πληγήν, καὶ μὴ δυνάμενος τὰς δριμείας ὑποφέρειν ὀδύνας, ἀπέστειλεν ἱεροὺς

До същия

Отново пишем[3] до възлюбления наш син. Макар той и да ни пренебрегва, но ние пишем, като имаме пред вид повече любовта, която бащите дължат на децата, а не пренебрежението, което ти проявяваш към нас. Ние пишем отчасти по собствено желание, а отчасти по подбуда на пресветия папа[4], нашия брат и служител. Понеже се е разнесло по цялата земя и навсякъде говорят за достойните за оплакване работи, които стават между ромеи и българи, той, ако и да не е видял със собствените си очи това толкова голямо бедствие, пленение, опожаряване, разрушение на църкви, насилия над девици, овдовяване, осиротяване, без да е видял всичко това, но като дълбоко се съкрушавал в душата си само от слуховете и понеже не бил в състояние да понася горчивата печал, е изпратил свои свещени

[1] Скевофилакс *(σκευοφύλαξ)* се наричало лицето, което съхранявало черковните одежди, черковната посъда и др. Той се грижел да доставя и всичко необходимо за литургия (вино, зехтин, восък, жито). Т. нар. велик скевофилакс стоял в „Св. София" в Цариград и пазел патриаршеското съкровище, скъпо обковани книги и др. Вж. *Bréhier,* op. cit., p. 501. [2] Храмът „Богородица Влахернска" в квартала Влахерни (*αἱ Βλαχέρναι*) се намирал в северната част на Цариград между Златния рог и градската стена. Вж. *Janin,* Constantinople byzantine, pp. 303 — 304. [3] Това писмо е писано през лятото на 923 г. Вж. *Златарски,* Писмата. . ., СбНУК, XII, стр. 182 — 184. [4] Римският папа Йоан X (914 — 928).

αὐτοῦ ἀνθρώπους ἀρχιερεῖς κατὰ πάντα Θεῷ εὐαρέστους, τὸν μὲν πρῶτον ὑπάρχοντα τῶν ἑαυτοῦ ἐπισκόπων. Θεοφύλακτος δὲ οὗτος καλεῖται· ἕτερον δὲ καὶ αὐτὸν ἐπίσκοπον οὐ πολὺ τῆς ἐκείνου λειπόμενον τάξεως, Κάρος καὶ οὗτος καλεῖται. Ἀλλὰ γὰρ τούτους ἐπέστειλε πρὸς σὲ γράμμα κομίζοντας, οὗ ὁ σκοπὸς καὶ ἡ σπουδὴ τὰ χαλεπὰ ταῦτα τὰ μεταξὺ Βουλγάρων καὶ Ῥωμαίων ἐκ μέσου γενέσθαι, καὶ τὸν πατέρα τῶν κακῶν διάβολον καταισχυνθῆναι, εἰρήνην δὲ βραβευθῆναι, ἣν ἐχαρίσατο τοῖς ἐπικεκλημένοις τῷ τοῦ Χριστοῦ ὀνόματι αὐτὸς ὁ Χριστὸς ἡμῶν, ἡ ὑπερέχουσα πάντα νοῦν εἰρήνη, ὁ τῆς ἔχθρας καθαιρέτης καὶ τῷ συνδέσμῳ τῆς ἀγάπης συνδεδεμένους εἶναι βουλόμενος, τοὺς ἐκεῖνον ὁμολογοῦντας Δεσπότην καὶ Κύριον. Ἀλλ᾽ ὅπερ εἶπον οὕτως ἐκ μόνης τῆς ἀκοῆς πεπληγμένος τὴν καρδίαν, ὁ τῶν Ῥωμαίων ἁγιώτατος ἀρχιερεύς, καὶ πάντες οἱ τελοῦντες ὑπ᾽ αὐτὸν ὑποχείριοι, ἀπέστειλαν πρὸς ἡμᾶς γράψαντες καὶ ἡμῖν τούτους παντὶ τρόπῳ δι᾽ ἡμῶν ἐκπεμφθῆναι πρὸς Βουλγαρίαν, ἐλπίζοντες ὡς πάντως πεισθήσῃ ἢ τῇ δεσμῷ. Παρεκελεύσατο γὰρ τοῦτο τοῖς ἑαυτοῦ ἀποστόλοις ὁ ἁγιώτατος Πάπας, ἵνα ἐάν περ πρὸς τὴν παραίνεσιν κλείσῃς τὰ ὦτα, δεσμῷ ἀλύτῳ σε τοῦ ἁγίου Πνεύματος συνδεσμήσωσι. Τούτους οὖν ἐπὶ τούτῳ πρὸς σὲ ἀπεσταλμένους, ἐβουλήθημεν καὶ ἡμεῖς πρὸς σὲ ἀποστεῖλαι· ἀλλ᾽ ἐκεῖνο ἐνθυμηθέντες, ὡς οὐκ οἶδα πόθεν, τέκνον ἠγαπημένον, μετὰ τῶν ἄλλων καὶ τοῦτο ποιεῖν διέγνως οὐ καλῶς, τὸ τοὺς ἀποκρισιαρίους κατέχειν, ὅπερ ἐν οὐδενὶ τῶν ἄλλων ἐθνῶν οὐδ᾽ ἐν τοῖς ἀπίστοις ὁρᾶται γινόμενον, ὑπεστάλημεν ὥστε μὴ τοὺς ἄνδρας μετὰ τῆς ἄλλης ταλαιπωρίας, ἣν ὑπέστησαν τοσοῦτον μῆκος ὁδοῦ ἐκπονήσαντες, καὶ εἰς τὴν παρὰ σοῦ στενοχωρίαν καὶ κάκωσιν ἐμπεσεῖν. Διὰ τοῦτο τὸ μὲν γραφὲν πρὸς σὲ γράμμα παρὰ τοῦ ἁγιωτάτου Πάπα ἐξεπέμφθη· τῶν δὲ ἀνθρώπων φεισάμενοι τῆς κακώσεως, ἵνα μὴ λέγω τοῦ θανάτου, τῆς πρὸς σὲ ἀφίξεως ἐπέσχομεν αὐτούς. Τί οὖν φημι, τέκνον ἡμῶν; Σκόπει καὶ μὴ βουληθῇς ὥσπερ ἡμῶν καταφρονῆσαι, οὕτω καὶ τοῦ νῦν πρὸς σὲ γράψαντος τοῦ Ῥωμαίων ἀρχιερέως. Ἀλλ᾽ εἰ καὶ ἡμᾶς ἐν οὐδενὶ ἔθου καὶ τὰς ἡμετέρας παραινέσεις, τίμησον ἐκείνου τὴν νουθεσίαν, μή ποτε ἀτιμαζομένου αὐτοῦ, οἰκείαν οἱ κορυφαῖοι ἀπόστολοι τὴν ἀτιμίαν ποιησάμενοι, ὡς ἐν νυκτὶ καὶ ἡμέρᾳ τούτοις ἐξυπηρετουμένου, δριμὺ ἐπιβλέψωσιν ἐπὶ σέ· καὶ οὐκ

мъже архиереи, угодни богу във всичко: първия от епископите си, на име Теофилакт, и другия, тъй също епископ, който по достойнствата си не отстъпва на първия, на име Кар. Но той ги е изпратил да ти донесат писмо, целта и намерението на което е да се премахнат раздорите между ромеи и българи, да бъде посрамен дяволът, бащата на злините, да се утвърди мирът, превъзхождащ всеки разум, който дари на наречените с негово име самият наш Христос, разрушителят на враждата, желаещ да съедини с връзките на любовта ония, които го изповядват за господар и господ. По този начин, както вече казах, потресен само от слуха, светейшият римски първосвещеник и всички нему подвластни епископи изпроводиха споменатите архиереи до нас с писмо, за да ги отправим в България, като се надяват, че ти ще послушаш или техните увещания, или техните заплахи [анатема], защото светейшият папа заповядал на своите пратеници, в случай, че ти не обърнеш внимание на техните увещания, да те вържат с неразривните окови на светия дух. И тъй, ние решихме да ти изпратим тези хора, пратени до тебе с тая цел. Но ние помислихме, любимо чедо, не зная защо, да не си решил да постъпиш зле с тях, както и с другите и да задържиш пратениците — [нещо], което не става у никой друг народ, дори сред неверните. Ние се побояхме да не би тези мъже покрай другите неприятности, които са претеглили, като са изминали толкова дълъг път, да се подложат и от твоя страна на притеснения и оскърбления. Поради това пратихме писмото, написано от светейшия папа до тебе, а хората, като ги запазваме от оскърбления, за да не кажа от смърт, задържахме ги да не идват при тебе. И тъй, какво мога да кажа, чедо наше? Внимавай и не мисли да се отнесеш с пренебрежение както към нас, тъй и към римския първосвещеник, който сега ти пише. Но ако ти не смяташ за нищо и нас, и нашите увещания, то отнеси се с почит към неговото внушение, та да не би, за непочитането ти към него, върховните апостоли, като сметнат това за свое безчестие, да ти се разгневят, тъй като той денем и нощем им служи, и аз не зная, дали ти ще бъдеш в

οἶδα εἰ δυνηθήσῃ τὴν δριμύτητα ὑποστῆναι. Ἀναλόγισαι Πέτρον, ὅπως Ἀνανίαν καὶ τὴν ἐκείνου σύζυγον τῷ θανάτῳ παρέδωκεν ἐκ μόνης ἀγανακτήσεως· ἐνθυμήθητι Παῦλον, ὅπως Ἐλύμα τοῦ μάγου τοὺς ὀφθαλμοὺς ἠμαύρωσεν, ἐπειδὴ μόνον ἔδοξεν ὁ ταλαίπωρος ἐκεῖνος πρὸς ἐναντιότητα φέρεσθαι τοῦ Ἀποστόλου. Ταῦτα οὖν ἐνθυμήθητι, τέκνον ἡμῶν, καὶ πάλιν φημί, καὶ φρίκην καὶ φόβον ἀναλαβοῦ εἰς τὸ καθὼς ἡμᾶς, οὕτω καὶ τοῦ Πάπα τὴν διδασκαλίαν παραλογίσασθαι· μάλιστα ὅτι καὶ αὐτὸς σὺ ὥς γε μανθάνομεν περὶ πολλοῦ ποιῇ τοῦ τιμᾷν τοὺς ἁγίους καὶ κορυφαίους τῶν μαθητῶν, οὓς εἰ ἀληθῶς τιμᾷς, πάντως οὐκ ἀτιμάσεις τὸν ἐν τῷ θρόνῳ τούτων καθήμενον. Ἀλλὰ ταῦτα μὲν γράφομεν περὶ τῶν Ῥωμαίων ἕνεκα τῆς πρὸς σὲ ἀποστολῆς. Γνωρίζομαν δέ σοι καὶ τοῦτο, ὅτι χάριτι Θεοῦ τὰ ἐνταῦθα καταλαβόντες, εἴ τι σκάνδαλον ἐκ τοῦ τετάρτου γάμου ἐν τῇ Ἐκκλησίᾳ συμβέβηκε, τοῦτο μετὰ τῆς ἡμῶν ταπεινότητος τῷ ἀναθέματι παραδεδώκασι, καὶ πάντα ὅσα ἐδεῖτο θεραπείας, ἔτυχε τῆς ὀφειλομένης ἰάσεως, καὶ λοιπὸν κοινῇ τοῖς ἀχράντοις ὑπηρετήσαμεν μυστηρίοις, καὶ τῆς κοινωνίας αὐτῶν μετέσχομεν καὶ τοῦ ἁγιασμοῦ, καὶ γέγονε λοιπὸν ἡ Ῥωμαίων καὶ ἡ Κωνσταντινουπολιτῶν Ἐκκλησία μιᾶς συμπνοίας καὶ ὁμονοίας. Ἐγράψαμεν οὖν καὶ περὶ τούτου, τοῦ μὲν ἵνα καὶ αὐτὸς χαίρειν ἔχῃς, ὥσπερ καὶ ἡμεῖς, ἐπὶ τῇ καταστάσει τῶν ἐκκλησιῶν. Οἶδα γὰρ ὅτι περ εἰ καὶ ὁ Σατανᾶς τὰ ἄλλα κακῶς διέθηκε μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων, ἀλλ᾽ ὅμως ὡς τοῦ Χριστοῦ λατρευτής, χαίρεις ἐπὶ τῇ καταστάσει τῆς αὐτοῦ Ἐκκλησίας.

Ἐκεῖνο δὲ θαυμάζω, τέκνον ἡμῶν, πῶς τοσαύτῃ συνέσει διαπρέπων, πρᾶγμα ποιεῖς ἀνάξιον τῆς σῆς συνέσεως. Δεχόμενος γὰρ γράμμα παρὰ τῶν λαχόντων ἐκ Θεοῦ βασιλεύειν τοῦ Ῥωμαϊκοῦ λαοῦ, ἀντιγράφεις οὐ πρὸς ἐκείνους, ἀλλὰ πρὸς τὴν σύγκλητον. ὃ καὶ παράδοξον ἀκοῦσαι καὶ ἀπρεπὲς, καὶ σὲ εἰς μέμψιν ἐμβάλλον. Τίς γάρ ποτε τῶν πάντων ἀνθρώπων, ἐκ τοῦ λαχόντος ἄρχειν γράμμα δεχόμενος, ἐκεῖνον μὲν καταλείπει, γράφει δὲ πρὸς τοὺς ὑπὸ χεῖρα τελοῦντας; Τίς ποτε, τὸν δεσπότην ἀφεὶς, ὃς κύριος ὑπάρχει περὶ τῶν

състояние да понесеш гнева им.[1] Спомни си, как апостол Петър предаде на смърт Анания и неговата жена само поради негодуване [от тяхната постъпка];[2] спомни си как апостол Павел ослепи влъхва Елима, когато този нещастник само повидимому се отнесъл враждебно към апостола[3]. И тъй, чедо наше, повтарям, имай пред вид всичко това, бой се и страхувай се да пренебрегнеш както нашите, тъй и папските наставления, особено защото и ти сам, както знаем, много държиш да почиташ светите и върховни ученици [на Христа]. Заради тях, ако ти наистина ги почиташ, ще се отнесеш с надлежното почитание и към онзи, който седи на техния престол. Но това ние пишем за римляните поради пратеничеството до тебе. Съобщавам ти и за това, че по милост божия те наредиха и тукашните работи. Ако и да произлязоха козни в църквата поради четвъртия брак,[4] обаче те заедно с наше смирение ги предадоха на анатема и всичко, което се нуждаеше от лечение, получи надлежното целение. Прочее ние служихме заедно [с тях] в пречистите тайнства, участвувахме в общението и освещението заедно с тях и по този начин бидоха възстановени единодушието и единомислието между Римската и Цариградската църква. И тъй, ние писахме и за това, та и ти заедно с нас да се радваш поради съединението на църквите. Понеже зная, че ако и да е развалил сатаната отношенията между ромеи и българи, все пак ти, като служител на Христа, се радваш поради успокоението на неговата църква.

Мене ме учудва само това, чедо наше, как ти, надарен с такъв разум, извършваш дела, недостойни за твоя разум! Защото, като получи писмо от тия, които са поставени от бога да царуват над ромейския народ, ти отговаряш не пред тях, а пред сената — нещо, което е странно да се чува и е неприлично, и те излага на укор. Понеже кой от хората, като получи писмо от владетеля, оставя го [без отговор] и пише до поданиците му? Кой, след като остави без внимание повелителя, който като господар определя какво да се говори и дали да се

[1] Николай Мистик искал да използува авторитета на папата, за да склони цар Симеон към мир. Затова освен с писмото на папата той се опитал да му внуши страх и от бъдещо духовно наказание. Вж. *Златарски*, Писмата. . ., СбНУК, XII, стр. 184. [2] Деяния, V, 1 — 5. [3] Деяния, XIII, 6 — 12. [4] Става дума за четвъртия брак на Лъв VI, който предизвикал разцепление в Цариградската църква.

λεγομένων καὶ κατανεύειν καὶ μή, τοῖς δούλοις διαλέγεται, καὶ παρ' ἐκείνων ἀξιοῖ γνώμην λαμβάνειν; Ποῦ τοῦτο γινόμενον ἤκουσας ἐν πᾶσιν ἀνθρώποις; Οὐ γέγονε μέχρι καὶ νῦν οὐδαμοῦ τὸ παράλογον τοῦτο, οὐδ' ἔστιν ὅς, τοῦτο ἀκούσας, οὐχὶ πολλὴν κατάγνωσιν κατὰ τοῦ τοιαῦτα φρονοῦντος ποιήσεται. Κατάλιπε οὖν, τέκνον ἡμῶν, τὴν τοιαύτην ἐπίνοιαν· οὐ γάρ ἐστι σπουδαζόντων, ἀλλὰ παιζόντων. Καὶ σὺ οὖν, εἴ γε λαβὼν θεόθεν διάνοιαν εἰς κατάγνωσιν ἦλθες καὶ μεταμέλειαν τῶν παρὰ σοῦ γενομένων, τῶν φόνων, τῶν πυρπολήσεων, τῆς ἄλλης ἐρημώσεως, καὶ τὰ τῆς εἰρήνης φρονεῖς ἀληθῶ; γράφε πρὸς τοὺς λαβόντας παρὰ Θεοῦ καὶ τὴν βασιλείαν καὶ τὴν πρόνοιαν τοῦ λαοῦ αὐτοῦ· καὶ εἴ γε τοῦτο δοκεῖ, καὶ τὸν τόπον ἐν ᾧ συναφθήσονται οἱ τὰ τῆς εἰρήνης συνθησόμενοι.

Καὶ εἰ μὲν αὐτὸς βούλει διὰ σεαυτοῦ παραγενέσθαι, καὶ τοῦτο ποίησον δῆλον· ὥστε καὶ ἐμὴν ταπεινότητα, εἰ καὶ γέρων καὶ ἀσθενὴς, ἀλλ' ὅμως ὑπεριδεῖν τούτων καὶ πρὸς σὲ παραγενέσθαι, μεθ' ὧν ἂν δοκιμάσωσι προκρίτων τῆς πολιτείας οἱ φιλόχριστοι βασιλεῖς ἡμῶν. Τοῦτο ποίησον, εἰ ἀληθῶς μεμίσηκας πολέμους καὶ τὰς σφαγὰς, καὶ τῆς εἰρήνης ἐν ἐπιθυμίᾳ κατέστης. Εἰ δ' ἃ γράφεις οὐκ ἔστι σπουδάζοντος, οὐδὲ τὴν εἰρήνην ἐπιζητοῦντος, ἀλλὰ προφάσεις καὶ λόγοι παιδιᾷ μεμιγμένοι, κρεῖττόν ἐστι σιωπὴν κτήσασθαι, καὶ μήτε γράφειν τοιαῦτα, μήτε ἀντὶ ματαιολογίας παρ' ὑμῶν γραφομένης, ἀντιγράφεσθαί σοι ματαιολογίας ἐπιζητεῖν. Τὰ δ' ἄλλα ἐῤῥωμένον σε διαφυλάξοι Χριστὸς ὁ Θεὸς ἡμῶν, πλέον ἐπεκτείνων τὴν χεῖρα εἰς βοήθειαν τοῦ καλῶς τὸν βίον περᾶσαι καὶ ἀκατακρίτως, ὅσῳ πλέον ὑμῖν τὸ φορτίον τῶν κοσμικῶν πραγμάτων ἐπέθηκε, καὶ μὴ συγχωρήσοι τῷ τούτων βάρει τοῦ νοῦ χαλασθῆναι τὸ ἔντονον, καὶ διὰ τοῦτο πρὸς ἀπρεπῆ πράγματα ἐξενεχθῆναι, ὅπερ ὡς τὰ πολλὰ συμβαίνει τοῖς τὰς ἀρχὰς διέπουσι, καὶ δυναστείαν κοσμικὴν καὶ ἐξουσίαν ἐγκεχειρισμένοις. (XXIX, col. 176 C — 181 A)

даде съгласие или не, преговаря със служителите му и иска да получи мнение от тях? Къде си чул да става това сред хората? Досега никъде не е ставала такава несъобразност и няма такъв, който, като чуе това, да не осъди строго оня, който мисли така. И тъй, остави, чедо наше, този начин на действие, защото това не е свойствено на сериозни хора, но на ония, които се подиграват. И тъй, ако ти, след като получи от бога внушение, се опомниш и се разкаеш за извършеното досега от тебе, т. е. за убийствата, опожаряванията и другите опустошения, и ако действително мислиш, пиши на ония, които от бога са получили управлението и попечението над неговия народ. И ако това е така, определи място, гдето трябва да се съберат онези, които ще установят условията на мира.

Ако пък и сам желаеш лично да присъствуваш, кажи открито, та и мое смирение, ако и стар и немощен, като пренебрегна всичко това, да се явя при тебе заедно с ония от високопоставените в държавата, които ще бъдат определени от нашите христолюбиви императори. Направи това, ако наистина ти си намразил войните, убийствата и си обладан от желание за мир, ако пък онова, което пишеш, не са думи на човек сериозен и на такъв, който иска мир, а са хитрини и приказки, смесени с шега, то тогава подобре е да се мълчи и да не се пише подобно нещо, нито пък да се стараем да отговаряме на твоето пустословие. Прочее нека Христос, бог наш, те пази невредим и нека толкова повече ти простре ръката си за помощ, за да прекараш добре и безукорно живота си, колкото по-голямо бреме на светските работи ви е наложил той. Нека не позволи той поради тяхната тежест да се отслаби силата на ума ти и поради това да се предадеш на непристойни дела, което често се случва с ония, които управляват и на които е поверена светска власт и мощ.

27. Ad eundem

Τῷ αὐτῷ

Ἐσιωπήσαμεν, τέκνον ἡμῶν πεποθημένον, χρόνον ἱκανὸν, καὶ συνεστάλημεν τοῦ πρὸς ὑμᾶς γράφειν, τοῦτο μὲν βαρείᾳ θλιβόμενοι θλίψει, ὅτι ἐκ τῶν συχνῶν γραμμάτων, ὧν προεγράψαμεν οὐδεμίαν εἴδομεν ὠφέλειαν ἀπαντήσα-

До същия

Доста време, любимо ни чедо, ние мълчахме и се въздържахме да ви пишем, отчасти угнетени от тежката печал, загдето от честите си писма, които ти пращахме, ние не видяхме никаква полза,

σαν, τοῦτο δὲ καὶ πρὸς τὸν τοῦ Θεοῦ τὸν τῆς εἰρήνης αἴτιον καὶ χορηγὸν τὰς ταπεινὰς ἡμῶν δεήσεις ἀνατεθεικότες καὶ πρὸς μόνην τὴν παρ᾽ ἐκείνου ἀφορῶντες εὐμένειαν, καὶ τὴν σωτηριώδη πρόνοιαν, ἥτις ἐπ᾽ οὐδενὶ ἄλλῳ, ὅσον ἐπὶ τῇ τοῦ κόσμου θεραπεύεται εἰρήνῃ. Νῦν δὲ, τέκνον ἡμῶν, ἐπειδὴ ὥσπερ τὸ πολὺ βάρος ἐκεῖνο τῆς θλίψεως ἐκ τῆς καρδίας ἡμῶν ἀπογεγενημένον ᾐσθόμεθα, καὶ πρὸς ἐλπίδας ἀγαθὰς κατέστημεν, καὶ εἴη μὴ διαψευσθῆναι ἡμᾶς τῆς ἄνωθεν εὐδοκίας τοῦτο προμηθουμένης, πάλιν ἐπὶ τὸ γράφειν πρὸς τὴν ὑμῶν μεγαλόδοξον ὡρμήσαμεν τιμιότητα, τέκνον ἡμῶν, υἱέ μου ἀγαπητέ· ἀγαπῶμεν γάρ σε, καὶ σὺ τὸν πατέρα οὐκ ἀγαπᾷς· εἰ γὰρ ἠγάπας, ἤκουσας ἂν παραινέσεως πατρικῆς. Ἀλλά, τέκνον μου ἠγαπημένον, μέχρι τίνος οὕτω διακεισόμεθα, λυποῦντες μὲν Θεὸν, ἐφ᾽ οἷς ὄλεθρον προξενοῦμεν τῇ ἁγίᾳ τούτου κληρονομίᾳ, εἰς ὄνειδος δὲ ἑαυτῶν, ὅτι χρόνον ἐπὶ τοσοῦτον ταῖς κατ᾽ ἀλλήλων σφαγαῖς Χριστιανοὶ μολύνονται οὐκ ἐννοήσαμεν τὸ φοβερὸν κριτήριον τοῦ Θεοῦ;

Οἶδα ὅτι, ἐὰν βούλῃ, οὐδενὸς τῶν ἐπὶ φρονήσει διαβοωμένων τὸ τοῦ Κριτοῦ γινώσκεις κατάκριμα. Ἕως πότε προστίθεμεν κακὰ τοῖς κακοῖς; Ἕως τίνος παραχωρήσομεν κατορχεῖσθαι τῷ διαβόλῳ ταῖς τῶν Χριστιανῶν κατ᾽ ἀλλήλων σφαγαῖς; Ἐνθυμήθητι, τέκνον ἡμῶν, ὅτι τάχα καὶ τῆς ζωῆς ἡμῶν ὁ χρόνος παρήλασε, καὶ ἴσως οὐ μακρὰ προθεσμία τοῦ διαλυθῆναι τὴν ψυχὴν ἐκ τοῦ σώματος. Εἶτα μετὰ ποίας ἀπαίρομεν συνειδήσεως ἐκ τῆς παρούσης ζωῆς, ἐὰν τοῦτο συμβῇ οἷα τὰ ἀνθρώπινα; Κἂν ἐλπίδες ἀπατῶσι πολλάκις μάταιαι, ὅτι προσμενοῦμεν ἐπὶ πλεῖον τῇ παρούσῃ ζωῇ· τί ἐροῦμεν τότε; Τί διανοηθῶμεν, ὅτε στενὸς ὁ καιρὸς, καὶ τὴν ψυχὴν ἀπαιτοῦντες ἄγγελοι ἐφεστήκασιν, ὅτι οὐ μόνον ζῶντες ἐπράξαμεν, οἷα ἐπράξαμεν; Οἶδας δὲ πάντως οἷα ἐπράχθη, ὅση Βουλγάρων καὶ Ῥωμαίων ἀπώλεια, τῶν υἱοθετηθέντων Θεῷ διὰ τοῦ βαπτίσματος· ὅση τῶν ἐκκλησιῶν τοῦ Θεοῦ ἐρημία, καὶ τῆς ἐκείνου δοξολογίας καὶ τῶν τελουμένων μυστηρίων εἰς ἀποκάθαρσιν τῶν ἁμαρτιῶν ἡμῶν, οἴμοι τῶν ἐμῶν παθῶν τὸ βαρύτατον, ἀφανισμὸς καὶ ἀπόπαυσις. Ἀναλογίζου μοι τῶν μοναστηρίων τὴν ἀπώλειαν, τῶν ἐπισκοπείων τὴν ἐξολόθρευσιν, τῶν ἄλλων ὅσαι κατὰ χώρας ὑπῆρχον ἐκκλησίαι, καὶ τῆς ἐν αὐταῖς γινομέ-

а отчасти понеже възнасяхме своите смирени молитви към бога, твореца и подателя на мира, и се надявахме сами на неговото благоволение и спасителен промисъл, който не се грижи за нищо друго освен за мира в света. Но сега, чедо наше, почуствувахме, като че ли това голямо бреме на мъчението се махна от сърцето ни и бяхме обвзети от добри надежди — дано с помощта на висшето благоволение не бъдем излъгани, — та решихме пак да пишем[1] до ваша велеславна чест, чедо наше, сине мой любими! Защото ние те обичаме, а ти не обичаш баща си, понеже ако го обичаше, щеше да послушаш бащинското увещание. Но, любимо ми чедо, докога ще се намираме в такова положение и ще наскърбяваме бога за това, че навличаме гибел на неговото свето наследие, и за наш срам, че християните се оскверняват с взаимни убийства толкова време, без да помислят за страшния съд божи!

Зная, че ти, ако искаш добре да разбереш, нито един от твоите помисли няма да избегне осъждането на върховния съдия. Но докога ние ще прибавяме злини към злините? Докога ще позволяваме на дявола да ликува от взаимните убийства на християните? Помисли, чедо наше, че и времето на нашия живот бързо измина и може би определеният за раздяла на душата от тялото ден не е далеч. После, с каква съвест ние ще заминем от този живот, ако това се случи, както обикновено бива с хората, въпреки че често празни надежди ни мамят, че уж ние още дълго ще останем в този живот? Какво ще кажем тогава? За какво ще мислим, когато настане страшният час и ангелите, като поискат душата, ще прегледат какво сме направили през живота си? Тебе пък ти е добре известно какво е било извършено, каква гибел на българи и ромеи, осиновени от бога чрез кръщението, какво опустошение на божиите храмове, какво изчезване и прекратяване на славословието към бога и на извършването на тайнствата за очистване на нашите грехове — о най-тежка моя скръб! Помисли за разрушението на манастирите, за унищожението на епископиите, запустяването и на другите църкви, които се намираха в страната, и за прекратяването на богослужението,

[1] Това писмо е било написано през лятото на 923 г. Вж. *Златарски*, Писмата..., СбНУК, XII, стр. 172.

νης εἰς δόξαν Θεοῦ λατρείας τὴν ἐξερήμωσιν. Ἐῶ τὰ ἄλλα, τὴν φθορὰν τῶν παρθένων, τῆς ὀφειλομένης μονάζουσιν εὐλαβείας τὴν ἔκπτωσιν, τῶν ἱερέων τοῦ Θεοῦ τὴν, ὡς εἰκὸς διὰ τὴν αἰχμαλωσίαν, οἷα τὰ ἀνθρώπινα, τῆς ἱερατικῆς τάξεως καταφρόνησιν· καὶ τούτων πάντων, ὥσπερ οὐχ ἱκανῶν ὑπαρχόντων εἰς θλῖψιν τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, πάλιν μετὰ τὴν σὴν ἀποβίωσιν ὑπὸ σοῦ καταλιμπανομένων σκανδάλων ἀνιάτων καὶ ἀθεραπεύτων. Ἤδη τὴν νεότητα ὑπερήλασας· ἄπιστος μὲν γὰρ νεότητι τὸ παραμένειν τῷ βίῳ ἡ ἐλπίς· ὁπότε δὲ τὴν νεότητα ὑπερβῶμεν, καὶ μάλιστα πρὸς ἑξηκοστὸν καταντήσωμεν ἔτος, ᾧτινι καὶ σὺ τυχὸν ἢ πλησιάζεις ἢ οὐ πολὺ πόῤῥω ἀφέστηκας, τί δεῖ λογίζεσθαι; Πρὸς γὰρ τὸ ἑβδομηκοστὸν σπάνιοι τῶν ἀνθρώπων ἀναβαίνουσιν, ὡς ἐπὶ πλεῖστον δὲ ὁρῶμεν τὸ ἀνθρώπινον γένος κάτωθεν τούτου τὴν ζωὴν καταστρέφον.

което се извършваше за слава божия. Не споменавам другото — разтлението на девиците, упадъка на подобаващото на монасите благочестие, презрението към служителите на бога и към свещеническия чин, което обикновено става при пленяването и е свойствено на хората. И всички тия съблазни като че не са достатъчни да огорчат Христа и бога наш и след смъртта ти да останат непоправими и неизличими. Ето ти премина младините си, а между това даже за младостта надеждата да останем живи е съмнителна. А когато ние сме прекарали младините си и особено когато сме достигнали до шестдесетата година, към която ти вече или се приближаваш, или от която се намираш недалеч,[1] какво трябва да мислим? Понеже до седемдесетата година рядко някой от хората доживява — както виждам, повечето от хората умират около тази година.

Τίς οὖν ὠφέλεια ἐν τῷ σε καταβῆναι εἰς διαφθορὰν τοῦ κατ᾽ ἀλλήλων πολέμου Ῥωμαίων τε καὶ Βουλγάρων τῆς παραμονῆς; Τί ἄλλο ἢ τὸ μὴ μόνον ἐν τῇ ζωῇ ἡμῶν τῶν κακῶς γεγενημένων ἐν τῷ ἐκεῖθεν τοῦ Θεοῦ κριτηρίῳ τὰς δίκας ὑποσχεῖν, ἀλλὰ καὶ τῶν μετὰ θάνατον ἄλλοις πραττομένων ἡμᾶς ὑποστῆναι τὴν κόλασιν; Διὰ τοῦτο, τέκνον ἡμῶν, οἷα παρὼν προσπτύσσομαι, καταφιλῶ τὸ στόμα, τοὺς ὀφθαλμούς, καὶ πᾶν ἄλλο μέλος· ἐφάπτομαι τῶν γονάτων καὶ δυσωπῶ ἐπικαμφθῆναι τὴν σὴν ἡμερωτάτην ψυχήν, εἰ καὶ πραγμάτων κακία ταύτην ἐξέστησε τοῦ οἰκείου αὐτῆς ἰδιώματος, πρὸς τὴν εἰρήνην· ἀρκεσθῆναι τοῖς ἤδη γεγενημένοις ὀλεθρίοις πράγμασιν, ἀπολῆξαι τοὺς κατ᾽ ἀλλήλων τῶν Χριστιανῶν πολέμους καὶ τὰς σφαγάς, μηδὲ καταλιπεῖν μνημόσυνον ἐλεεινὸν καὶ κατάρας ἄξιον, ὅτι Συμεὼν ἐκεῖνος ὁ κατὰ τὴν ἑαυτοῦ γενεὰν ὅσα γε τὰ ἐκ φρονήσεως, τὰ ἐξ ὀρθῆς κρίσεως, τὰ ἐκ παντὸς εἴδους ἀρετῆς γενόμενος ὑπερθαύμαστος, καὶ οἷον φωστὴρ τοῦ Βουλγάρων γένους, οὕτως κατεπάτησε τὴν εἰρήνην τὴν ὑπὸ τοῦ οἰκείου πατρὸς γενομένην, ἠθέτησεν οἰκεῖα σύμφωνα καὶ ὅρκους καὶ συμβάσεις πρὸς τοὺς Ῥωμαίους, καὶ γέγονε πολέμιος ἀπηνέστερος τῶν προπατόρων αὐτοῦ, οἳ τὸν Χριστὸν καὶ Θεὸν ἡμῶν οὐκ ἐγνώρισαν. Καὶ οὐ μόνον ἐν τοῖς ζῶσιν ὑπάρχων τοιοῦτος ὤφθη, ἀλλὰ καὶ μετὰ τὸν

И тъй, каква е ползата от това, че ти толкова настояваше за продължението на тази гибелна война между ромеи и българи? Какво друго ще ни постигне, освен наказание в отвъдния съд божи не само за лошите дела, които сме направили през живота си, но и за ония, които ще бъдат извършени след нашата смърт от другите? Затова аз, че до наше, като че присъствувам лично, обгръщам те и целувам устата ти, очите и целия тебе. Обгръщам колената ти и умолявам твоята прекротка душа, ако и да са я лишили позорните дела от особените ѝ качества, да се склони на мир; нека тя се задоволи от извършените вече пагубни дела и да прекрати взаимните войни и убийства на християни, да не остави подире си жалък и достоен за проклятие спомен за това, че известният Симеон, който се прославил в своя род с мъдростта си, със справедливия си съд и с различните си добродетели, и е като светило на българския род, така е потъпкал мира, сключен от собствения му баща, нарушил е собствените си съглашения, клетви и договори с ромеите и е станал техен много по-жесток враг, отколкото неговите прадеди, които не са познавали Христа и бога наш. И нека да не кажат, че той не само се показал такъв през живота си, но и след смъртта си е ос-

[1] Цар Симеон бил роден към 865—866 г. Вж. *Златарски*, Писмата. . . ., СбНУК, XII, стр. 188, бел. 1.

ἑαυτοῦ θάνατον ἄσπονδον κατέλιπε πόλεμον, καὶ τὴν κατ' ἀλλήλων μάχαιραν Ῥωμαίων καὶ Βουλγάρων τοῦ τῆς σφαγῆς αἵματος ἀποστάζειν ἠδάπησε.

Ταῦτά σοι ἔγραψα, τέκνον ἡμῶν, θρηνῶν καὶ ὀδυρόμενος πρῶτον μὲν ἐμαυτὸν, ὅτι μέχρι τοσούτου παρέτεινε τὸ ἐμὸν ἄθλιον γῆρας, καὶ τοιουτῶν ἐλεεινῶν πραγμάτων ἐγενόμην ἐν ἱστορίᾳ· θρηνῶν δὲ καὶ ὑμᾶς, ναὶ δὴ καὶ τὸ Ῥωμαίων γένος, ὧν ἕνεκα καὶ νῦν κατ' ἀλλήλων κινούμενοι πάσχετε. καὶ εἰς τὸν μέλλοντα αἰῶνα, ὅτε τὰ πάθη οὐκ ἔχει ἀπόπαυσιν, πικραῖς ὑποβληθήσεσθε τιμωρίαις, ὡς τὸ αἷμα τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν, δι' οὗ ἠγοράσθημεν, καὶ λαὸς αὐτοῦ νεγενήμεθα, εἰς οὐδὲν λογιζόμενοι. Πλὴν οἱ θεοστεφεῖς ἡμῶν βασιλεῖς, καθὼς πολλάκις, οὕτω καὶ νῦν τὴν εἰρήνην ἐπιζητοῦσι, καὶ παντὶ τρόπῳ τὰ ἐκ τῶν προλαβόντων ἀνθρώπων παρακολουθήσαντα σφάλματα θεραπευθῆναι σπουδάζουσι. Διὰ τοῦτο καὶ νῦν ἀπέστειλαν ἀνθρώπους, οἳ περὶ τῆς εἰρήνης ὑμῖν συλλαλήσουσι· καὶ ἔστι σὺν καὶ τῆς σῆς τελειοτάτης συνέσεως εἰς τὰς πρεπούσας συμβάσεις καὶ Θεῷ εὐαρέστους, καὶ κοινῶς συμφερούσας Ῥωμαίοις καὶ Βουλγάροις συνελθεῖν· ἵνα καὶ ὁ Σατανᾶς ὁ τῶν σκανδάλων καὶ τῶν πολέμων αἴτιος καταισχυνθῇ, καὶ ὡς τὸ ἐξ ἀρχῆς ἐβράβευσε Θεὸς τὴν εἰρήνην μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων, πάλιν ἔχητε τὴν εἰρήνην. Καὶ ὑμεῖς μὲν ὡς τέκνα τοὺς πατέρας ἐπιγινώσκετε, παρ' ὧν ἐδέξασθε καὶ τοῦ ἁγίου βαπτίσματος τὴν χάριν, καὶ οἱ Ῥωμαῖοι ὡς πατέρες τὰ οἰκεῖα ἐν Χριστῷ τέκνα τοὺς Βουλγάρους ἐπιγινώσκωσι, καὶ Θεὸς ἐπὶ τούτοις δοξάζηται, καὶ τὰ τοῦ κοινοῦ βίου καὶ τῆς ζωῆς πράγματι Ῥωμαίοις καὶ Βουλγάροις πρὸς τὴν ἐξ ἀρχῆς ἀποκαταστῇ εὐκληρίαν τε καὶ ἀπόλαυσιν.

Ἐπὶ τούτοις ἐκεῖνο προστίθεμεν, ὡς ἀνάξια ποιεῖς τῆς σῆς μεγαλοδόξου ἀρχῆς, ὕβρεις γράφων καὶ παραλογισμῶν ῥήματα ἀντὶ τῶν εἰς σὲ γραφομένων φιλικῶν γραμμάτων καὶ τιμώντων τὴν ὑμετέραν ἐξουσίαν παρὰ τοῦ φιλοχρίστου καὶ εἰς εἰρήνην προκαλουμένου σε βασιλέως. Οἶμαι γὰρ, τέκνον ἡμῶν, ὡς οὐκ ἀγνοεῖς ὅτι, εἰ καὶ ἄλλο φρόνημα τῶν ταπεινῶν καὶ χυδαίων ἀνθρώπων, αἱ ὕβρεις ἀνθρώπων εἰσὶν εὐτελῶν καὶ φρονήματος ἀπεῤῥιμμένων· ἀρχῆς δὲ οἱ λαβόντες παρὰ τοῦ Θεοῦ ἀνάβασιν, ἐὰν συναισθάνωνται τῆς ἑαυτῶν δόξης, οὐδέποτε καταβαίνουσιν. Ὁρᾷς, τέκνον ἡμῶν, τὴν ἡμετέραν πρὸς σὲ ἀγάπην, ὅτι καὶ ἐν τούτοις, τῆς σῆς φροντίζοντες, δόξης, ὡς πατέρες ἐπανορθούμεθα τὸ, οὐκ οἶδα πῶς, ἐπακολου-

тавил непримиримa война и се радвал че мечовете на ромеите и българите са се обагрили с кръвта от взаимни изтребления.

Това ти писах аз, чедо наше, като тъжа и скърбя, първо, сам за себе си, загдето моята нещастна старост се е продължила до такива времена и достигнах да видя такива достойни за съжаление събития. А плача и за вас и особено за ромейския род, загдето вие, като въставате един срещу друг, страдате и загдето в бъдещия живот, когато, разбира се, нещастията няма да се прекратят, вие ще бъдете подложени на горчиви наказания, тъй като сте пренебрегнали кръвта на Христа и бога наш, чрез която ние бяхме изкупени и станахме негов народ. Освен това нашите боговенчани царе както винаги, тъй и сега желаят мир и всякак се стараят да изправят грешките, останали от техните предшественици. Поради това те и сега изпратиха хора, които да водят с вас преговори за мир. От тебе, от твоя пресъвършен ум зависи да влезеш в надлежните съглашения, угодни богу и общополезни за ромеи и българи, та да бъде посрамен сатаната, виновникът на съблазните и войните, и както отначало бог е утвърдил мир между ромеи и българи, отново да имате мир. И вие като чеда да признаете бащите, от които сте получили дара на светото кръщение, а пък ромеите, като бащи, да признаят българите за свои во Христа чеда. И нека се прослави бог за тия неща, и нека връзките на общия живот бъдат възстановени между ромеи и българи за предишното щастие и благополучие.

Към това ще прибавя и следното, че ти извършваш недостойни за твоята велеславна власт дела, като пишеш оскърбления и презрителни думи в отговор на дружеските и почтителни до тебе писма на христолюбивия и призоваващия те за мир император. Аз мисля, чедо наше, че ти добре знаеш, че хулите, макар нищожните и прости хора да мислят иначе, са присъщи на хора незначителни и лишени от разум. Тези пък, които са получили от бога висшата власт, ако съзнават своята слава, никога няма така да изпаднат. Ти виждаш, чедо наше, нашата обич към тебе, както и това, че като се грижим за славата ти като бащи, поправяме заблуждението, което, не зная как, те преследва и унижава твоето велеслав-

θοῦν σοι πταῖσμα, καὶ τὴν σὴν κατευτελίζον μεγαλόδοξον ὑπεροχήν. Γράφε καὶ περὶ τῶν προκειμένων πραγμάτων οἷα δεῖ γράφειν ἄνθρωπον δεδοξασμένον, ἐπιζητῶν τὴν κατάστασιν, ἐπιζητῶν τὸ συμφέρον, ἐπιζητῶν τὴν εἰρήνην, ὡς παρὰ Θεοῦ λαλῶν τὸ ἄρχειν, ὡς Χριστιανὸς ὡς μέλλων τῷ φοβερῷ τοῦ Θεοῦ κριτηρίῳ παραστῆναι, καὶ λόγον ἀποδώσειν ὑπὲρ τῆς σῆς ἀρχῆς, καὶ τῆς τῶν ὑποχειρίων διοικήσεως καὶ σωτηρίας. Καὶ μὴ γράφης εἰρωνείας, μηδὲ ὕβρεις καὶ ἀτιμίας, ἅτινα οὐκ ἀτιμάζουσιν ἐκείνους πρὸς οὓς γράφεις, ἀλλὰ μᾶλλον εἰς τὴν ὑμετέραν, οὐκ ἤθελον εἰπεῖν αἰδοῖ τῆς πρὸς σὲ ἀγάπης, ἀλλ᾽ ὅμως ὑπὸ τῆς ἀληθείας κινούμενος λέγω, κατάγνωσιν ἐπαναστρέφουσιν. (XXIX, col. 181—185)

но съвършенство. Пиши и за предстоящите работи така, както трябва да пише един прославен човек, като се стремиш да възстановиш [предишния] ред на работите, като дириш ползата, като дириш мира както всеки, който е получил власт от бога, като християнин, като човек, който ще се представи пред страшния божи съд и ще даде отчет за своята власт, за управлението на подчинените си и за тяхното спасение. Но не пиши нито иронии, нито обиди и докачения, които позорят не ония, против които ти ги пишеш, а, напротив, повече съдействуват за твоето осъждане. Аз от уважение и любов към тебе не исках да говоря за това, но го казах, подбуден от правдивостта си.

28. Ad eundem

Τῷ αὐτῷ

Μὴ δεξάμενοι γράμμα παρὰ σοῦ, τέκνον ἡμῶν, αὐτοὶ γράφομεν ὑπὸ τῆς πολλάκις κινησάσης αἰτίας ἡμᾶς πρότερον, καὶ νῦν γράφειν κεκινημένοι· αὕτη δέ ἐστι τῆς μακαρίας καὶ ποθεινῆς εἰρήνης ἡ ἐπιζήτησις, ἣν ἀποσυλήσας ὁ ἀρχαῖος τῶν ἀνθρώπων ἐχθρὸς ὁ διάβολος, μεγίστων μὲν ἀγαθῶν ἐζημίωσε τὸ Βουλγάρων γένος καὶ Ῥωμαίων, πολὺ δὲ ἄλγημα τῷ Χριστῷ καὶ Θεῷ ἡμῶν ἐνεποίησε, τὰ δὲ ἐκείνου ποίμνια εἰς τὸν κατ᾽ ἀλλήλων ὄλεθρον ὁρμῆσαι παρεσκευασάμενος. Ὑπὲρ τούτου πολλάκις ἐγράψαμεν, καὶ νῦν γράφομεν δυσωποῦντες· καὶ μάλιστα τοὺς σοὺς γλυκεῖς λόγους ἐν τοῖς ὠσὶν ἡμῶν ἔχοντες, καὶ τούτους καθ᾽ ἑκάστην μελετῶντες, ὅσους τε πρὸς ἡμᾶς ἡ σὴ φρονίμη ἐδέξατο γλῶσσα, καὶ ὅσους πρὸς τὸν φιλόχριστον ἡμῶν βασιλέα, ὃν οἶδα βεβαίως ὅτι ἀφ᾽ οὗ ἐθεάσω, καὶ πεῖραν τῆς ἐκείνου ἀγαθότητος ἔλαβες, ἐπόθησας καὶ ποθεῖς. Καὶ γὰρ καὶ πρὸς ἐκεῖνον, τέκνον ἡμῶν, ἐπαγγελίας παρέσχες εἰρήνης, καὶ ὅτι λήξουσιν αἱ σφαγαὶ, καὶ οἱ πόλεμοι, καὶ τὰ ἐκ τούτων δυστυχῆ πράγματα, καὶ πάλιν εἰς τὴν προτέραν εὐδαιμονίαν Ῥωμαῖοι καὶ Βούλγαροι καταστήσονται. Ἀλλὰ καὶ πρὸ τῆς συντυχίας τῆς πρὸς τὸν φιλόχριστον ἡμῶν βασιλέα, πρὸς τὴν ἡμῶν ἔφης ταπείνωσιν ἐκ Βουλγαρίας τὰ ἐνταῦθα καταλαβεῖν, εἰρήνην γενέσθαι βουλόμενος, καὶ

До същия

Ако и да не сме получили от тебе, чедо наше, писмо, все пак отново ти пишем, подбудени от същата причина, която и по-рано често ни подбуждаше да ти пишем. Това е желанието ни за блажен и въжделен мир, нарушен от изначалния враг на човечеството — дявола, — който лиши от най-големите блага българския и ромейския народ, а на Христа и бога наш причини голяма печал, понеже подбуди неговото стадо да се устреми към взаимно унищожение. Затова често писахме и сега пишем с молба, особено като звучат още в ушите ни твоите сладки речи. Ти мислиш всеки ден за ония [думи], които бяха от тебе благоразумно произнесени както пред нас, така и пред нашия христолюбив император, когото — аз зная положително — ти, откакто го видя, обикна го, понеже се убеди в неговата доброта. Освен това, чедо наше, ти даде пред него обещание за мир и за това, че ще се прекратят убийствата, войните и техните пагубни сетнини и че отново ромеи и българи ще се върнат към предишното благоденствие. Но още преди свиждането с нашия христолюбив император ти беше писал на наше смирение от България, че ще пристигнеш тук с желание да настане мир и да се прекрати с божия

ἀποπαῦσαι σὺν Θεῷ τὴν κατ᾽ ἀλλήλων τῶν Χριστιανῶν μάχην καὶ τῶν ὅπλων τὴν κίνησιν.

Τούτων ἔχοντες τὴν μνήμνην ἀνεπίληστον ἐν τῇ καρδίᾳ ἡμῶν, καὶ γινώσκοντες τὴν παρὰ σοῦ τιμωμένην ἀλήθειαν, τὸ παρὸν ἐγράψαμεν γράμμα, οἷα πολλάκις ἱκετεύσαμεν, καὶ νῦν ἱκετεύοντες. Δεῖξον, τέκνον ἡμῶν, τῶν σῶν ῥημάτων τὸ τέλος ἐπάξιον τῆς προσηκούσης σοι δόξης, πλήρωσον τὰς ὑποσχέσεις, ἵνα καὶ Θεὸς δοξασθῇ, καὶ τὸ σὸν ὄνομα γένηται ἀείμνηστον καὶ ἐν ταῖς ἔπειτα γενεαῖς, καὶ ἀμφότερα τὰ ποίμνια τοῦ Χριστοῦ, λέγω δὴ τό τε Βουλγάρων ἔθνος καὶ τὸ Ῥωμαίων γένος, ἀπαλλαγῶσι ψυχικοῦ καὶ σωματικοῦ ὀλέθρου, καὶ ἀπολαύσωσι καὶ σωματικῆς ἀνέσεως, καὶ ψυχικῆς σωτηρίας. Οἶδε γὰρ ἡ σὴ μεγάλη σύνεσις, ὅτι οὐ μόνον τὴν σωματικὴν ζωὴν ἐλεεινῶς ζημιοῦνται Ῥωμαῖοι καὶ Βούλγαροι ἀλλήλους ἀποσφάζοντες, ἀλλὰ καὶ τῆς ψυχῆς, οἴμοι τῷ ἀλθίῳ, ἀποστερίσκονται· Ναί, τέκνον σβέσωμεν τοῦ θυμοῦ τὴν φλόγα, ἣν εἴτε πονηρὸς δαίμων, εἴτε ἄνθρωποι ἀνέφλεξαν ἄφρονες. Ἐγὼ καὶ ἀλόγων γένη ἐθεασάμην ποτὲ ὑπὸ θυμοῦ κινηθέντα, καὶ κατ᾽ ἀλλήλων ὁρμήσαντα καὶ μαχόμενα, ἀλλ᾽ ἐπαύσαντο πάλιν τοῦ θυμοῦ καὶ τοῦ μάχεσθαι, καὶ κατέστησαν πρὸς τὸ ἥμερον· Εἶτα, τέκνον μου, τὰ μὲν ἄλογα μὴ κεκτημένα λόγον ἐπέχοντα τὸν θυμὸν, ἀλλ᾽ ὑπὸ ἀλογίας ἀγόμενα ἔπισταντai τοῦ θυμοῦ ἀπόπαυσιν, καὶ τῆς κατ᾽ ἀλλήλων ἀφίστανται μάχης, καὶ μεταβάλλονται πρὸς εἰρήνην· ἄνθρωποι δὲ λόγῳ κυβερνώμενοι, ἕνα Θεὸν ὁμολογοῦντες, ἑνὶ ὀνόματι τῷ τοῦ Χριστοῦ καὶ Θεοῦ ἡμῶν ἐπικεκλημένοι, διότι ἔφθασαν κατ᾽ ἀλλήλων ὅπλα κινῆσαι, τούτοις χρήσονται διὰ παντὸς, καὶ ταῖς κατ᾽ ἀλλήλων σφαγαῖς ὥσπερ ἐντρυφῶντες διατελέσουσιν, ἀλλ᾽ οὐχὶ λογισμῷ κρινοῦσι τὰ πρέποντα, καὶ ὀψέ ποτε τῆς κατ᾽ ἀλλήλων σφαγῆς ἀφέξονται; Καὶ ποῦ τοῦτο ἄξιον τῆς ἀνθρωπίνης φύσεως τῆς κατ᾽ εἰκόνα Θεοῦ διαπλασθείσης, καὶ λόγῳ τετιμημένης; Ἀλλὰ τί μακρύνω τὸ γράμμα; Ἀρκεσθῶμεν

помощ междуособната борба на християните и раздвижването на оръжието.[1]

Като запазваме в сърцето си незабравим спомен за това и като знаем, че почиташ истината, написахме ти настоящото писмо и както често сме те молили, и сега пак те молим, покажи, чедо наше, че твоите дни ще имат край, достоен за твоята слава, изпълни обещанията си,[2] та и бог да се прослави, и твоето име да стане незабравимо и за следните поколения, и двете стада Христови — сиреч българският и ромейският народ — да се избавят от душевна и телесна гибел и да се насладят от телесно спокойствие и душевно спасение. Защото твоят велик разум знае, че с взаимните [си] изтребления ромеите и българите се лишават за съжаление не само от телесен живот, но (о, горко на мене, клетия!) и от душевен. Да, чедо мое, нека угасим пламъка на гнева, запален от лукавия дявол или от безумни хора! Аз съм виждал, как понякога дори и безсловесни същества, подбудени от гняв, нападат един на друг и се бият, но отново са усмирявали гнева си, преставали са да се бият и са се укротявали. И при това, чедо мое, безсловесните, ако и да са лишени от разум, все пак се въздържат от гнева и водени от инстинкта, умеят до възпират гнева си, избягват борбата помежду си и се обръщат към мира. Нима хората, които се управляват от разум, признават един бог, наречени са по името на Христа и бога наш, затова че по-рано са вдигнали оръжие един срещу друг, ще действуват с него постоянно и ще продължават да се гордеят с взаимни убийства и няма ли да обсъдят с разума си това, което подобава, и макар и късно, да се откажат от взаимното избиване? Нима това е достойно за човешката природа, която е създадена по образ божи и е надарена с разум? Но защо да удължавам писмото си? Нека

---

[1] Тук се говори за срещата между цар Симеон и Роман Лакапин, състояла се под стените на Цариград през септември 923 г. Още преди да дойде до Цариград, Симеон писал, че желае да сключи мир. Обаче преговорите не довели до сключване на мирен договор, поради което патриарх Николай Мистик отново напомня обещанието на Симеон и моли да се прекрати войната. Писмото е написано скоро след свиждането и оттеглянето на Симеон в България, т. е. към края на 923 г. Общо за преговорите вж. *Златарски*, Писмата..., СбНУК, XII, стр. 182—196. — *Същият*, История, I, 2, стр. 461—470.

[2] Патриарх Николай Мистик подканва Симеон да изпълни дадените през септември 923 г. обещания за мир. Обаче, както изглежда, тия обещания Симеон е дал с цел да отвлече вниманието на византийците, докато той се справи със започналите размирици в България и с въстанието на сърбите. В началото на 924 г. той изпратил една голяма войска срещу Сърбия. Княз Захарий избягал, а страната била опустошена. Вж. *Златарски*, Писмата. . . ., СбНУК, XII, стр. 204 — 205. — *Същият*, История, I, 2, стр. 461 — 464; 469 — 477.

τοῖς εἰρημένοις πέποιθα γὰρ ἐν Θεῷ, ὅτι ὥσπερ παρὼν ἐλάλησας πρὸς τὴν ἡμῶν ταπείνωσιν, καὶ πρὸς τὸν φιλόχριστον βασιλέα ἡμῶν τὸν σοὶ ποθούμενον ἀδελφὸν, οὕτω καὶ γενήσεται· ἀνθ᾽ ὧν ἐπευχόμεθά σοι μακρότητα ἡμερῶν, καὶ κατὰ τὴν παροῦσαν ζωὴν εὐετηρίαν, καὶ ἐν τῇ μελλούσῃ κληρονομίαν δόξης τῆς ἀποκειμένης πᾶσι τοῖς τῷ Θεῷ εὐαρεστήσασιν. (XXX, col. 186—188)

се задоволим от казаното, понеже аз се уповавам на бога, че всичко ще бъде така, както ти лично каза на наше смирение и на нашия христолюбив император, твоя въжделен брат. Заради всичко това аз ще се моля да имаш дълголенствие и щастие в този живот и да наследиш слава, която е определена за всички божии угодници в бъдещия живот

29. *Ad eundem*

Τῷ αὐτῷ

Ἔγραψα πολλάκις, ὡς μὲν ἐγὼ ἐνόμιζον, ἀλλὰ καὶ ἔτι νομίζω, καὶ ὠφέλιμα καὶ συμφέροντα. Γράφω νῦν ἐπὶ πᾶσιν, οἷς προέγραψα, τοῦτο δὴ τὸ ἔσχατον γράμμα, ἅμα μὲν κινούμενος ὑπὸ τῆς ἐν τῇ ἐμῇ καρδίᾳ ἐγκαιμένης διὰ παντὸς ὀδύνης χάριν τῶν κοινῶν παθῶν τῶν καταδαπανώντων τὸν λαὸν τοῦ Θεοῦ τὸν ἐν Βουλγάροις καὶ Ῥωμαίοις συναριθμούμενον. Ἐκείνου γάρ ἐστι λαὸς ἀληθῶς καὶ τὸ Βουλγάρων γένος τοῦ ἐξαγοράσαντος αὐτοὺς οἰκείῳ αἵματι, τοῦ ἀδελφοὺς ποιησαμένου διὰ τῆς υἱοθεσίας τοῦ Πνεύματος· εἰ καὶ τοῦτον σὸν εἶναι σὺ νομίζεις λαὸν, ὁ σήμερον ἄρχων, καὶ αὔριον ὑπὸ σκωλήκων δαπανηθησόμενος. Ὑπὲρ τούτων οὖν ὀδυνώμενος γράφω καὶ ἔτι, ἐκ τῶν σῶν κινούμενος λόγων, οὓς ἐνταῦθα παραγεγονότος σου ἀπὸ τῆς σῆς γλώττης αἱ ἡμέτεραι ἀκοαὶ ἐνηνέχθησαν· ἦσαν γὰρ τὰ λεγόμενα παρ᾽ ὑμων τοιαῦτα, ὅτι κεκινήμεθα ἐκ τῆς ἰδίας χώρας ἕνεκεν τοῦ καλοῦ καὶ μεγάλου πράγματος τῆς εἰρήνης.

